της. Ἔμεινε καὶ ἐκεῖ τέσσαρα ἔτη. Ὅταν δὲ μετὰ τὴν κατάργησιν τῶν γενιτσάρων ἡ Κυβέρνησις ὀργανίζουσα τακτικὸν στρατὸν ἔλαβεν ἀνάγκην εἰδικῶν βιβλίων, ὁ τότε στρατάρχης Χουρσὶτ πασᾶς ἔστειλεν εἰς τὸν Ι. Ἀργυρόπουλον βιβλία στρατιωτικὰ πρὸς μετάφρασιν, καὶ, ὑποβαλὼν τὰ μεταφρασμένα εἰς τὸν σουλτᾶνον Μαχμούτην, ἔλαβε τὴν ἄδειαν τῆς καθόδου του, συγχρόνως δὲ καὶ τῆς τοῦ Στεφάνου Βογορίδου. Μετὰ τὴν κάθοδόν του κατεγίνετο κατὰ διαταγὴν εἰς μετάφρασιν στρατιωτικῶν βιβλίων.

«Τὸ κύριον αἴτιον τῆς καθόδου αὐτῶν ἦτο τὸ ἑξῆς. Τινὲς τῶν τότε ὑπουργῶν τῆς Πύλης παρεδέχοντο ἓν σχέδιον, προταθὲν κατ' ἀρχὰς παρὰ τοῦ ῥωσικοῦ ὑπουργείου καὶ τροποποιηθὲν ὕστερον παρὰ τῆς Μ. Βρεττανίας. Τοῦτο συνίστατο εἰς τὸ νὰ σχηματισθῶσιν ἐκ τῶν στασιασάντων μερῶν τρεῖς ἑλληνικαὶ Ἡγεμονίαι κατὰ τὸ παράδειγμα τῆς Σερβικῆς· νὰ τοῖς δοθῇ ἐσωτερικὴ αὐτονομία, τινὰ δὲ τῶν ἰσχυροτέρων φρουρίων νὰ κατέχωνται παρὰ τῆς Τουρκίας, καὶ νὰ διορίζῃ ἡ Πύλη τοὺς Ἡγεμόνας. Τούτου ἕνεκα εἶχον ἀνάγκην πολιτικῶν ἀνδρῶν διὰ νὰ θέσωσιν ἐπὶ κεφαλῆς τῶν ἡγεμονιῶν τούτων, ἀλλ' ἡ ἐπιμονὴ τοῦ σουλτάνου ἐματαίωσε τὸ σχέδιον.

«Ἀμέσως μετὰ τὴν κάθοδόν του ὁ Ἰ. Ἀργυρόπουλος ἀπεφάσισε νὰ ἐγκαταλείψῃ τὴν Τουρκίαν καὶ νὰ μὴν ὑπηρετήσῃ πώποτε Κυβέρνησιν, τῆς ὁποίας ἡ πρὸς τοὺς ὁμογενεῖς θηριώδης ὠμότης ἦτο ἔτι πρόσφατος εἰς τὰς ἀναμνήσεις. Πρὸς δὲ τούτοις καθ' ἣν ἐποχὴν ἐστέλλετο εἰς ἐξορίαν εἶχεν ὁρκισθῆ ἐπὶ τούτῳ.

«Ἐν ᾧ κατεγίνετο νὰ εὐχαριστήσῃ εἰς τὴν ἄχαριν καὶ δύσκολον ἐργασίαν μεταφράσεως εἰδικῶν ἐπιστημονικῶν βιβλίων, συνέβη ἔρις τις μεταξὺ αὐτοῦ καὶ τοῦ Χουσρὲβ πασᾶ, ὅστις, ὑποπτεύσας αὐτὸν ἀδίκως ὡς ἐπιζητήσαντα σχέσιν μετά τινος τῶν ἐν τοῖς ἀνακτόροις ἀντιπάλων του, τὸν ἐπέπληξεν αὐστηρῶς. Ἡ σκηνὴ αὕτη ἥτις προσέβαλε τὴν φιλοτιμίαν του καὶ διὰ τὴν ὁποίαν μετεμελήθη ὕστερον ὁ γέρων Χουρσέβης καὶ ἐζήτει κατόπιν παντὶ σθένει νὰ ἐπανορθώσῃ, ἐπεστήριξε τὸν Ἀργυρόπουλον εἰς τὴν ἰδέαν, ὅτι δὲν ἦτο δυνατὸν νὰ ὑπηρετήσῃ ὡς πρότερον τὴν Κυβέρνησιν. Γενομένης τῆς πρὸς τὴν Ῥωσίαν εἰρήνης κατὰ τὸ 1829 ἔτος, ἡ Ὑ. Πύλη ἀπεφάσισε νὰ στείλῃ ἔκτακτον πρεσβείαν εἰς Πετρούπολιν, καὶ ὁ Ἀργυρόπουλος ἔμελλε νὰ ἀποτελέσῃ αὐτῆς μέρος. Τότε ἀπεφάσισεν ἔτι μᾶλλον νὰ ἐπιταχύνῃ τὴν ἀναχώ-

ΕΓΑ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΘΝΕΣ ΕΠΙΣΤΗΜΟΝΙΚΟ ΚΕΝΤΡΟ ΜΕΛΕΤΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΠΟ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΗ ΕΩΣ ΣΗΜΕΡΑ
Ε.Υ.Δ τ.Π.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ρησίν του, μὴ ἀνεχόμενος τοῦ λοιποῦ νὰ ὑπηρετήσῃ Κυβέρνησιν πολεμίαν τότε τῶν ὁμογενῶν του καὶ νὰ συνηγορῇ αὐτῇ εἰς ἀντικείμενα ἀφορῶντα τὸ ἑλληνικὸν ζήτημα, οὔτε ἀφ' ἑτέρου θέλων νὰ προδίδῃ ἐναντίον τῆς συνειδήσεως καὶ τῶν ἀρχῶν του τὰ συμφέροντα τὰ ὁποῖα ἤθελον τῷ ἐμπιστευθῇ. Ὅθεν ἀνεχώρησε κρυφίως μετὰ τῆς οἰκογενείας του καὶ ἀπυκατεστάθη εἰς τὴν Ἑλλάδα, ὅπου ἔζησεν ἰδιωτικῶς μέχρι τῆς ἀρχῆς τοῦ 1850 ἔτους. Ἀλλὰ τὸ πολιτικόν του στάδιον ἔληξε κατὰ τὴν ἔκρηξιν τῆς ἑλληνικῆς ἐπαναστάσεως.

«Ἀσχολούμενος εἰς τὴν φιλολογίαν μέχρι τέλους ζωῆς ἔγραφεν ἀπομνημονεύματα τῶν ἐπὶ τῆς ἐποχῆς του συμβεβηκότων· αὐτῶν ἡ ἔκδοσις ἤθελεν ἦ πολύτιμος διὰ τὴν ἱστορίαν, ἂν ἐπετρέπετο ἀπὸ τοῦδε ἡ δημοσίευσις αὐτῶν».

Ὁ δὲ Ἰάκωβος Ἀργυρόπουλος, περὶ οὗ κυρίως διαλαμβάνει τὸ ἀνωτέρω ὑπόμνημα, ἔσχε τέσσαρας υἱοὺς καὶ δύο θυγατέρας. Καὶ υἱοὶ μὲν αὐτοῦ ὑπῆρξαν ὁ Μανουὴλ, ὁ γράψας τὸ ἀνωτέρω ὑπόμνημα· ὁ Περικλῆς, ὁ γνωστὸς συγγραφεὺς καὶ εὐφραδὴς ῥήτωρ, καθηγητὴς δὲ τοῦ Συνταγματικοῦ δικαίου ἐν τῷ Ἐθνικῷ πανεπιστημίῳ, πρύτανις καὶ βουλευτὴς αὐτοῦ, κατὰ δὲ τὸ 1854 καὶ 1855 διαδοχικῶς ὑπουργὸς τῶν Ἐξωτερικῶν, τῶν Οἰκονομικῶν καὶ τῆς Δημοσίας ἐκπαιδεύσεως· ὁ Ἀλκιβιάδης, συνταγματάρχης τοῦ πυροβολικοῦ, καὶ ὁ Ἀλέξανδρος, ἀξιωματικὸς τοῦ ἑλληνικοῦ στρατοῦ. Θυγατέρας δ' ἔσχεν ὁ Ἰάκωβος Ἀργυρόπουλος τὴν Σεβαστὴν, σύζυγον τοῦ Κωνσταντίνου Μάνου, πρώτου διερμηνέως τῆς ἐν Κωνσταντινουπόλει ἑλληνικῆς πρεσβείας[1], καὶ τὴν Χαρίκλειαν, σύζυγον τοῦ πρωθυπουργοῦ Ἀλεξάνδρου Μαυροκορδάτου. Οἱ δ' ἔκγονοι τῶν ἀνωτέρω υἱῶν τοῦ Ἰακώβου Ἀργυροπούλου ἀποτελοῦσι τὸν παρ' ἡμῖν ἐκ Φαναρίου ὁρμώμενον κλάδον τῶν Ἀργυροπούλων, οὗ τὰ μέλη περίβλεπτον κατέχουσι θέσιν ἐν τῇ ἑλληνικῇ κοινωνίᾳ[2].

[1] Ἴδε καὶ ἀνωτέρω σ. ριβ' σημ. 2.
[2] Ἴδε περὶ αὐτῶν *R[hangabé]* Livre d'or de la noblesse Phanariote σ. 4 κ. ἑ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΙ ΝΟΜΟΘΕΣΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝΑΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ταῦτα εἶνε ὅσα ἐπ' εὐκαιρίᾳ τῆς ἐκδόσεως τῶν ἀνὰ χεῖρας Ἀργυροπουλείων ἠδυνήθην νὰ συλλέξω περὶ τοῦ Ἰωάννου Ἀργυροπούλου καὶ τῶν λοιπῶν φερόντων τὸ ὄνομα τοῦτο Ἀργυροπούλων, μικρὰ συμβολὴ εἰς τὴν ἐθνικὴν ἱστορίαν, ἧς οὐκ ὀλίγας σελίδας κοσμεῖ τὸ ὄνομα τοῦ πολυκλάδου καὶ ἐπιφανοῦς τούτου οἴκου.

Ἐν Ἀθήναις, 24 Νοεμβρίου 1909.

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΣΠΕΝΤΖΑΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΤΟΥ ΑΥΤΟΥ [ΓΕΝΝΑΔΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ]

ΠΕΡΙ ΤΩΝ ΑΓΓΕΛΩΝ

ΠΡΟΣ ΤΗΝ ΤΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ ΓΝΩΜΗΝ ΑΝΤΙΦΕΡΟΜΕΝΟΝ *

Ὁ θεὸς, φῶς ὂν ἀκρότατον καὶ ἀδιάδοχον, ὑπέστησε τοὺς ἀγγέλους φῶτα δεύτερα, τοῦ πρώτου φωτὸς ἀπαυγάσματα κατὰ τὸν Θεολόγον Γρηγόριον, οὐκ αὐτὸ κατ' οὐσίαν ὅπερ εἰσὶ φῶς ὄντας, ἀλλ' ἐκ τῆς θείας ἐλλάμψεως τὸν φωτισμὸν δεχομένους ὃν τρόπον, ὡς ἐπὶ παραδείγματος
5 φάναι, τὸ φῶς ἡ σελήνη παρὰ τοῦ ἡλίου δέχεται, σῶμα ἀφώτιστον οὖσα δεκτικὸν φωτός. Καὶ τοῦτο δηλοῖ πρῶτον μὲν ἐξ αὐτῆς τῆς εἰρημένης τοῦ Θεολόγου φωνῆς· εἰ γὰρ ἀπαυγάσματα τοῦ πρώτου φωτός εἰσι, δῆλον ὅτι παρ' αὐτοῦ τὸν φωτισμὸν ἔχουσιν· ἔπειτα καὶ ἐξ ὧν ἐν ἑτέροις φησὶν ὁ αὐτὸς Θεολόγος Βουληθεὶς γὰρ ὁ θεὸς ἐξ ἀρχῆς τόνδε
10 τὸν κόσμον ὑποστήσασθαι, τὸν ἐξ ὁρατῶν τε καὶ ἀοράτων συνεστηκότα, τοῖς μὲν ἀϊδίοις αὐτός ἐστι φῶς καὶ οὐκ ἄλλο· τί γὰρ ἔδει φωτὸς δευτέρου τοῖς τὸ μέγιστον ἔχουσι; Καὶ ἐν ἑτέροις αὖθις· δεύτερον φῶς ἄγγελος, τοῦ πρώτου φωτὸς ἀπορροή τις ἢ μετουσία, τῇ πρὸς αὐτὸν νεύσει καὶ ὑπουργίᾳ τὸν
15 φωτισμὸν ἔχουσα, οὐκ οἶδα εἴτε τῇ τάξει τῆς στάσεως μεριζομένη τὸν φωτισμὸν, εἴτε τοῖς μέτροις τοῦ φωτισμοῦ τὴν τάξιν
φ 58ᵇ λαμβάνουσα. || Σύμφωνα δὲ τούτοις εἰσὶ καὶ τὰ παρὰ τῶν λοιπῶν διδασκάλων, τοῦ μὲν θείου Διονυσίου λέγοντος ἐν τῷ ιγῳ Περὶ τῆς οὐρα-

---

* Περιλαμβάνεται ἐν τῷ ὑπ' ἀρ. 1292 κώδικι τῆς Ἐθνικῆς βιβλιοθήκης Παρισίων, αἰῶνος ιε', φ. 58α-62α. Ἴδε ἀνωτέρω σ. η'. Ὅτ' ἔγραφον τὴν σελίδα ἐκείνην, δὲν εἶχον ἀκόμη λάβει ἐκ Παρισίων τὰς φωτογραφίας τῶν φύλλων τοῦ κώδικος 1292, ἐξ ὧν ἐκδίδω ἐνταῦθα τὴν κατ' Ἀργυροπούλου Περὶ ἀγγέλων συγγραφήν, ἣν ὁ κῶδιξ ἐκεῖνος προσγράφει εἰς Γεννάδιον τὸν Σχολάριον. Διεξερχόμενος δ' αὐτὴν ὁ ἀναγνώστης θέλει ἴδει, ὅτι εἶνε ἀναμφηρίστως αὐτὴ ἐκείνη ἡ ὑπ' ἄλλην ἐπιγραφὴν περιεχομένη ἐν τῷ κώδικι Εἰκοσιφοινίσσης 192, περὶ ἧς ἐποιησάμην λόγον ἐν τῇ αὐτῇ σ. η', ἡ ἐν αὐτῷ ἀποδιδομένη εἰς Μᾶρκον τὸν Εὐγενικόν. Εἰς αὐτὸν δὲ τοῦτον ἀποδίδεται καὶ ἐν τῷ κώδικι 410 τοῦ Βατοπεδίου, γεγραμμένῳ τὸν ιε' αἰῶνα. Ἴδε ***Ἰάσονα Βατοπεδινὸν*** ἐν τῷ περιοδικῷ Σωτῆρι Τόμ. ΙΒ' (1889) σ. 236 ἐν σημ.

3. ὅπέρ εἰσι 5. φᾶναι 7. φωτὸς εἰσὶ

ΕΡΓΑΣΤΗΡΙΟ ΤΗΣ ΦΑΝΝΙΟΥ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

νίου ἱεραρχίας Ἔστι μὲν οὖν ἅπασι τοῖς φωτιζομένοις ἀρχὴ τοῦ φωτίζεσθαι θεὸς φύσει καὶ ὄντως καὶ κυρίως ὡς φωτὸς οὐσία καὶ αὐτοῦ τοῦ εἶναι καὶ ὁρᾶν αἴτιος, τοῦ δὲ Δαμασκηνοῦ ἐν τῷ ιηῳ τῶν Θεολογικῶν περὶ τῶν αὐτῶν Φῶτα δεύτερα νοερὰ ἐκ τοῦ πρώτου καὶ ἀνάρχου φωτὸς τὸν φωτισμὸν ἔχοντα, κατ' ἀναλογίαν τῆς ἀξίας καὶ τῆς τάξεως τοῦ φωτισμοῦ καὶ τῆς χάριτος μετέχοντες, ὁρῶντες θεὸν κατὰ τὸ ἐφικτὸν καὶ ταύτην τρυφὴν ἔχοντες. Πρὸς τούτοις ἐκ τούτων τὰς ἀφορμὰς λαβὼν ὁ μακάριος Θεοφάνης ὁ ὁμολογητὴς καὶ Γραπτὸς ἐν τοῖς εἰς τοὺς ἀγγέλους ὕμνοις τοιάδε φησὶν ἐν τῷ πρώτῳ κανόνι· Ἔσοπτρα φωτὸς θεαρχικοῦ καὶ τρισηλίου λαμπάδος τὴν ἔλλαμψιν πᾶσαν εἰσδεχόμενα ὡς ἐφικτὸν τὰ τῶν ἀγγέλων τάγματα πρῶτον ἐννοήσας ὁ νοῦς ὁ θεῖος ὑπέστησε. Καὶ αὖθις ἐν τοῖς αὐτοῖς ὁ αὐτός· Οἱ πρόσωπον τὸ σὸν ὁρῶντες ἄγγελοι τὸ κάλλος τὸ ἀμήχανον τὴν ὕπερθεν εὐπρέπειαν ταῖς σαῖς θείαις ἀγλαΐαις ἐκλαμπρύνονται. Σὺ γὰρ αὐτῶν καὶ φῶς ὑπάρχεις, καὶ πάλιν ἄναρχον φῶς σὺ ὑπάρχων, δέσποτα, φωτὸς ἐκλάμψας τοῦ πατρὸς, τῶν ἀγγέλων τὰς στρατιὰς || φῶτα κατεσκεύασας, ἔσοπτρα δεχόμενα φ. 59α
τὴν ἀστραπήν σου τὴν ἄδυτον.

Εἰ τοίνυν αὐτοὺς ἐξ ἀρχῆς ὁ θεὸς τοιούτους ὑπέστησε κατὰ τοὺς θείους διδασκάλους τούτους, ὡς εἰσδέχεσθαι τὴν ἔλλαμψιν τῆς τρισηλίου λαμπάδος, καὶ τὸ θεῖον ὁρᾶν πρόσωπον καὶ τὸ ἀμήχανον κάλλος, δῆλον, ὅτι καὶ ὁ πρὶν Ἑωσφόρος, εἷς ἐξ αὐτῶν ὑπάρχων, μετεῖχε καὶ αὐτὸς τῆς θείας ἐλλάμψεως καὶ τὸ θεῖον ἑώρα πρόσωπον κατὰ τὸ ἐφικτὸν αὐτῷ. Καὶ τούτῳ συμμαρτυρεῖ πρῶτον μὲν ἡ τοῦ Κυρίου φωνὴ, λέγοντος ἐν τοῖς Εὐαγγελίοις Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. Καθάπερ γὰρ ἡ ἀστραπὴ διάττουσα τῶν νεφῶν εὐθὺς ἀποσβέννυται καὶ πρὶν ἐκφανῆναι σχεδὸν τὸ φῶς ἀποβάλλει, τὸν αὐτὸν τρόπον ἐκεῖνος, τραχηλιάσας κατὰ θεοῦ καὶ τῆς μὲν θείας ἐλλάμψεως κόρον λαβὼν, τῇ δὲ γνώσει παραζεύξας τὴν οἴησιν, ἐξέπεσεν αὐτίκα τῶν δεδωρημένων αὐτῷ καὶ τὸν φωτισμὸν ὃν οὐκ εἶχεν ἔμφυτον ἀλλὰ θεόθεν ἀποβαλὼν, σκότος διὰ τὴν ἔπαρσιν καὶ γέγονε καὶ ὠνόμασται. Καὶ ταῦτα περὶ αὐτοῦ φησι καὶ ὁ Δαμασκηνὸς Ἰωάννης ἐν τῷ ιθῳ τῶν Θεολογικῶν· Μὴ ἐνέγκας γάρ φησι τόν τε φωτι-

10. φησὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΑΠΟΘΗΚΗ ΧΕΙΡΟΓΡΑΦΩΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Ο. ΠΑΠΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

σμὸν τήν τε τιμὴν ἣν αὐτῷ ὁ δημιουργὸς ἐδωρήσατο αὐτεξ-
φ. 59ϛ ουσίῳ προαιρέσει ἐτράπη ἐκ τοῦ || κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν καὶ πρῶτος ἀποστὰς τοῦ ἀγαθοῦ ἐν τῷ κακῷ ἐγένετο.

Τὸ τοίνυν περὶ αὐτοῦ δοξάζειν, ὅτι οὐ μετεῖχε τῆς θείας ἐλλάμψεως,
5 οὐδὲ γνῶσιν εἶχε θεοῦ, οὐδὲν ἄλλο ἐστὶ δοξάζειν ἢ ὅτι ἑτέρας τινὸς φύσεως παρὰ τοὺς ἀγγέλους ὑπῆρχε καὶ ἧττον ἐκείνων εἶχε πολλῷ τῷ μέσῳ, εἴπερ ἐκεῖνοι μὲν ἅμα τῷ ὑποστῆναι τὴν θείαν ἔλλαμψιν ἐκληρώσαντο καὶ τὸν θεὸν ἑώρων ὡς ἐφικτόν, αὐτὸς δὲ ἄμοιρος τούτων ὑπῆρχε, καὶ ταῦτα παρὰ τῷ Προφήτῃ καλούμενος Ἑωσφόρος διὰ τὸ τῆς
10 λαμπρότητος ὑπερβάλλον. Τοῦτο δὲ καὶ τοῖς ἁγίοις ἀντιλέγειν ἐστὶ καὶ τῇ ἐναργείᾳ τῶν πραγμάτων αὐτῇ διαμάχεσθαι. Τὸ γὰρ δοτὸν καὶ ἀποβλητὸν πάντως, καὶ ὅπερ ἔλαβε, τοῦτο καὶ ἀφῃρέθη, δυνάμενος μὲν αὐτὸ φυλάξαι διὰ τῆς προσοχῆς, μὴ φυλάξας δὲ δι' ἀκρασίαν τε καὶ αὐθάδειαν. Ἅμα δὲ καὶ ὑπεραπολογεῖται τῆς ἐκείνου ἐκπτώσεως ὁ τὰ
15 τοιαῦτα κενολογῶν. Εἰ γὰρ ἔλαττόν τι παρὰ τοὺς ἄλλους ἀγγέλους εἶχε καὶ θείας ἐλλάμψεως οὐ μετέσχεν, οὐδὲ γνῶσιν εἶχε θεοῦ, θαυμαστὸν οὐδὲν ἔπαθεν ἐκπεσών. Ἀλλὰ τοῦτό γε οὐκ αὐτὸς ἔπαθε μόνος σὺν τοῖς μετ' αὐτὸν ἀποστάταις, ἀλλὰ καὶ οἱ μετ' αὐτὸν ὑπ' αὐτοῦ σκελισθέντες καὶ τὴν θείαν ἀφῃρέθησαν χάριν καὶ σκότος ἀντὶ φωτὸς
φ. 60α 20 γεγόνασι καὶ πρὸ τῶν ἄλλων || αὐτὸς ὁ Ἀδάμ, περὶ οὗ φησιν ὁ μὲν μέγας Βασίλειος ἐν τῷ λόγῳ οὗ ἡ ἐπιγραφὴ Ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ θεὸς Ἦν ποτε ὁ Ἀδὰμ ἄνω οὐ τόπῳ, ἀλλὰ τῇ προαιρέσει, ὅτε ἄρτι ψυχωθεὶς καὶ ἀναβλέψας πρὸς οὐρανὸν περιχαρὴς τοῖς ὁρωμένοις γενόμενος ὑπεραγαπῶν τὸν εὐεργέτην,
25 ζωῆς μὲν αἰωνίου ἀπόλαυσιν χαρισάμενον, τρυφαῖς δὲ παραδείσου ἐπαναπαύσαντα, ἀρχὴν δὲ δόντα τὴν κατὰ τῶν ἀλόγων καὶ ἀγγέλοις αὐτὸν ποιήσαντα ὁμοδίαιτον καὶ φωνῆς θείας ἀκροατὴν, ἐπὶ πᾶσι τούτοις ὑπερασπιζόμενος τὸν θεὸν καὶ ἀπολαύων αὐτοῦ ταχὺ πάντων ἀναπλησθεὶς καὶ οἷον ἐξ-
30 υβρίσας τῷ κόρῳ τὸ τοῖς σαρκίνοις ὀφθαλμοῖς φανὲν τερπνὸν τοῦ νοητοῦ προετιμήσατο κάλλους, οὐκ ἐξ ἀνάγκης κακὸς, ἀλλ' ἐξ ἀβουλίας γενόμενος.

Ἀκούεις, ὅτι ταχὺ τῶν ἀγαθῶν ἀνεπλήσθη καὶ τῷ κόρῳ ἐξύβρισε; Τοῦτο οὖν καὶ ὁ διάβολος ἔπαθεν, ἀλλ' οὐκ ἄμοιρος ὑπῆρχε τῶν ἀγα-

13. τὲ 14-15. τατοιαῦτα 16. ἐλάμψεως 17. τοῦτο 20. φησὶν 22. ποτὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΟΕΤΕ ΝΟΝΕΟΕΛΛΗΝΙΚΗ ΦΙΛΟΣΟΦΙΑ ΕΠΙΤΙΜΗΤΗΣ ΑΚΑΔΗΜΑΪΚΟΣ ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΗΣ ΣΤΑΜΑΤΗΣ ΠΙΝΤΟΣ
Ε.Υ.Δ τῆς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

θῶν. Τὰ δ' αὐτὰ καὶ ὁ θεῖος Χρυσόστομος ἐν ταῖς εἰς τὴν Γένεσιν ὁμιλίαις φησί. Μετὰ γὰρ τὸ ἐκθέσθαι τὰ τοῦ Ἀδὰμ ῥήματα, ἅπερ εἶπε τὴν γυναῖκα δημιουργηθεῖσαν ἑωρακώς, Πόθεν, φησίν, ἐπῆλθε ταῦτα αὐτῷ ῥθέγξασθαι; ἢ δῆλον ὅτι ‖ προφητικοῦ χαρίσματος φ. 60ᵇ
μετέχων πρὸ τῆς παρακοῆς ἅπαντα ταῦτα ἑώρα τοῖς πνευ- 5
ματικοῖς ὀφθαλμοῖς καὶ ἐνηχούμενος ὑπὸ τῆς τοῦ ἁγίου Πνεύματος διδασκαλίας ταῦτά φησιν. Ὁ γὰρ μηδὲν τῶν γεγενημένων εἰδὼς, ἐπειδὴ ἤγαγεν αὐτὴν πρὸς αὐτόν φησι· Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου. 10
Καὶ ὁ μακάριος Κύριλλος ἐν τοῖς Θησαυροῖς· Τὸ δοθὲν ἐμφύσημα θεῖον τῷ πεπλασμένῳ οὐκ αὐτὴν εἶναί φαμεν τὴν ψυχήν· ἢ γὰρ ἂν ἄτρεπτος ἦν ὡς ἐκ τοιαύτης προελθοῦσα φύσεως· ἀλλὰ τὴν τοῦ ἁγίου Πνεύματος μετουσίαν, ἐντεθεῖσαν ἐξ ἀρχῆς τῇ ἀνθρωπείᾳ ψυχῇ. Ὅθεν καὶ κατ' εἰκόνα θεοῦ τὸ τε- 15
χνηθὲν ἐποιήθη ζῷον, ὡς διὰ τῆς μετουσίας τοῦ Πνεύματος πρὸς αὐτὸν μεμορφωμένην.

Εἰ τοίνυν Πνεύματος ἁγίου μετέσχεν ὁ Ἀδὰμ ἅμα τῇ ἐμφυσήσει καὶ προφητικοῦ χαρίσματος ἠξιώθη καὶ τὸν θεὸν αὐτῷ διαλεγόμενον εἶχε καὶ ἐνηχούμενος ὑπὸ τῆς τοῦ ἁγίου Πνεύματος διδασκαλίας ἔλεγεν 20
ἅπερ ἔλεγε καὶ ἄγγελος ἄλλος ἐπὶ τῆς γῆς ὑπῆρχε καὶ θείᾳ δόξῃ πάντοθεν περιέσταλτο, δι' ἣν καὶ τὴν γύμνωσιν οὐχ ἑώρα, τίς ἂν ἔτι τολμήσειε λέγειν, ὅτι οὐδεμιᾶς ἔτυχεν ὁ Ἀδὰμ θείας ἐλλάμψεως, εἰ μὴ τὰ ἐκ τῆς κοιλίας βούλοιτο λέγειν, οὐδὲν τῶν διδασκάλων φροντίζων; ‖ Ἄλλως τε, εἰ μὲν ἀναφαίρετος ἦν ἡ θεία χάρις καὶ ἔλλαμψις καὶ 25 φ. 61ᵃ
οὐδεὶς ἀπέβαλε ταύτην τῶν ἅπαξ εἰσδεξαμένων, εἶχεν ἄν τινα λόγον τὰ τοιαῦτα καινοτομεῖν. Εἰ δὲ πολλοὶ μὲν προφῆται τὴν προφητικὴν ἀπέβαλον χάριν, πολλοὶ δὲ ἀπόστολοι τῆς ἀποστολῆς ἐξέπεσον καὶ τὴν θαυματουργικὴν ἀφῃρέθησαν δύναμιν, ὁ δὲ ἀρχαῖος ἐκεῖνος δράκων ὁ ἀποστάτης τῷ οὐραίῳ αὐτοῦ κατασύρει τὸ τρίτον μέρος τῶν ἄστρων 30
τοῦ οὐρανοῦ, καθὼς ἐν τῇ Ἀποκαλύψει φέρεται, τῶν πρότερον ἐν ἀρεταῖς δῆλον ὅτι διαλαμψάντων καὶ πνευματικοῖς χαρίσμασι, τί ἔτι δεῖ περὶ τοῦ πρὶν Ἑωσφόρου καὶ τοῦ Ἀδὰμ ἀμφιβάλλειν, εἰ θείας τινὸς ἔτυχον χάριτος καὶ ἐλλάμψεως; Οὐκ ἀκούεις τοῦ Δαυὶδ λέγοντος Τὸ

7. ταῦτα φησὶν 8. αὐτὸν φησὶ 12. εἶναι φαμὲν 14. τὴν κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος τῆν 22. τὶς 32. δηλονότι

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ, πάντως ὡς δυνάμενον ἀντκναιρεθῆνκι; ἀλλ' ἡ μετάνοια συνετήρησεν αὐτῷ τὸ προφητικὸν χάρισμα, κκθάπερ οὖν κκὶ τῷ Πέτρῳ δακρύσαντι τὴν τῆς ἀποστολῆς χάριν. Ἀλλ' ἆθλον, φησίν, ἡ θεία ἔλλαμψις δίδοται τοῖς καλῶς ἀγωνισαμένοις, ὥςπερ τοῖς Ὀλυμπιονίκκις ὁ κότινος· οὐκ ἆθλον μόνον, ἀλλὰ κκὶ χάρις, ἡ δὲ χάρις κκὶ πρὸ τῶν ἀγώνων δίδοται. Κκὶ εἰ μὲν φ. 61κ ἆθλον τῆς περὶ τἀγαθὸν ἐφέσεως λέγεις || κκὶ τῆς πρὸς αὐτὸ συντονίας, μέχρι τοσούτου τὸ ἆθλον δίδοται μέχρις ἂν ἡ ἔφεσις διαμένῃ, ταύτης δὲ παυσαμένης ἀφῄρηται. Διὰ γὰρ τοῦτο κκὶ χάρις ὠνόμαστκι, συνεργοῦσα τοῖς ἀγωνιζομένοις κκὶ παραμένουσα μὲν τοῖς αὐτὴν φυλάττουσι· Χωρὶς γὰρ ἐμοῦ, φησίν, οὐ δύνασθε ποιεῖν οὐδέν· τῶν δ' ἀνάξιων ἀφιπταμένη. Εἰ δ' ἄλλο τι τὸ ἆθλον λέγεις, οἷκ τὰ ἐπὶ τοῦ μέλλοντος αἰῶνος δοθησόμενκ τοῖς ἀξίοις, ἡμεῖς περὶ τῶν ἤδη δεδωρημένων ἢ κκὶ ἀφῃρημένων τὸν λόγον ποιούμεθα.

Ἀλλ' Ὁ Μιχαὴλ, φησί, κκὶ ὁ Γαβριὴλ κκὶ τὰ πρώτιστα τάγματα τῆς οὐρανίου ἱεραρχίας ἀκίνητοι μένουσιν ἐν τῷ ἀγαθῷ· πῶς οὖν, εἰ τῶν αὐτῶν ἐκεῖνος αὐτοῖς ἔτυχεν, οὕτω ῥᾳδίως ἐξέπεσεν; Ἐγὼ δέ σοι τοὐνκντίον ἐρῶ· πῶς, εἰ μὴ τῶν αὐτῶν ἔτυχε, δικκίως ἂν ἐξέπεσεν; Ἀλλ' ὅτι γε τῶν αὐτῶν ἔτυχε, μάρτυς ὁ μέγκς Βκσίλειος, ἐν τῷ προειρημένῳ λόγῳ τοῦτ' αὐτὸ κατὰ ῥῆμκ φάσκων· Γαβριὴλ ἄγγελος· κκὶ παρέστηκεν ἐνώπιον τοῦ θεοῦ διηνεκῶς ὁ Σατανᾶς ἄγγελος κκὶ ἐξέπεσε τῆς οἰκείας τάξεως παντελῶς, κἀκεῖνον ἡ προαίρεσις ἐφύλαξεν ἐν τοῖς ἄνω κκὶ τοῦτον κατέρριψε τῆς γνώμης τὸ αὐτεξούσιον. Ἐδύνατο γὰρ φ. 62α κἀκεῖνος || ἀποστατῆσκι κκὶ οὗτος μὴ ἐκπεσεῖν. Ἀλλὰ τὸν μὲν διεσώσατο τῆς ἀγάπης τοῦ θεοῦ τὸ ἀκόρεστον, τὸν δὲ ἀπόβλητον ἔδειξεν ἡ ἐκ θεοῦ ἀνκχώρησις. Ὅρα κἀντεῦθεν, ὅτι οὐχ ἡ τῆς ἐλλάμψεως ἔλλειψις, ἀλλ' ἡ προαίρεσις μόνη κκὶ ἡ ἐκ θεοῦ ἀνκχώρησις τὴν πτῶσιν αὐτῷ προεξένησε. Τὸ δὲ ἀκίνητον ἐκ τοῦ ἀγκθοῦ τοῖς λοιποῖς ἀγγέλοις τάχει μὲν ἡ ἐκείνου πτῶσις ἐπήγκγεν, ἀσφκλεστέροις, ὡς εἰκός, γενομένοις τῷ φόβῳ. Λόγος δέ τις ἡμᾶς ἐν ἀπορρήτῳ παιδεύει, παρὰ τῶν πατέρων ἡμῶν εἰς ἡμᾶς ἀφιγμένος, μετὰ τὴν τοῦ Κυρίου σάρκωσιν κκὶ τὴν τοῦ προςλήμματος θέωσιν κκὶ τοὺς ἀγγέλους προςλκβεῖν τὸ ἄτρεπτον κκὶ ἀκίνητον κατὰ χάριν, διακόνους γενομένους τῆς ἡμῶν σωτηρίας.

12. ἄλλό 17. εἰς

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Χάριεν δὲ τοῦ γενναίου σοφιστοῦ κἀκεῖνο, τὸ μακαρίους μὲν ἡγεῖσθαι πάντας ἀγγέλους τε καὶ δικαίους τῇ παρὰ θεοῦ μακαριότητι καὶ ἐλλάμψει, τῇ δὲ ταύτης ἀποτυχίᾳ δυςτυχεῖς καὶ ἀθλίους, ἔπειτα τὸν Ἑωςφόρον οἴεσθαι καὶ τοὺς λοιποὺς ἀγγέλους ἀμοίρους τῆς τοιαύτης ἐλλάμψεως ἐξ ἀρχῆς ὑποστῆναι. Δῆλον γὰρ ὅτι κακοδαίμονας αὐτοὺς καὶ ἀθλίους οἴεται ὑποστῆναι. Τοσοῦτον αὐτῷ τοῦ λέγειν περίεστι. 5

Ἀρκεῖ ταῦτα πρὸς τοὺς μὴ πάντη φιλονείκως ἐνισταμένους.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΠΑΤΤΟΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΑΤΤΟΣ

2. τὲ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

Ioannes Argyropylus Laurentio suo. S. Antonius Rocca pisanus uir egregius & mihi fam-
liarissimus meas ad te literas iure amicitiae impetrauit: quibus te ad iusticiam seruandam
interfectiq illius petri Mastiani iura exequenda hortarer. Hortor itaq te mi suauissime
Laurenti: quem ut in ceteris bonis humanis: sic et in iusticia defendenda nemini tempe-
statis huius hominis cedere certo scio: ut hac etiam in causa id agas: quod & in ceteris
agere semper consueuisti. Quid enim aliud aut te facere: aut me te admonere hac in
causa decet? Tu es equitatis amator: ego sum utriusq amicus: atq ideo iura illius tuo
maxime munere seruari percupio. Si pater homicidae conscius est cedis: cur non ut ho-
micida & ipse luaret penas? Illud igitur inquiratur iusticiae lege, conscius si fuerit
inuentus, obnoxius crimini iudicetur. Plusq uersimile profecto esse iudicatur: com-
pulsu patris auctoritateq filium cedem egisse: si uero: magisq pater: interfectum
illum odio tanto persequebatur. At cum patrem quem ita rem gessisse constaret, quis
nō asseruerit una cum filio & manus ad idem scelus promisse: & mucronem eundem
ad eandem necem strinxisse? Illum magis homicidam profecto q̄ filium ratione sane
prim principij, auctoramenti deliberationisq omnes homines si uera fateri uelint
uno ore unaq sententia iudicarent. Tu mi Laurenti hac in causa ita agas uelim:
ut ab uniuersis hominibus plus apud te societatis humanae salus: q̄ nō nullorum hom-
num ualere grata iudeatur. Vale perpetuo felix: & me ut soles amā. Romae
tertio idus februar.

ΑΥΤΟΓΡΑΦΟΣ ΛΑΤΙΝΙΚΗ ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΙΩΑΝΝΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ

(Ἴδε Εἰσαγωγὴ σ. δ' σημ. 1).

Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΕΙΚΩΝ ΤΟΥ ΙΩΑΝΝΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ

διδάσκοντος ἐν τῷ μουσείῳ τοῦ Ξενῶνος.

(Ἴδε Εἰσαγωγῆς σ. κγ').

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΕΙΚΩΝ ΤΟΥ ΙΩΑΝΝΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ

κατὰ τὸν Παῦλον Ἰόβιον.

(Ἴδε Εἰςαγωγῆς σ. ξγ').

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΤΣΙΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007



ΕΙΚΩΝ ΤΟΥ ΙΩΑΝΝΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ

ὑπὸ τοῦ Δομινίκου Ghirlandajo.

(Ἴδε Εἰςαγωγῆς σ. ξγ').

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΕΙΚΩΝ ΤΟΥ ΙΩΑΝΝΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ

ἐν τῇ Ἀμβροσιακῇ Βιβλιοθήκῃ τοῦ Μεδιολάνου

(Ἴδε Εἰσαγωγῆς σ. ξδ΄).

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007



ΠΑΝΟΜΟΙΟΤΥΠΟΝ ΤΟΥ ΜΑΡΚΙΑΝΟΥ ΚΩΔΙΚΟΣ 407 φ. 2α

(Ἴδε Εἰσαγωγῆς σ. πϛ').

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Θ. ΠΕΤΣΙΟΥ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΠΑΝΟΜΟΙΟΤΥΠΟΝ ΤΟΥ ΜΑΡΚΙΑΝΟΥ ΚΩΔΙΚΟΣ 407 φ. 8α.

(Ἴδε Εἰσαγωγῆς σ. πζ').

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΑΡΓΥΡΟΠΟΥΛΕΙΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ
ΚΥΡΟΥ ΙΩΑΝΝΟΥ ΔΙΔΑΣΚΑΛΟΥ ΤΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ
ΜΟΝΩΔΙΑ
ΕΙΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ ΙΩΑΝΝΗΝ ΤΟΝ ΠΑΛΑΙΟΛΟΓΟΝ

Φεῦ· εἰ δὲ δὴ φύσεις ἀνθρώπων ἄλλοτε ἄλλαις τύχαις λίθων ἠλλάξαντο φύσιν, μῦθος μὲν ἂν καὶ οἱ τῶν μύθων φαῖεν πατέρες, αὐτὸς δὲ ἄντικρυς λίθος τῇ παρούσῃ γέγονα ξυμφορᾷ. Ὦ πάθους, παντὸς μὲν ἀψαμένου ψυχῆς, μηδενὸς δὲ ἐλάττονος τῶν ὅσα καὶ πλάττειν ἄν τις ἐθέλοι, μὴ ὅτι καὶ γένοιτ' ἄν. 5 Ἐχρῆν μηδὲ τὴν ἀρχὴν γενέσθαι τινὰ ἢ γεγονότα μὴ τοσούτοις

Περιλαμβάνεται ἐν τῷ Παρισιακῷ 1191, φ. 14ᵇ - 16ᵃ, αἰῶνος ιε' (N), Παρισιακῷ 817, φ. 146ᵇ 148ᵇ, αἰῶνος ις' (Π), Βατικανικῷ 1098A, φ. 121ᵃ - 123ᵇ, αἰῶνος ις' (B), Ἀμβροσιακῷ M 41 sup. φ. 46ᵃ - 50ᵃ, αἰῶνος ιε' (A), Μαδριτείῳ 115 (4636), φ. 156ᵃ - 159ᵇ, αἰῶνος ιε' (M). Ξ=ἅπαντες οἱ κώδικες.

Ἐπιγραφὴ Τοῦ σοφωτάτου - Παλαιολόγου ΝΠΒΑ: Ἰωάννου τοῦ Παλαιολόγου μονῳδία εἰς τὸν βασιλέα Ἰωάννην Μ. Ἐν τῷ Β ἄνω νεωτέρᾳ χειρὶ καὶ τάδε: Jesus Christus Rex :~+ Egregii ac praeclarissimi doctoris dni Johannis argiropuli constantinopolitani oratio in serenissimum imperatorem Johannem paleologum Oratio funebris :~

1. Φεῦ ΝΠΒΜ: εῦ Α 3. ξυμφορᾶ ΝΠΒΑ: συμφορᾶ Μ
4. μηδενὸς ΝΠΒΜ: μὴδενὸς Α 5. ἐθέλοι ΝΒΑΜ: ἐθέλου Π μὴ ὅτι ἔγραψα: μηότι ἐκ τοῦ τὸ πρῶτον γραφέντος μὴότι Μ: μηότι ΝΠΒΑ 6. μηδὲ ἔγραψα: μὴδὲ Ξ τὴν ἀρχὴν ΠΑ: τηναρχὴν ΝΒ: τηναρχὴν Μ

ΕΠΙΣΤΗΜΟΝΙΚΟ ΚΕΝΤΡΟ ΙΩΑΝΝΙΝΩΝ ΙΣΤΟΡΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΙΘΟΥΣΑ ΤΗΣ ΜΝΗΜΗΣ ΠΡΕΠΙΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἐντυγχάνειν κακοῖς. Ἔπεισι γάρ μοι πολλάκις, τοσαῦθ' ὁρῶντι περὶ τὸν βίον δεινὰ μηδέν τε εἶναι τῶν ἱσταμένων καὶ ὃ φανὲν αὐτίκα μὴ λέλυται, μάτην οἴεσθαι ταυτὶ πάντα καὶ ὡς ἔτυχεν εἶναι· καὶ εἰ μὴ λόγος παρῆν, ᾧ δεῖ πείθεσθαι μᾶλλον ἢ τοῖς
5 δημοκριτείοις ἐκείνοις ἀτόμοις, πάλαι ἂν ἔξω λόγων καὶ τῆς τοῦ παντὸς ἐφερόμην διακοσμήσεώς τε καὶ τάξεως.

Ὦ πόσαι μὲν ᾠδαὶ θρήνων, πόσαι δὲ γεγόνασιν οἰμωγαί, ὅτε παρῆν καὶ εἰς ὃν ὁρᾶν εἴχομεν καὶ ὃς περιὼν πᾶσαν ἡντινοῦν ἡμῖν διέλυε ξυμφοράν. Νυνὶ δὲ, ἀπελθόντος ἐκείνου καὶ μηκέτ'
10 ὄντος, εἰς τίνα μὲν ἀποβλέπειν ἐξέσται, τίς δὲ ὁ κουφίσων τὴν ξυμφοράν; Ποῖος δὲ ὅρος θρήνων ἢ τί δακρύων κείσεται μέτρον; Ἢ που Νιόβης μὲν ἔσται δάκρυα καὶ ὅσα πηγὰς δακρύων ἀφίησι, θρῆνοι δὲ ἀηδόνος καὶ ἣν ἠδίκησεν ὁ Τηρεύς.

Νῦν ἡμῖν ὁ πάντα ἄγων καὶ φέρων χρόνος αὐτὴν ἐπέθηκε
15 φέρων τὴν κορωνίδα τῶν ξυμφορῶν. Οὔτε γὰρ ἡμῖν ἐλπὶς ἔτι παθεῖν εὖ, οὕτω τῶν πραγμάτων ἀπολωλότων, καὶ τὸ σώζεσθαι δὲ οὐκ ἔστιν, εἰ μὴ θεός τις ὥσπερ ἐκ μηχανῆς τινος παρακύψειε. Νῦν πάντα μὲν πέπτωκε τὰ τῶν Ἑλλήνων σεμνὰ, ἐλπὶς δὲ ἐξέπτη οὐδὲ πίθου ὑπὸ χείλεσιν ἔμεινεν, Αἰδὼς δὲ καὶ
20 Νέμεσις προλιπόντ' ἀνθρώπους εἰς Ὄλυμπον ᾤχοντο. Νῦν γένος μὲν ὁτιοῦν βαρβάρων φαιδροὶ καὶ ὅσοι τοῖς ἡμετέροις πολέμιοι, κατηφεῖς δὲ ἡμεῖς καὶ κατεπτηχότες τῷ φόβῳ καὶ οἵους ἂν ἐν κλυδωνίῳ κυβερνήτης ἐάσοι χειμαζομένους. Ὦ φήμης, ἣ διὰ

1. τοσαῦθ' ΝΠΒΑ: λείπει Μ ὁρῶντι ΝΠΒΑ: ὁρῶντι ἐκ τοῦ τὸ πρῶτον γραφέντος ὁρῶντα 2. μηδέν τε ΜΠΒΑ: μηδε τ^ε Ν 3. αὐτίκα ΝΠΒΑ: αυτικα Μ 5. δημοκριτείοις ΝΠΒΑ: δημοκριτείοις (τὸ πρῶτον δημοκρατείοις) Μ 9 ξυμφοράν νυνὶ ΠΒΑΜ: ὕμφοραν ὕνὶ κενῶν μενουσῶν τῶν θέσεων τοῦ ξ καὶ ν Ν 11. ξυμφοράν ΠΒΑΜ: ὕμφοράν Ν ποῖος ΠΒΑΜ: ποίος Ν 15. ξυμφορῶν ΠΒΑΜ: ὕμφορῶν Ν 20. προλιπόντ' ΝΒΑ: προλιπὸντ' Π: παραλιπόντ' Μ 22. κατεπτηχότες ΝΒ: καταπεπτηχότες ΠΑΜ 23. ἐάσοι χειμαζομένους ΝΠΒΑ: χειμαζομένους ἐάσοι Μ ἢ ΠΒΜΑ: ἢ Ν

ΕΘΝΙΚΟ ΙΔΡΥΜΑ ΕΡΕΥΝΩΝ ΙΩΑΝΝΙΝΑ ΙΣΤΟΡΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝΑΣΤΑΣΙΟΣ Γ. ΚΟΥΤΡΟΥΛΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πάσης γῆς καὶ θαλάττης διήκει κτείνουσά τε καὶ κατατέμνουσα τὰς τῶν Ἑλλήνων ψυχάς, οἱ, ζῆν οἰόμενοι πρότερον καὶ φωτὸς ἀπολαύειν ἡδέος, νυνὶ τεθνάναι δοκοῦσι καὶ μηκέτ' εἶναι, πεπόνθασί τε οἷον οἱ βληθέντες σκηπτῷ. Ἕκτωρ μὲν οὖν τῆς Τροίας ἀστραβὴς κίων ἐξύμνηται τῷ τοῦ Μέλητος. Ἑστάναι γάρ φησι τὸ Ἴλιον ἑστῶτος ἐκείνου πεπτωκέναι τε αὐτίκα πεσόντος· *οἷος γάρ σφιν ἔρυτο πύλας καὶ τείχεα μακρά.* Σοῦ δέ, μέγιστε βασιλέων, ἐξ ἀνθρώπων οἰχομένου καὶ μηκέτ' ὄντος, οὐ μία πόλις οὐδ' ἔθνος ἕν, ἀλλ' Ἑλλήνων ἅπασαι πόλεις καὶ γένη πάντα τὰ τῶν ἡμετέρων ἐπ' οὐδενὸς αὐτίκα μάλα βεβήκασιν ἀσφαλοῦς, σείεταί τε πάντα πόλεων τείχη καὶ πεσεῖν ἤδη δοκεῖ καὶ δουλεύειν βαρβάροις.

Ἔδει δή, πρὶν ἢ τοσούτου πάθους ἀνίαν αἰσθέσθαι καὶ τοσαύτην ἡμᾶς Ἰλιάδα περιεστηκέναι κακῶν, προαπελθεῖν καὶ μήτε τοσούτων ἀγαθῶν ἐστερῆσθαι γευσαμένους μόνον μηδὲ γενομένους ἐκείνων διακορεῖς, μήτε μὴν ἅπαντα προσδοκᾶν ὅσα στρατὸς ἐν μάχῃ πεσόντος τοῦ στρατηγοῦντος ἢ ὅσα πόλεις ὧν πέπτωκε τείχη, τῶν πολεμίων ἐπιπεσόντων αὐτοῖς ὅπλοις καὶ αὐτῷ θυμῷ καὶ πυρί. Ἦν ἄρ' ἐκεῖνα πάντα ὀνείρατα, μικρόν τε εὐφράναντα

1. θαλάττης ΝΒΑΜ: θαλάσσης Π 2 τῶν ΠΒΑΜ: τῷ Ν 3. νυνὶ ΝΠΒΑ: νῦν Μ τεθνάναι ΠΑ: τεθνᾶναι ΝΒΜ 5. κίων ΝΠΒ: κίων ἐκ τοῦ τὸ πρῶτον γραφέντος κύων ΑΜ ἑστάναι Μ: ἑστάναι τε Α: ἑστάναι τὲ ΠΝΒ 6. ἴλιον ΠΒΜ: ἵλιον Α: ἥλιον Ν τε Α: τὲ ΝΠΒΜ οἷος ΠΒΑ: οἶος ΝΜ 8. μηκέτ' ὄντος Α: μηκέτ' ὄντος ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἐόντος Μ: μηκετό..τος Β: μηκέτο(τὸ πρῶτον μὴ κετο..τος τῶν μεταξὺ διεξεσμένων Π: μηκέ μένοντος κατόπιν χώρου κενοῦ Ν 9. ἑλλήνων ΝΠΒΜ: ἑλήνων Α τὰ ΑΠ: λείπει ΝΒΜ 14. κακῶν περιεστηκέναῖ ΝΠΒ: περιεστηκέναι κακῶν Μ: περιεστηκέναι Α

15. γευσαμένους μόνον ΒΑΜ: μόνον γευσαμένους Ν: μόνον γευσαμένους Π μηδὲ ΝΑ: μὴδὲ ΠΒΜ 17. στρατηγοῦντος ΝΠΒΑ: στρατηγοῦτος Μ 19. ἄρ' ΝΠΒΑ: ἂν Μ μικρόν τε ΑΜ: μικρὸν τὲ ΝΠΒ

ΕΠΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΑΠΣΟΥΚΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

χρόνον ἔπειτ' ἀπέπτη καὶ τὴν ἐφ' αὑτοῖς ὅτι περ ᾤχετο λύπην οὐ μετρίαν καταλιπόντα. Λέγω δὲ ὅσα περ ἡμᾶς αὐτοὺς καὶ γένος ἅπαν Ἑλλήνων εὖ αἰεὶ διετέλει ποιῶν ὁ μέγιστος βασιλεύς, τοῦτο μὲν τὴν μεγίστην ταυτηνὶ τῶν ὑπὸ τὸν ἥλιον σώζων, μηδ' ἀνα-
5 πνεῦσαι οἵαν τε οὖσαν, μὴ ὅτι περ ἑαυτοῖς ὁτιοῦν ἄξιον ἐν καλῷ τῷ σχήματι διαπράξασθαι καὶ ναυσὶ καὶ ὅπλοις καὶ στρατιώταις καὶ τείχεσιν, ἃ κάλλει τε ὁμοῦ καὶ μεγέθει καὶ τῷ πείρας ἡστινοσοῦν πολεμίων κρείττω κατεσκευάσθαι κοσμεῖ τε ἅμα καὶ σώζει τὴν πόλιν καὶ τὴν μεγαλοψυχίαν ὅση τις τοῦ βασιλέως δηλοῖ,
10 τοῦτο δ' Αἰγαῖον καὶ τἆλλα πλέων πελάγη καὶ τὴν τοῦ Πέλοπος, οὐχ ἅπαξ οὐδὲ μετρίως ὡς ἄν τις εἴποι διῃρημένην καὶ στασιάζουσαν, φρονήσει καὶ ὅπλοις ῥᾷστα παραστησάμενος καὶ πᾶσαν ὑφ' αὑτῷ ποιησάμενος. Ὧ πόσα μὲν ἀπ' ἐκείνης ὁ βασιλεὺς ἡμῖν ἔστησε τρόπαια, ὅπως δὲ ἄγαν ἡμέρως τοῖς πολεμίοις ἐχρήσατο,
15 τοσοῦτο φαύλου παντὸς φανεὶς κρείττων ἢ τοῦ δοκεῖν ἀμηγέπῃ χαρίζεσθαι τῷ θυμῷ, ὅσον ἐκείνους ἐνίκα τοῖς ὅπλοις. Οὐ γὰρ ᾤετο πρὸς βασιλέως Ἕλληνος εἶναι, νικῶντα τοὺς πολεμίους, αὐτὸν ἥττω γενέσθαι θυμοῦ, οὐδ' οἷς βαρβάρων καλῶς ποιοῦντες ὑστερίζουσιν Ἕλληνες, τούτοις ἴσον ἐκείνοις ἢ μᾶλλον ὀφθῆναι
20 χρώμενον. Ταῦτά τοι σοφίᾳ μὲν καὶ ὅπλοις ἀρχὴν, φιλανθρωπίᾳ

2. καταλιπόντα ΝΒΑΜ: καταλίποντα Π 3. εὖ αἰεὶ ΠΒΑ: εὖ ἀεὶ Ν: εἶναι ἢ Μ 4. σώζων ΒΠΑΜ: σῶζων Ν μηδ' ἔγραψα: μὴδ' Ξ 5. οἵαν Μ: οἵάν ΝΠΒΑ μὴ ὅτι ἔγραψα: μὴότι Π: μηότι ΝΒΑΜ 6. τῳ Β: τω Π: τῷ ΝΑΜ 7. κάλλει ΝΒΑΜ: κάλλα Π πείρας ΝΠΑΜ: πείρας ἐκ τοῦ τὸ πρῶτον γραφέντος πεῖρας Β 8. κατεσκευάσθαι ἔγραψα: κατεσκευάσθαι ἐκ τοῦ τὸ πρῶτον γραφέντος κατεσκευᾶσθαι Μ: κατεσκευᾶσθαι ΝΠΒ: κατασκευάσθαι Α 10 τἆλλα ἔγραψα: τ'ἄλλα Α: τἆλλα ΝΠΒΜ 15. κρείττων ΝΠΑΜ: κρείττων ἐκ τοῦ τὸ πρῶτον γραφέντος κρεῖττον Β 16. ἐκείνους ΝΠΒΜ: ἐκίνους Α 17. τοὺς ΝΒΑΜ: τοὺς ἐκ τοῦ τὸ πρῶτον γραφέντος τοῦς Π 20. ταῦτά ΝΠΒΑ: ταῦτα Μ

ΕΡΑΣΜΗΡΙΟ ΠΗΝΕΛΟΠΗ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΑΛΕΞΑΝΔΡΟΣ ΚΑΡΑΜΑΝΛΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΑΠΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

δὲ καὶ τὴν παρὰ τῶν πολεμίων εὔνοιαν αἰεὶ προςεπεκτᾶτο, ἡδὺς μὲν καὶ τοῖς ὅλοις οὐκ ἀνιαρὸς οὑτωσί, φοβερὸς δὲ ἐκείνως οὐχ ἧττον ἤ περ ὁ Πηλέως φαινόμενος. Χωρὶς δὲ ἐκείνων, ὅσας ὑπερορίας τὰς μὲν διὰ γῆς, τὰς δὲ διὰ θαλάττης ὑπέστη, πονῶν μὲν αἰεί, μηδενὸς δὲ ἀφιστάμενος τῶν ὅσα πρὸς τὴν τῶν Ἑλλήνων ἐλευθερίαν τείνει καὶ ὧν αὐτῷ μὴ πραχθέντων οὐδὲ τὸ ζῆν ἡγεῖτο καλὸν, ἐλάττους ἂν ὀφθεῖεν, οἶμαι, τοῦ ἐγχειρήματος, εἰ ξυνελθόντες ἅπαντες εἰς ταὐτὸν τετολμηκότες εἶεν ἁπάσας πειρᾶσθαι λόγῳ διεξελθεῖν ἢ κατ' ἀξίαν πως ἐξυμνῆσαι.

Ὦ χρόνων ἐκείνων, οἷ τοιοῦτον ἡμῖν ἡγεμόνα καὶ κοινὸν πρύτανιν τὸν βασιλέα καλῶς ποιοῦντες ἀνέδειξαν. Οὐ γὰρ τοῖς μὲν ἐνευδοκιμῶν ἦν, τῶν δ' ὥςπερ ἄπειρος ἥπτετο, ἢ τὰ μὲν ποιεῖν ἠναγκάζετο, τὰ δὲ προεῖτο τῶν ἀναγκαίων· ἀλλὰ πάντα ἅμα καὶ μεθ' ὑπερβολῆς ποιῶν διετέλει καὶ ὡς ἄν τις ἐκείνων ἓν οὐδὲ εἷς. Ὦ κοινῆς εὐζωίας ἐκείνης, ᾗ τότε μὲν ἀγαθῇ τύχῃ ξυνῆμεν ἅπαν γένος Ἑλλήνων, νυνὶ δὲ ἀφαιρεθέντες ἐκείνης φθονερῷ τινι δαίμονι οὐ πολλῷ τῶν οὐκέτ' ὄντων διενηνόχαμεν. Ἢ οὐκ ἄντικρυς ἐκείνοις ἐοικέναι δοκοῦμεν, ψυχὴν ἣν εἴχομεν μίαν, τὴν τοῦ

1. αἰεὶ ΠΒΑΜ: ἀεὶ Ν προςεπεκτᾶτο ἔγραψα: προςεπικτᾶτο Μ: προςεκτᾶτο ΝΠΒΑ 2 ἀνιαρὸς ΝΒΑΜ: ανιαρὸς Π 5. αἰεὶ ἔγραψα: ἀεὶ Ξ δὲ ΝΠ: λείπει ΒΑΜ 7-8. ξυνελθόντες ΠΒΑΜ: ὑνελθόντες μένοντος κενοῦ χώρου διὰ τὸ πρῶτον γράμμα Ν 8. ταὐτὸν Ν: ταυτὸν ΠΒΑΜ 9 πως ΠΒΑΜ: π μένοντος χώρου κενοῦ διὰ τὰ λοιπὰ γράμματα Ν 10. χρόνων ΠΒΑΜ: χρόνον Ν τοιοῦτον ΠΒΜ: τοιόῦτον Ν: τοσοῦτον Α 12 ἐνευδοκιμῶν ἔγραψα: ἐναδοκιμῶν ΝΠΒΑ: εὐδοκιμῶν Μ δ' ὥςπερ Μ: δὲ ὡς ΝΠΒΑ 13. δὲ προεῖτο ΝΠΒ: δὲ ποιεῖτο Α: δ' ἐποιεῖτο Μ 14. ὑπερβολῆς ΝΒΑΜ: ὑπερβολῆς ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀπερβολῆς Π ὡς ἄν τις ΝΠΒΑ: ὡσάντις Μ εἷς ΒΑΜ: εἷς Ν: εἶ Π 15 ξυνῆμεν ΠΒΑΜ: ξανῆμεν Ν 18. τὴν ΝΒΑΜ: τῶν Π

ΕΠΙΣΤΗΜΟΝΙΚΟ ΙΔΡΥΜΑ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΤΑΦΟΡΑΣ ΙΩΑΝΝΗΣ ΛΑΜΠΑΚΗΣ ΑΦΙΕΡΩΘΗΚΕ ΣΤΗΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΙΤΙΣΣΑ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

βασιλέως φημὶ πρόνοιαν, ἀπολωλεκότες, μᾶλλον δ' ἐκεῖνον αὐτὸν, ὃς ἦν ἡμῖν ἀντὶ πάντων ὧν ἂν εἰπεῖν ἔχοι τις ἀγαθῶν;

Οὐ γὰρ δι' αὐτὸν, ὡς ἔοικεν, ἄρχειν ἠρεῖτο, οὐδ' ὥςπερ ἔρμαιον τῇ τύχῃ τὴν δυναστείαν εὑρὼν, ἐν βασιλείας προσχήματι τυραννικῶς ἐχρῆτο τοῖς ὑπηκόοις, ἀλλὰ τὸν ἱερὸν ἐκεῖνον ἐν νῷ λαβὼν τοῦ θείου Πλάτωνος λόγον, ὃς τότε δή που τὰς πόλεις εὖ ἕξειν, ὅτε βασιλεύσουσιν οἱ φιλόσοφοι ἢ οἱ βασιλεῖς φιλοσοφήσουσιν, ἀπεφαίνετο, οὐκ ᾤετο δεῖν βασιλεύειν μὲν, μὴ φιλοσοφεῖν δὲ τὸν οὐκ ἐκ διαδοχῆς μόνον, ἀλλὰ καὶ δι' ἀρετὴν πρωτεύειν λαχόντα. Τῷ γὰρ ἑτέρῳ πρὸς θεοῦ βασιλεὺς διοίσει τυράννου, εἰ καὶ πρὸς ἀμφοῖν οὐκ εὖ ὁμοίως ταῖς πόλεσι γένοιτο; Βασιλείας μὲν γὰρ ἔργον καὶ τέλος τοὺς ὑπηκόους εὖ ἔχειν παρασκευάζειν, τυραννίδος δὲ τοὐναντίον. Εἰ δὴ φιλοσοφίας ἐκεῖνο χωρὶς βασιλεία ποιεῖν οὐ δεδύνηται, πῶς οὐκ ἄντικρυς ἄνευ φιλοσοφίας βασιλεία τυραννίδι ταὐτόν;

Θὐκοῦν φιλοσοφεῖν ὁ πάντα ἄριστος ἐκεῖνος ἔκρινε δεῖν καὶ δυοῖν ἐκείνοιν, φιλοσοφίᾳ καὶ βασιλείᾳ, ἣν ἑωρῶμεν ἀρχὴν σὺν ἁρμονίᾳ ξυνέθηκε μουσικῇ, δι' ἧς ἐσώζετο μὲν ἡ κοινὴ τοῦ γένους ἑστία, ἐσώζοντο δὲ καὶ ὅσαι νῦν ὑφ' αὐτὴν καὶ χῶραι καὶ πόλεις καὶ ἡ τῶν Ἑλλήνων φωνὴ καὶ ἅπαν ἔθος καὶ νόμος πάτριος. Οὕτωςὶ δὲ ἄρα πᾶν εἶδος φιλοσοφίας τῷ βασιλεῖ τελείως κατώρθωτο καὶ ὡς οὐδενὶ τῶν ἄλλων οὐδὲν, ὥςτε ἐξεῖναι πάνθ' ὁντινοῦν μηδὲν ὑποστειλάμενον λέγειν, ὡς, εἴπερ ἔξω βασιλικῶν φροντίδων καὶ στρατηγικῆς τέχνης ὁ τοῦ βασιλέως ἦν νοῦς, οὐδὲν ἐλάττω τοῖν φιλοσόφοιν καὶ ὅσοι κατ' ἐκείνους ἴσχυσεν ἄν, ὁπότε νῦν δι-

1. ἀπολωλεκότες ΝΠΒΑ: ἀπολελωκότες Μ 2. ἂν ΝΠΒΑ: ἀν Μ 3. αὐτὸν ΝΒΑΜ: αὑτὸν Π ἠρεῖτο ΠΒΑΜ: ἠρεῖτο Ν 5. ὑπηκόοις ΝΠΒΑ: ὑπηκόοις μετὰ πολεμίοις διαγεγραμμένων Μ 8. ᾤετο ΠΒΑΜ: ωετο Ν βασιλεύειν ΝΠΒΑ: βασιλεύειν ἐκ τοῦ τὸ πρῶτον γραφέντος βασιλεῦσαι Μ 15. ταὐτὸν ἔγραψα: ταυτὸν Ξ 25. νῦν ΠΒΑΜ: νῦ Ν

ΕΘΝΙΚΟ ΙΔΡΥΜΑ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΝΣΤΙΤΟΥΤΟ ΜΕΛΕΤΩΝ ΝΟΗΣΕΩΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΑΚΑΛΥΨΗ ΤΗΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

κάζων μὲν τοὺς οἰκείους, μαχόμενος δὲ τοῖς βαρβάροις, τό γ' ἐκείνων τὰ δεύτερα δύνασθαι λαμβάνειν οὐκ ἀφῃρέθη.

Ὦ ξυνουσιῶν ἐκείνων, ὧν αὐτὸς αἰεί τι πλεῖον λαμβάνων ἢ διδοὺς καὶ ἀκούων ἢ λέγων ἐξήειν. Ὦ γλώττης ἐκείνης, τῇ Νέστορος ἐοικυίας. Ὦ πάντα φέρων χρόνος, οἷον ἀπήνεγκας ἀγαθὸν, 5 οἵαν ἰδέαν ἀπέκρυψας, οἷον ἐξεῖλες κοινὸν τοῖς Ἕλλησιν ὀφθαλμόν. Ὦ τῆς Ἑλλάδος ἥλιε βασιλεῦ, ποῖ ποτε γῆς ἔδυς, λιπὼν ἡμᾶς ἐν νυκτομαχίᾳ δεινῇ, καθ' ἣν καὶ βάλλομεν καὶ βαλλόμεθα; Ὦ πάντα ἡμεῖς δυστυχεῖς, ποῦ νῦν πραγμάτων ἐστήκαμεν, ἢ ποῖ πρόεισι τὰ ἡμέτερα; Ἦ που πρὸς τοῖς ἄλλοις ἅπασιν ἃ λα- 10 βὼν ᾤχετο καὶ τὸ θαρρεῖν ἡμᾶς ἔχειν περὶ τῶν ὅλων ὁ βασιλεὺς προσαφείλετο, καὶ γέγονε τῷ ὄντι οἷον εἰ πάντα ξυντεθνήκει τῷ βασιλεῖ. Τίς ἄρα, τίς ἀρκέσαι τοσούτῳ πένθει δυνήσεται, ἢ πῶς ἂν ἀξίως τουτὶ τὸ κοινὸν ἀνακλαύσεται πάθος; Νῦν ἔδει γῆν μὲν ἅπασαν κατασείεσθαι, ἥλιον δὲ νεφέλαις καλύπτεσθαι, ἀστέρας 15 δὲ, τὸν σφῶν αὐτῶν χῶρον λιπόντας, εἰς γῆν φερομένους ἐπείγεσθαι. Οὐ γὰρ ἐπὶ Φαέθοντι τότ' ἐχρῆν μᾶλλον ἢ νυνὶ τοιαῦτα τὴν οἰκουμένην παθεῖν. Νῦν ὥρα ξυναυλίαν ξυστησαμένους τὰς ἑαυτῶν ἡμῶν ἅπαντας ὀδύρεσθαι τύχας. Οὔτε γὰρ ἡμῖν ἕτερον ἓν οὐδὲν οὕτως ἔχουσι λείπεται, τό τε χρῆμα τοιοῦτον οἷον οἰμωγὰς 20 κινεῖν ὅσαι ὧραι καὶ δάκρυα.

---

1. γ' M: γε ΝΠΒΑ. 2. ἐκείνων ΝΠΒΑ: ἐκείνων ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἐκείνοιν M δύνασθαι ἐν τῷ κειμένῳ ΝΠΒΑ: δύνασθαι πρόσθετον ἄνωθεν M 3. αἰεὶ ΠΒΑM: ἀεὶ N 12. τῷ ὄντι ἔγραψα: τῶόντι Π: τῶόντι N: τωόντι BA: τωόντι M εἰ πάντα NBAM: ἀπάντα Π ξυντεθνήκει ΠAM: ξυνετεθνήκει NB 13. (δὶς) τίς NM: τὶς ΠBA 18. ξυναυλίαν NBAM: ξυραυλί Π 21 Μετὰ τὴν λέξιν δάκρυα ἕπονται τάδε Τέλος τῆς μονῳδίας A: λείπουσι ΝΠΒM

ΕΠΕΤΗΡΙΣ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝΑΚΟΗΓΗΤΗΣ ΚΩΣΤΑΣ ΠΙΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ

ΠΑΡΑΜΥΘΗΤΙΚΟΣ ΠΡΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΤΟΝ ΒΑΣΙΛΕΑ ΕΛΘΟΝΤΑ ΕΚ ΠΕΛΟΠΟΝΝΗΣΟΥ ΚΑΙ ΛΑΒΟΝΤΑ ΤΑ ΣΚΗΠΤΡΑ ΤΟΥ ΙΩΑΝΝΟΥ ΑΠΟΘΑΝΟΝΤΟΣ

Χαίρω μὲν, ὦ θειότατε βασιλεῦ, ὁρῶν σε τὸν πάντ' ἄριστον ἐπὶ τοῦ βασιλικοῦ θρόνου καθήμενον καὶ ὁ δίκαιόν τε ἅμα καὶ τοῖς ἡμετέροις οὐ μέσως συνοῖσον πράγμασι καλῶς ποιοῦν εἰς ἔργον ἐκβεβηκέναι, τό τε ὑπήκοον ἅπαν, ὥςπερ τινὸς αὐτοῖς ἐκ
5 μηχανῆς θεοῦ παρακύψαντος, παιᾶνας ᾄδειν καὶ δημοσίᾳ πανηγυρίζειν τώ τε χεῖρε κροτεῖν πολλάκις ὑφ' ἡδονῆς ὡς πρὸς τρόπου τοῖς ἀθυμοῦσιν, εἴ τι περ αὐτοῖς ἐξαίφνης καὶ ὥςπερ ἐξ ἀφανοῦς γένοιτ' ἂν οὐ τῶν μετρίων χρηστῶν. Γέγονε γὰρ τῷ ὄντι οἷον εἰ, μηδὲ σωτηρίας τυχεῖν ἐλπίζοντες, εἶτα καὶ ὑπερφρονεῖν

Περιλαμβάνεται ἐν τῷ Παρισιακῷ 1191, φ. 16α-20β, αἰῶνος ιε' (N), Παρισιακῷ 817, φ 149α-157α αἰῶνος ις' (Π), Βατικανικῷ 1098A, φ. 123β-132α, αἰῶνος ις' (B). Ἀμβροσιακῷ M 41 sup. φ. 50α-63β, αἰῶνος ιε' (A), Μαδριτείῳ 115 (4636), φ 143α-147α, αἰῶνος ιε' (M).

Ξ=ἅπαντες οἱ κώδικες.

Ἐπιγραφὴ Ἰωάννου - ἀποθανόντος M: Παραμυθητικὸς τοῦ αὐτοῦ πρὸς τὸν βασιλέα Κωνσταντῖνον τὸν Παλαιολόγον ἐπὶ τῷ θανάτῳ τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ βασιλέως Ἰωάννου τοῦ Παλαιολόγου NΠBA. Ἐν δὲ τῷ B καὶ λατινιστὶ νεωτέρᾳ χειρὶ Ejusdem in Constantinum imperatorem consolatoria.

1. Χαίρω NΠBM: αἴρω A πάντ' M: πάντα NΠBA 4 ὥςπερ τινὸς ἔγραψα: ὥςπέρ τινος Ξ 5. ἄδειν ΠBAM: ἄδειν N 6. τώ NΠBM: τώ ἐκ τῶ A 8. τῶ ὄντι N: τῶόντι Π: τωόντι BAM 9. μηδὲ ἔγραψα: μὴδὲ NΠBA: μὴ M σωτηρίας ἔγραψα: σρι ας NΠB: 'σρίας A: διορίας M

ΕΓΔΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΑΙΕΘΝΗΣ ΕΠΙΤΟΜΗ ΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΘΝΗΣ ΑΝΩΝΥΜΟΣ ΕΛΛΗΝΙΚΗ ΕΤΑΙΡΕΙΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΘΝΗΣ ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΟΣ ΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

οἷοί τε ὄντες τοὺς πολεμίους ὤφθημεν καὶ ὥςπερ εἰ μηκέτ' ὄντες αὖθις γεγόναμεν. Καὶ χάρις θεῷ μὲν οὕτωςὶ περὶ τῶν ἡμετέρων βουλευσαμένῳ, σοὶ δὲ αὐτῷ τοσαύτης ἡμῖν αἰτίῳ τύχης γεγενημένῳ· ἀνιῶμαι δὲ ὅμως, καὶ οὐκ ἄνευ ἀνίας, ὡς ἔοικεν, ἡ νῦν ἡμῖν ἡδονή. Πλάτων δὲ αὐτὸς εἰ παρῆν, οὐχ ὅπως ἐκ μιᾶς κορυφῆς οἶμαι ξυνῆφθαι δύ' ὄντε ταυτί, ἀλλὰ καὶ ἅμα ἐθέλειν ἔστιν ὡς παραγίνεσθαι τοῖς αὐτοῖς εἶπεν ἂν, καὶ οὐκ ἐκείνως μόνον τὸν θεὸν αὐτὰ διαλλάξαι. Ἀνία δὲ ἡμῖν ὅτι περ αὐτὸς οὐκ ἄνευ ἀνίας οὐδὲ δακρύων εἶ, ἀλλὰ θρηνεῖς, οἴμοι, τὸν μέγιστον βασιλέα, οὐκ ἀδελφοῦ περὶ σὲ μόνον, ἀλλὰ καὶ αὐτοῦ πατρὸς φίλτρον ἐπιδειξάμενον, ᾧ μὴ ξυνών τε αὐτὸς ἐχαλέπαινες καὶ νῦν οὐκ ἔχων οὐκέτ' ὄντα ὁρᾶν, δακρύεις μὲν οὐ μετρίως, σιγᾶς δὲ ἀφθόνως, μεῖζον ἢ φθέγξασθαι τὸ πάθος οἰόμενος Ξυμβαίνει δέ σοι ταυτὶ μετὰ πολλοὺς καὶ θρήνους καὶ δάκρυα, ὁρῶντι μὲν ἐς ἡμᾶς ὥςπερ τινὰς υἱεῖς ὀρφανοὺς, τοῦ φύσαντος αὐτοῖς οἰχομένου, πολλοῖς τε ἄλλοις καὶ δὴ καὶ τῇ σκευῇ τὴν ὀρφανίαν δηλοῦντας, βλέποντι δὲ καὶ ἐς ἣν ἐκεῖνος ἔσωζε πόλιν, ἐοικυῖαν σώματι τὸν ὀφθαλμὸν ἐκκοπέντι ἢ πόλει μᾶλλον ἧς κατασείεται τείχη. Αὐτός τε οὗτος ὁ χῶρος, τό τε βῆμα τουτὶ καὶ ὁ βασίλειος θάλαμος ἀναμιμνήσκει χρόνων ἐκείνων, οἷς τῷ μεγίστῳ ξυνὼν βασιλεῖ τῶν μὲν ἤκουες, τὰ δ' αὐτὸς ἔλεγες, οὐκ ἀηδῶς θαυμαζόμενος.

1. οἷοί ΝΒΜ: οἷοι Α: οἷον Π ὥςπερ εἰ ΝΠΒΑ: ὡςπερεὶ Μ 3. αἰτίῳ τύχης ΝΒ: αἰτίῳ ΠΑ: εὐτυχίας αἰτίῳ Μ 6 δύ' ὄντε ΠΒΑΜ: δύοντε Ν 7. παραγίνεσθαι ΝΠΒΑ: γενέσθαι Μ οὐκ ἐκείνως ΝΑ· οὐκ ἐκείνως (ἐξ ἐκεῖνως) Β: οὐκ ἐκεῖνως Π: οὐκ ἀκείνως Μ 8. αὐτὰ ΠΒΑ: αὐτ μένοντος εἶτα κενοῦ χώρου Ν: λείπει Μ δὲ ΝΠΒΑ: δ' Μ 9. εἶ Μ: λείπει ΠΝΒΑ τὸν μέγιστον ΠΝΒΑ: λείπει Μ 11. ξυνών τε ΠΑΜ: ξυνὼν τὲ ΝΒ οὐκ ἔχων ΠΝΒΑ: λείπουσι Μ 14. πολλοὺς ΝΠΒΑ: ποὺς Π καὶ (θρήνους) ΠΝΒΑ: λείπει Μ 14-15. ὥςπερ τινὰς Π: ὥςπέρ τινας ΝΒΑΜ 17. ἐς ΝΠΒΑ: εἰς Μ 18. ἢ ΠΝΒ: ἢ ἐκ τοῦ τὸ πρῶτον γραφέντος ᾗ Μ: ἢ Α 19. ἀναμιμνήσκει ΝΒΑΜ: ἀναμημνήσκει Π

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΟΛΟΓΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΤΜΗΜΑ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΠΑΠΑΓΙΩΡΓΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ἐγὼ μὲν οὖν ᾤμην ὀψὲ γοῦν τοὺς ἡμετέρους δακρύων πεπαῦσθαι καὶ τέλος ἤδη ταῖς οἰμωγαῖς ἐπιθεῖναι· τὸ δὲ ἄρ' οὐχ οὕτως εἶχεν, ἀλλὰ πᾶν μᾶλλον ἤ περ ἐκεῖνο. Σοῦ γὰρ ἐκεῖνον δακρύοντος οὐκ ἔστιν ὃς οὐκ οἰμώξεται, οὐδὲ πηγὰς ἀφήσει δα-
5 κρύων, τοῦτο μὲν μεμνημένος ἐκείνου καὶ ὅσα πέπονθεν εὖ, τοῦτο δὲ μὴ οἷός τ' ὢν ἀλγοῦντί σοι καὶ παθαινομένῳ μὴ ξυναλγεῖν. Οὐ μὴν ἄχρι παντὸς, ὦ ἄνδρες Ἕλληνες, οὐδὲ δίκαιον ὅλους οὕτω γεγονότας τοῦ πάθους ξυναυλίαν ἑτέραν αὖ πάλιν ξυστησαμένους ὀδύρεσθαι, ἀλλ' ἡμῶν τε αὐτῶν καὶ τοῦ κρείττονος γενόμενοι
10 σχήματος, τὸν μέγιστον ὡς οἷόν τε βασιλέα νυνὶ παραμυθησώμεθα. Ἄλογον γὰρ ἂν εἴη καὶ λόγου πόρρω παντὸς αὐτὸν μὲν οἷς ὁρᾶτε τὴν ἀθυμίαν ἡμῖν διαλῦσαι, ἡμᾶς δὲ αὐτοὺς μηδ' ὁντινοῦν αὐτῷ λόγον παραμυθίας ἀντιπροσάξαι, καὶ χαίρειν μὲν ὅτι περ εὖ ἐξαίφνης καὶ παρ' ἐλπίδα πεπόνθαμεν, μὴ κήδεσθαι δὲ ὅπως ὁ εὖ
15 ποιήσας μὴ ἀνιῷτο, ἀλλ' ἀγαπᾶν εἰ ξυναλγοῦντες ἐκείνῳ μόνῳ ὀφθείημεν. Χωρὶς δὲ ἐκείνων, Ἑλλήνων ἴδιον οἶμαι τὸ φιλοσοφεῖν ἐπὶ πάθεσιν, ὥστε οὐκ ἀλλοτρίοις, οἰκείοις δὲ μᾶλλον χρησάμενοι ἐν καλῷ τοῦ σχήματος εἴημεν ἄν.

Φέρε δὴ οὖν ἄλλων μὲν ἄλλοις ἔστω λόγος, ᾗ δεδύνηται
20 ἕκαστος· ἡμεῖς δὲ οὐχ ὅσα δεῖ οὐδ' οἷα βεβουλήμεθά τε καὶ δεδυνήμεθα λέξομεν, ἀλλ' οἷα τῷ καιρῷ προσφορώτατα γένοιτ' ἂν καὶ ὧν λεχθέντων οὔτ' ἀδολεσχίας φευξούμεθα κόρον τε οὐδένα ταῖς ἀκοαῖς προξενήσομεν.

2. οὐχ ΝΠΒΑ: οὐχ' Μ 6. οἷός ΠΝΒΜ: οἷος Α τ' Μ: τε ΝΠΒΑ ἀλγοῦντί ἔγραψα: ἀλγοῦντι Ξ ξυναλγεῖν ΝΒΑΠ: συναλγεῖν Π 8 αὖ ΝΠΒΑ λείπει Μ ξυστησαμένους ἔγραψα: συστησαμένους Ξ 9. αὐτῶν ΝΠΒΑ: αυτῶν Μ 10 οἷόν ΝΠΒ: οἷον ΑΜ βασιλέα ΝΒΑΜ: βασιλέαν Π 12. αὐτοὺς ΠΒΝΜ: αὐτοὺς Α μηδ' Ν: μὴδ' ΠΒΑΜ 13 παραμυθίας ΠΒΑΜ: παραμιθίας Ν 14 ὁ ΠΒΑΜ: λείπει Ν 16 ἴδιον ΝΒΑΜ: ἴδιον Π 20 οὐδ' οἷα — λέξομεν ἐν τῷ κειμένῳ ΝΠΒΑ: πρόσθετα ἄνωθεν καὶ ἐν τῇ ὥρᾳ Μ 22. φευξούμεθα ΠΒΑΜ: φευξοῦμεθα Ν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΑΘΗΝΩΝ ΜΕ ΕΛΛΗΝΙΚΗ ΣΥΣΤΑΣΗ ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Ο. ΠΕΤΣΙΟΥ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Τὸ μὲν οὖν ἐπὶ τοῖς οἰχομένοις οἰμώζειν καὶ ἀνιᾶσθαι εὔλογον ἄν τῳ δόξειεν εἶναι καὶ φύσει τοῖς ἀνθρώποις προσεῖναι· φιλανθρωπίας γὰρ ἴσως ἢ ξυμπαθείας ἤ τινος τῶν τοιούτων τεκμήριον γένοιτ' ἄν. Οἱ γοῦν πολλοὶ ξυμπαθεστέρους καλεῖν εἰώθεσαν οἳ σφόδρ' ἄν ὤμωξαν καὶ ἐδάκρυσαν καὶ τοῖς νενομισμένοις πόρρω παντὸς ἐχρήσαντο νόμου· οὓς δ' ἂν ἴδοιεν ἀδακρυτὶ τὴν ξυμφορὰν ἐνεγκόντας καὶ οἷον ἐπὶ τῷ πάθει φιλοσοφήσαντας ἐπεξέλθειεν ἄν εὐηθείας καὶ ἀναισθήτους, οἶμαί γε, νομιοῦσιν. Ἐμοὶ δὲ παντελῶς ἄλογον ἔδοξεν εἶναι καὶ πόρρω φύσεως ἀνθρωπίνης. Τό τε γὰρ ἑαυτὸν κατατρύχειν τῇ χαλεπωτάτῃ πασῶν δαπάνῃ μηδὲν ὅλως ἐξ ἐκείνης χρηστὸν ἐλπίζοντα, σφόδρα ἂν δόξειεν εὔηθες εἶναι, τό τε ἐφ' οἷς ἂν ἄλλως οὐχ οἷόν τε γενέσθαι μηδ' ἅπερ ἐφ' ἡμῖν ὄντα καὶ ἄλλως ἄν ποτε γένοιτο καταβοᾶν μὲν καὶ τύχης καὶ φύσεως, κόπτεσθαι δὲ μάτην καὶ ὀλοφύρεσθαι, μηδεμίαν ἐντεῦθεν προσδοκῶντα λύσιν δεινοῦ, μὴ ὅτι περ ἄτοπον, ἀλλ' οὐδὲ νοῦν ὅλως ἔχον ἐστίν. Ἢ τί μᾶλλον εὔλογον, ὅτ' ᾤχετό τις οἰμώζειν τε καὶ δακρύειν, ἀλλ' οὐχὶ καὶ πρὶν ἐκεῖνο ξυμβέβηκε, μᾶλλον δ' ἐξ οὗ γέγονεν ὁ μηδαμῶς ἐκεῖνο φευξούμενος; Οὐδὲ γὰρ πλέον τι τὸν φόβον ἔχειν ἔδει τῆς λύπης πλὴν εἰ μὴ τὰ ἐξ ἀνάγκης ἀγνοεῖν ὅλως ὁμολογήσαιμεν. Εἰ δὴ οὖν οὗτος ἑκάστῳ παρασταίη λογι-

1 σ 25,15 Τὸ μὲν οὖν —ἀποδείξεως κρείττονι ΝΠΒΑ: λείπουσι Μ, ἀντὶ δὲ τούτων φέρονται ἐν αὐτῷ (φ 144ᵃ⁻ᵇ) τάδε· καὶ τὰ λοιπὰ πάντα τῆς παραμυθίας τοῦ λόγου εὑρήσεις εἰς τὸν ἔμπροσθεν (κώδικος φ. 148ᵇ κ. ἑ.) παραμυθητικὸν ἐπὶ τῷ θανάτῳ τῆς μητρὸς τοῦ βασιλέως· πρῶτον δὲ οὗτος ὁ λόγος συνετέθειτο καὶ μετὰ ταῦτα ἐκεῖνος. Ὅσα δὲ ἐν τούτῳ εἴρηται, κἀκεῖ εὕρηται ἄνευ τῶν προοιμίων καὶ ἐπιλόγων· ἐπειδὴ δὲ ἐν τῷ συμπεράσματι τοῦ λόγου φαίνεταί τις διαφορὰ ἐγράψαμεν ἐνταῦθα καὶ τὸ τέλος. 1. οἰχομένοις ΠΒΑ: εἰχομένοις Ν 3. ἤ τινος ἔγραψα: ἢ τινὸς Ξ 5. σφόδρ' ΠΑ: σφόδρα: ΝΒΑ 8. οἶμαί Π: οἶμαι ΝΒΑ 12. οἷόν ΒΑ: οἷον ΠΝ μηδ' ΠΝ: μὴδ' ΒΑ 15. οὐδὲ νοῦν ΒΑ: οὐδὲν οὖν ΠΝ 18 πλέον Ν: πλέόν ΠΒΑ 19. τὸν ΠΒΑ: λείπει Ν ἐξ ἀνάγκης ΝΒ: ἐξανάγκης ΠΑ

ΕΠΙΣΤΗΜΟΝΙΚΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΑΙΕΘΝΗΣ ΚΑΙ ΕΘΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΚΩΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

σμὸς, ὅτι περ αὐτὸς ἢ ὁ προσήκων οἰχήσεται καὶ διὰ ταῦτα λυπητέον ἐστὶ, τί γε ἄλλο πρὸς θεοῦ λοιπὸν ἐν τῷ βίῳ ἢ τὸ δακρύειν δήπου καὶ μηδέποτε τῆς λύπης ἀφίστασθαι; ἢ τῷ τραγικῆς σκηνῆς ἡμῖν ὁ βίος ὅλος διέστηκε, τὸ μακάριον δὲ ποῦ καὶ οὗ ἕνεκα
5 τὴν φύσιν φιλοσοφοῦμεν ἐργάζεσθαι; Οἶμαι δὲ ἡμᾶς ἐντεῦθεν καὶ γένεσιν ἀναιρεῖν, εἰ μὴ λελήσμεθα καθ' ἡμῶν αὐτῶν καὶ γάμους ποιοῦντες καὶ ὑμεναίους ᾄδοντες καὶ παῖδας ἐκεῖθεν ἔσεσθαι φανταζόμενοι ἢ καὶ εἰς φῶς ἥκοντας ἐπὶ χρησταῖς ἐλπίσι καὶ τρέφοντες καὶ παιδεύοντες. Γενέσεως δὲ ἀνθρώπων μὴ οὔσης, σχολῇ
10 γ' ἂν ἄλλο τι τῶν ὄντων ὑπάρξοι, εἰ τἆλλά γε πάντα ἐκείνης οὕνεκα· οὔ τί ἂν τις ἀναπλάσαι δυνήσαιτο πλασματωδέστερόν τε καὶ ἀτοπώτερον;

Ἡδέως δ' ἂν ἐροίμην τοὺς ὅτ' ᾤχετό τις θρηνοῦντάς τε καὶ δακρύοντας πότερ', ὅτι τεθνήξεται προειδότες ἢ τότε πρῶτον μα-
15 θόντες ἀξιοῦσι δακρύειν; Εἰ μὲν γὰρ προειδότες, τί μὴ καὶ τότε θρηνοῦντες ἐτύγχανον; Τὸ γὰρ ἐν προσδοκίᾳ δεινὸν τοιοῦτον ὡς εἰ παρῆν, ἵνα μὴ λέγω δεινότερον. Εἰ δ' οὐκ εἰδότες, τί μαθόντες αὖ πάλιν τοῦ πάθους ἀφίστανται; Ἔχρῆν γὰρ μηδέποτε πάντως, εἰ διὰ τὸ μὴ μαθεῖν οὐκ ἐδάκρυον, πλὴν εἰ μὴ τὸν χρόνον αἰτιῷτό
20 τις, ὅτι λήθης γε αἴτιος. Ἀλλ' οὐκ εὔλογον· εἰ γὰρ ἃ καλῶς εἶχε ποιεῖν δυναμένῳ, ταῦτα τῷ χρόνῳ παραχωρήσοι τις, οὐχὶ σφόδρα γε εὔηθες; Καὶ μὴν, εἰ μὲν ἀνθρώπῳ μόνον ἐνῆν τὸ λυπεῖσθαι, φιλάνθρωπον ἂν ἴσως ἦν τὸ περὶ τοὺς οἰχομένους δακρύειν. Ἐπεὶ δὲ καὶ ἄλλοις λύπη παρὰ τὸν ἄνθρωπον, οὔτ' οἰ-
25 κεῖον ἐκείνῳ γε τὸ λυπεῖσθαι, οὔτε παρὰ τοῦτο πώποτε φιλάνθρωπον εἴη γ' ἄν τι πεποιηκώς· ἄλλοις γὰρ ἂν μᾶλλον, οὐ τῷ

1. διὰ ταῦτα ἔγραψα: διαταῦτα Ξ 6. λελήσμεθα N: λελήμεθα ΠΒΑ 7. παῖδας ΠΝΒ: παῖδες Α 10. ἄλλο N: ἄλλό ΠΒΑ τἆλλά ἔγραψα: τἆλλα Α: τ'ἄλλα ΝΒ: τἆλα Π 11. τί ΠΒΑ: τὶ N ἀναπλάσαι ΠΒΑ: ἀναπλασαι N πλασματωδέστερον ΠΒΑ: πλασματοδέστερον N 13. θρηνοῦντάς ΝΒ: θρηνοῦντας ΠΑ 21. τις ΠΝΒ: τὶς Α

ΕΡΓΑΣΤΗΡΙΟ ΕΦΑΡΜΟΣΜΕΝΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΙΕΠ ΓΩΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Σ. ΠΕΤΡΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

λυπεῖσθαι δεικνύοιτ' ἂν τὸ φιλάνθρωπον. Ἀλλὰ μὴν οἰκειότερον ἀνθρώπῳ λύπης κατακρατεῖν καὶ τῶν ἀλόγων ἄλλων παθῶν ἢ τούτων ἥσσω γενόμενον ἔξω λόγου παντὸς, ἴσον δ' εἰπεῖν ἑαυτοῦ καὶ τῆς οἰκείας φύσεως φέρεσθαι. Ἔσται γὰρ οἷον εἰ τὸν ἀμείνω δοριάλωτον ὁ χείρων ἄγοι λαβὼν ἢ εἰ δοῦλος δεσπότην. Χωρὶς δὲ τούτων, εἰ τῶν ἀλόγων ἡ λύπη κἀκείνοις πάλαι τοῖς σοφωτέροις ξυγκατηρίθμητο, οὐκ ἔστι δ' ὅπως ποτὲ τὰ τοιαῦτα γένοιτ' ἂν ἢ τοιαῦτά γε λογικὰ, οὐκ ἂν οἰκεῖον ἀνθρώπῳ λεχθείη γ' ἂν τὸ λυπεῖσθαι, οὐδὲ λόγῳ ποτὲ χρωμένοις ἢ τοιούτοις προσεῖναι, ἕως ἂν ἕκαστον κατὰ χώραν ἰδίαν ἑστήξοι τῶν ὄντων καὶ τῆς οἰκείας φύσεως οὐκ ἐκστάιη.

Θαυμάζω δὲ, εἰ τῶν ὅσα μὲν παρ' αὐτὰ πρόσεστιν ἀνθρώποις ἐξ ἀνάγκης ἵν' ὦσι καὶ ὅπως σφίσιν αὐτοῖς ἡ περὶ λόγον ἐνέργεια γένοιτ' ἂν, ὅθεν τε τὸ εὖ εἶναι καὶ τὸ μακάριον δήπου περίεστι, μηδὲν οἰκεῖον ἀνθρώπῳ μηδὲ λόγου μηδενὶ μετεῖναι, κἂν ἐξ ἀνάγκης προσῇ κἂν ὑπουργῇ πως τῷ λόγῳ, νομίζομεν. Ταυτὶ δὲ αὐτίκα μάλα λόγῳ τιμήσομέν τε καὶ περιάψομεν ἀνθρώπῳ μηδὲν ἐκείνῳ προσήκοντα, καὶ ταῦτα πόρρω τὸ εὖ εἶναι καὶ τὴν εὐδαιμονίαν διώκοντα. Οὔκουν νομιστέον ἀνθρώπῳ ταῦτα οἰκεῖα, οὐδ' ἡντινοῦν

1. δεικνύοιτ' ΠΝΒ: δεικνύειτ' Α ἀλλὰ μὴν ΠΑ: ἀλλαμὴν ΝΒ: 2. ἄλλων ΒΝΑ: λείπει Π 4 τὸν ΝΑΒ: τὸν τὴν Π 5. δοριάλωτον ἔγραψα: δορυάλωτον Ξ 7 ὅπως ποτὲ ἔγραψα: ὅπώςποτε Ξ τοιαῦτά Β: τοιαῦτα ΠΝΑ 9. ἢ ΒΑ: ἢ ΠΝ 10. ἕκαστον ΝΒΑ: ἑκαστον Π χώραν Α: χῶραν ΠΒΝ ἑστήξοι ΝΒΑ: ἑστήξοι Π 13. ἐξ ἀνάγκης Α: ἐξανάγκης ΠΝΒ ἵν' ΝΒΑ: ἵν' Π αὐτοῖς ΠΝ: αὐτοῖς ΒΑ 14. γένοιτ' ΠΑ: γίνοιτ' ΝΒ περίεστι ΑΒ: περίέστι Π: περιέστι Ν 15. μηδὲ ἔγραψα: μὴδὲ Ξ ἐξ ἀνάγκης ἔγραψα: ἐξανάγκης Ξ 16. νομίζομεν Α: νομίζωμεν Β: νομίζωμεν ΠΝ 17. τιμήσομέν ΠΝΒ: τιμήσωμέν Α περιάψομεν ΠΑ: περὶάψομεν ΝΒ 19. οὔκουν ΝΑ: οὐκουν ΠΒ

ΕΡΑΣΜΙΟ ΠΙΣ. ΤΗΜΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΙΣΤΟΡΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΝΩΣΕΩΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΠΕΡΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

αὐτοῖς μετουσίαν εἶναι τοῦ λογικοῦ, εἰ μὴ ὅσα γε πειθαρχεῖ τῷ λόγῳ καὶ μᾶλλον εἰ μὴ πραχθείη ἢ ἀμωσγέπως ἀνθρώπῳ γένοιτο εἶεν.

Εἰ δ' ἐξ ἀνάγκης ἄνθρωπος θνήσκει καὶ θανὼν ὅ τι μεγίστων
5 κακῶν ἀπαλλάττεται ἢ καὶ τὸ μακάριον τέλος ἐκεῖνο κομίζεται, τὴν εὐδαιμονίαν, τί μᾶλλον λυπητέον, ἀλλ' οὐκ οἰστέον ἢ τί δακρυτέον, ἀλλ' οὐ πανηγυριστέον, εἴ γε μὴ μέλλοιμεν ἐκείνῳ δόξειν φθονεῖν τῶν ἀπαντησαμένων χρηστῶν καὶ ὅσα οἱ τῶν ἀγαθῶν προεγένετο;

10 Ὁ γὰρ ἄνθρωπος ἔστι μὲν οὐ τῶν ἁπλῶν καὶ αὐτὸς, οὐδ' ὅσα τῶν ἐνιαίων ἁπλῶς ὄντα τῶν σφῶν αὐτῶν οὐχ ὑπομένει διάζευξιν, ἀλλ' ὅσα τῶν τῆς ὑλαίας δυάδος ὅρων ἔσω γενόμενα τοῦτο μὲν οἷς τὴν ἀρχὴν ξυνετέθη τὴν διάλυσιν εἴωθε πάσχειν, τοῦτο δ' οἷς τὰ ἀντικείμενα γέγονε τὴν ἀπ' ἀλλήλων ὑφίστασθαι φύσει τῶν
15 ἐναντίων διάστασιν. Βίᾳ τε γὰρ ἐς γένεσιν ὁτιοῦν ἅπαν ἐλαυνόμενον τῶν ἐναντίων χωρεῖ, αὐτά τε ταῦτα ἀλλήλοις ξυνόντα οὐκ ἔστιν ὅτε σφίσιν αὐτοῖς μαχόμενα παύεται, οὐδ' ἀλλήλων ἥσσω γιγνόμενα ταῖς μάχαις οὐ περιγίγνεται. Ξυνὸς ἐνυάλιος ἐκεῖνος τῷ ὄντι καὶ τὸν κτανέοντα κατακτάς. Διὸ φθαρὲν ἅπαν ὅ τι ἂν εἴποι
20 τις τῶν ξυγκειμένων ἐκποδὼν γενόμενον οἴχεται καὶ γίγνεται τῶν μαχομένων ἐκεχειρία τις, μᾶλλον δὲ λάφυρόν τι καὶ ἀριστεῖον ἡ

1. λογικοῦ ΝΒΑ λογικοῦ ἐκ τοῦ τὸ πρῶτον γραφέντος λόγου Π 2. μᾶλλον ΠΒΑ: μᾶλλ Ν 4. ἐξ ἀνάγκης ἔγραψα: ἐξανάγκης Ξ 6-7. δακρυτέον ΝΑ: δαικρυτέον ΠΒ 7. μέλλοιμεν ΠΒΑ: μέλλοι μὲν Ν 8. ἀπαντησαμένων ΝΒΑ: ἀπαντήσαμένων Π ὅσα ΠΝ: ὅσά ΒΑ 9. προεγένετο Α: προσεγένετο ΠΒ: προσέγένετο Ν 10. ἁπλῶν ΝΒΑ: ἁπλῶν Π 14. ἀπ ἀλλήλων ΠΝΒ: ἀπαλλήλων Α 15 ὁτιοῦν ΠΒΑ: ὁτιοῦν Ν 17. αὐτοῖς ΝΑ: αὐτοῖς ΒΠ 18. γιγνόμενα ἔγραψα: γινόμενα Ξ περιγίγνεται ἔγραψα: περιγίνεται ΠΒΑ: περιγϊνεται Ν ἐνυάλιος ἔγραψα: ἐνάλιος Ξ (Ἴδε Ὁμήρου Ἰλιάδος Σ 309 καὶ τὸ ἀνάλογον χωρίον ἐν τῷ Παραμυθητικῷ ὑπὲρ τῆς μητρός) 18-19. τῷ ὄντι Ν: τωόντι ΠΒΑ 20. ἐκποδὼν ΠΝΑ: ἐκποδὼν ἐξ ἐκποδῶν Β 21. τις ΠΝΒ: τὶς Α

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΠΛΩΜΑΤΙΟΥΧΟΣ ΕΠΙΤΗΔΕΙΟΤΗΤΟΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΗΜΗΤΡΙΟΣ ΑΝ. ΚΩΣΤΑΚΟΠΟΥΛΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΘΕΟΛΟΓΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τοῦ ξυνθέτου φθορά. Οἷς γὰρ αὐτὸ μὲν οὐκ ἔστιν, εἰ μὴ ξυνεῖεν ἀλλήλοις ὁποιοιςτισινοῦν δεσμοῖς, οὓς οἶδεν ἡ φύσις, τὰ ἀντικείμενα· πῶς γὰρ αὐτό τι ἂν εἴη, τῶν μορίων διεστηκότων, οἷς ὅλῳ τε αὐτῷ εἶναι καὶ ἁπλῶς εἶναι περίεστιν; αὐτὰ δὲ σφίσι μαχόμενα τὴν σὺν ἀλλήλοις οὐ φέρει δίαιταν, ἀλλ' ἔργον ἑκάστῳ τοῦ πολεμίου πεσόντος ἑστήξειν αὐτίκα μάλα χωρὶς, ὁ πρὸς ἄλληλα δήπου τῶν ἐναντίων πόλεμος ἀπώλεια ἂν εἴη τοῦ ξυγκειμένου, τό τε μηκέτ' εἶναι τὸ ξύνθετον οἷον ἀνακωχαί τινες εἰκότως καὶ λάφυρα τῶν πολεμίων νομίζοιτ' ἄν. Οὐ μὴν ἀλλ' εἰ δυοῖν ὄντοιν, εἴδους μέν, ἵν' εἴη τὸ ξύνθετον, ὕλης δ' αὖ πάλιν, ἵνα τὸ εἶδος ὑπάρχῃ, καθάπερ ἀνάγκη χαλκὸν εἶναι καὶ ξύλον, ἵν' εἴη κλίνη καὶ ἀνδριάς, οὐκ ἔστιν ὅπως ἂν ὑφ' ἓν εἶδος θάτερον σταίη τὸ ὑποκείμενον, οὐδ' ἠρεμήσει μένον πρὸς ὃ κεκίνηται, ἀλλὰ πρὸς ἅπαντα πεφυκὸς παρὰ μέρος ἐς ἕκαστον φέρεται τῷ μὴ πάνθ' ἅμα τῶν ὄντων ἔχειν λαβεῖν, πῶς ἂν εἴη τι φθοράν τε καὶ τὸ μηκέτ' εἶναι τῶν ξυγκειμένων ἐκπεφευγός; ἢ πῶς οὐκ ὀλίγον ἐντεῦθεν γενόμενον χρόνον καὶ οἷον μόνον φανὲν ἔπειτ' ἐξαίφνης οἰχήσεται; Πάντα μὲν γὰρ ἡ ἐν ἑκάστῳ ὕλη τὰ ὄντα τῷ πεφυκέναι δέχεσθαι πάντα, οὐδὲν δὲ ὅμως αὖ πάλιν τῶν ὄντων οὐ τῷ μηδὲν εἶναι μόνον ἐκείνων ὅσα γε τῶν ὄντων ἐστὶν, ἀλλὰ καὶ τῷ μὴ πάνθ' ἅμα δύνασθαι κατ' ἐντελέχειαν εἶναι. Οὐδὲ γὰρ ἡ αὐτὴ καὶ μία τῷ ἀριθμῷ, οὐδ' ἐν αὐτῷ τῷ νῦν τοῦ χρόνου τῷ ἀμερεῖ, ἵππος ἅμα καὶ ἄνθρωπος εἴη γ' ἂν, πολλοῦ γε καὶ δεῖ, ὅπου γε μεταξὺ τούτοιν οὐκ ὀλίγα τὰ ὄντα, δι' ὧν ἥξειν ἀνάγκη τὴν ὕλην, γενέσει τε

1. ξυνθέτου ΠΒΑ: ξύνθέου Ν αὐτὸ ΝΒΑ: αὐτὸ Π
3. αὐτό ΝΒΑ: αὐτός Ν 4. περίεστιν Β: περίέστιν ΠΑ: περιέστιν Ν 5. σὺν ΝΒΑ: συν Π 6. πεσόντος ΝΒΑ: ποσόντος Π ἑστήξειν ΠΒΑ: ἑστήξειν Ν 9. νομιζοιτ' ΠΒΑ: νομίζοντ' Ν 11. ἀνάγκη ΠΝΒ: ἀνάκη Α 16. ὀλίγον ΝΒΑ: ολίγον Π 18 μὲν προςέθηκα ἐκ τοῦ Παραμυθητικοῦ ἐπὶ τῇ μητρί: λείπει Ξ 20. πάνθ' ΠΒΑ: πὰνθ' Ν
23. ὅπου ΠΒΑ: οὔπου Ν 24 τε Α: τὲ ΠΒ: τ- Ν

ΕΠΙΣΤΗΜΟΝΙΚΟ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΑΙΕΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΑΝΑΠΛΗΡΩΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΣΠΗΛΙΟΠΟΥΛΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἅμα καὶ φθορᾷ μεταβάλλουσαν, εἰ ἐξ ἀνθρώπου ἵππος ἢ τὸ ἀνάπαλιν γένοιτο.

Χωρὶς δὲ ἐκείνων, ποῦ θήσει τις τὰς ἐναντίας τῶν ὄντων ποιότητας; Ἄλλαι γὰρ ἄλλαις ἐξ ἀνάγκης περὶ τὴν σφῶν αὐτῶν γένεσιν· ξυνεῖναι δ' οὖν τὰς τοιαύτας ἀλλήλαις οὐ τῇ πείρᾳ μόνον, ἀλλὰ καὶ τῷ λόγῳ πάντως ἀμήχανον. Πῶς οὖν ἅμα πῦρ τε καὶ ὕδωρ ἢ ὅλως ἵππος καὶ ἄνθρωπος; Διὸ δὴ καὶ ὁρᾶν ἔξεστι πρὸς ὁτιοῦν φερομένην τὴν ὕλην, καὶ ὃ μὲν εἶχε τῶν ὄντων αὐτίκα μάλα προϊεμένην, οὗ δ' ἂν οὐ πολλῷ χρόνῳ πάλιν αὖθις ἐκσταίη καὶ πόρρω γένοιτο, τοῦτ' ἔπειτα σφόδρ' ἐπειγομένην λαβεῖν καὶ ὥςπερ ἂν εἰ χωρὶς ἐκείνου μηδέποτε γένοιτο. Οὔκουν οὔτ' ἄνθρωπος ἄνευ ἀνάγκης, οὔτ' ἄλλο τῶν ὄντων οὐδὲν φθειρόμενον οἴχεται. Πόθεν; εἴ γε φύσει πᾶν ὁτιοῦν ξυγκείμενον διαλύεται, οὐδ' ἡμᾶς ἐφ' οἷς οὐκ ἔστιν ὅπως ἄλλως ἂν γένοιτο χρεὼν ἄχθεσθαί τε καὶ χαλεπαίνειν, μᾶλλον δὲ κόπτεσθαί τε καὶ ὀλοφύρεσθαι καὶ πηγὰς ἄλλας μυθώδεις ἀφιέναι δακρύων· ὥςπερ ἐνίους εἶδον πολλάκις ἐγὼ καταχρωμένους τοῖς πάθεσι καὶ ὅλους γενομένους ἐκείνων ἔξω λόγου παντὸς καὶ τῆς σφῶν αὐτῶν ἀξίας καὶ φύσεως φέρεσθαι.

Καὶ μήν, εἰ μὲν ἄνθρωπος ὥς γε τἆλλα τῶν ὄντων οὐκέτ' ἦν αὐτίκα φθειρόμενος, ἢ μηδεμία μηχανὴ δήπου οὐδ' αὖ ἐλπὶς ὅπως ἂν πάλιν ἔσοιτο κατελείπετο, οὐδ' οὕτως ἂν ἡμῖν λυπητέα, οὐδὲ δακρυτέα πόρρω τοῦ λόγου, ἀλλ' ὅσα μὴ γελᾶν ἔχοντες μηδ' ἡδονῇ χρώμενοι ποιεῖν ὅσα ἂν ἐθέλουσι χαίροντες, ἠγαπῶμεν

2. γένοιτο ΝΒΑ: γένοιντο Π 3. τις ΠΝΒ: τὶς Α 4. ἐξ ἀνάγκης ΠΝ: ἐξανάγκης ΒΑ αὐτῶν Π: αὐτῶν ΝΒΑ 7. δὴ ΠΒΑ: δὲ Ν ἔξεστι ΝΒΑ: ἔξεστι ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἔξεστη μετὰ διαγραφὴν τοῦ στη Π 7-8. πρὸς ὁτιοῦν ΠΝΒ. προσοτιοῦν Α 8. τὴν ἐν τῷ κειμένῳ ΠΝΑ: τὴν πρόςθετον ἄνωθεν Β 15. ὁλοφύρεσθαι ΠΒΑ: ὁλοφύρεσθαι Ν 20. τἆλλα ἔγραψα: τἆλλα Ξ 24. μηδ' Α: μὴδ' ΠΝΒ ἡδονῇ ΝΒΑ: ἡδονῇ ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἡδονὴ Π

ΕΡΑΣΙΤΕΧΝΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΛΛΗΝΙΚΗ ΦΙΛΟΣΟΦΙΑ ΑΠΟ ΤΟ ΒΥΖΑΝΤΙΟ ΣΤΟ ΝΕΟΕΛΛΗΝΙΚΟ ΠΕΝΤΑΓΛΩΣΣΟ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἂν φύσει καὶ ὅσα περ οὐκ ἄλλως ἄν ποτε γένοιτο, φιλοσοφίᾳ τε ἐχρώμεθα ἄν, μή ποτε φαύλως ὑπαχθῆναι καὶ ἀρχαϊκῶς φύσει δόξωμεν δεδιότες μηδὲ φανῶμεν τῆς ἡμετέρας ἀξίας ἀμηγέπη χείρους γενόμενοι. Ἐπεὶ δὲ θανὼν ἔτι ζῇ καὶ μόνον αὐτῷ διάλυσις γέγονε, μένει δ' ἔτι ψυχὴ καὶ μοίρας τετύχηκε κρείττονος, λόγος τε οὐδεὶς οὕτω πιθανὸς, οὐδ' ὃν ἐχάλκευσεν ὁ Περίπατος, ὥστε ῥᾳδίως αὐτῷ πεισθέντας νομίσαι τοὺς ἡμετέρους μὴ οὐχὶ πάλιν αὖθις θεοῦ δυνάμει καὶ χάριτι καὶ θανόντα ποτὲ τὸν ἄνθρωπον ἀναστήσεσθαι, θρηνήσομέν τε πόρρω τοῦ μέτρου καὶ ξυναυλίας ἄλλοτε ἄλλας ὀλοφυρόμενοι καὶ δακρύοντες ξυστησόμεθα;

Καὶ πῶς εὖ φρονεῖν δόξομεν ἢ πῶς ἡμῶν αὐτῶν καὶ τῆς ἡμετέρας δόξης καὶ πίστεως ἄξιά ποτε, φαίην δ' ἂν καὶ ξυνῳδὰ, ποιησόμεθα, ἢ πῶς ἂν οὐκ ἄτοποι νομισθείημεν, εἰ δι' ὃν ὅτι τέθνηκε πενθεῖν ἀξιοῦμεν, τοῦτον ὅτι ζῇ θρηνήσομέν τε καὶ ἀνοιμώξομεν; Καὶ μὲν δὴ καὶ εἴ τις ἐθελήσοι σκοπεῖν ὅσα πρόςεστι τοῖς ἔτι περιοῦσιν ἀνιαρὰ, εἰκότως ἂν οἶμαι μακάριον ἐρεῖν καὶ εὐδαίμονα τὸν οὕτω πολλῶν τε καὶ μεγάλων ἀπαλλαγέντα δεινῶν. Τί γὰρ ἐν βίῳ πρὸς θεοῦ τῶν ἡδέων ἢ τί τῶν ὄντων πέφυκε παραμένειν; Ἐγὼ μὲν οἶμαι τὸν βίον οὐ πολλῷ τραγικῆς διεστηκέναι σκηνῆς, οὐδ' ὅσα μίαν ἡμέραν ἤνθησέ τε ἅμα καὶ κατερρύη. Εἰ δέ τῳ μὴ γνώριμα λέγομεν, τὴν ἀρχὴν μὲν ἄτοπον, εἰ πληττόμενος ὅλως τις οὐκ αἰσθάνεται, ἔπειτα θαυμαστὸν ἄγαν, εἰ μὴ πείρᾳ τὸν βίον ἐγνώκει τις λυπηρόν· ἤτοι γὰρ ἀναισθησίας φευξεῖται ἢ μέτρον ὑπάρξεως οὐκ εἶχε τὸν χρόνον.

Ἀγνοήσει τοίνυν οὐδεὶς, οἶμαι, τῶν νοῦν ἐχόντων οἷος ὁ παρὼν βίος καὶ οἷα τὰ ἐν αὐτῷ πάντα, ὡς ἄστατα δῆλα δὴ καὶ

1. ἄλλως ΠΒΑ: ἄλλως N 4. ἔτι ΝΒΑ: ἑτι Π 11. εὖ φρονεῖν ΠΑ: εὐφρονεῖν ΝΒ αὐτῶν ΠΝΑ: αὐτῶν Β 12. ἄξιά ΠΒΑ: ἀξῖά N 13. ὅτι ΝΒΑ: ἅτι Π 15. ἔτι ΝΒΑ: ἑτι Π 17. πολλῶν ΠΒΑ: πολῶν N 21. τὴν ἀρχὴν ΠΝ: τηνυρχὴν ΒΑ μὲν ΠΒΑ: διὰ σημείου Λ πρόςθετον ἐν τῇ ὥρᾳ N 22. τις ἔγραψα: τὶς Ξ 25. οἶμαι ΝΒΑ: οὖμαι Π 26. δῆλα δὴ ἔγραψα: δηλαδὴ Ξ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΚΔΟΣΕΩΝ ΤΗΜΟΙΣΑΝΝΙΝΟΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

οὐ βέβαια. Ἀλλ' αὐτίκα πάνθ' ὀντινοῦν, εἰ μὲν τῶν σοφωτέρων εἴη καὶ ὅσοι τῶν ὁρωμένων ἕτερα μείζω καὶ τελεώτερα προςδοκῶσι, καταγελᾶν ὅ τι μάλιστα βίου καὶ ὅσα περ ἐν αὐτῷ δυςχερῆ τε ἅμα καὶ ἡδέα δοκεῖ· μυρία δὲ ἄρα δεινῶν ξυμβαίνει κατὰ τὸν
5 βίον καὶ σχεδὸν ἀνάγκη τούτων αἰεί τι παρεῖναι, χρόνος τε οὐκ ἔστιν οὐδείς, ἐν ᾧ μηδὲν ἀνθρώπῳ δύςκολον ἁπαντᾷ· εἰ δ' αὖ τῶν πολλῶν καὶ ὅσοι μάλιστα συζῶσιν αἰσθήσει, τῷ δέει κατεπτηχέναι τὸν βίον καὶ ὥςπερ τινὰ δεσπότην ἄλλον καὶ τύραννον ἰταμώτατον δεδιέναι καὶ τὰς ἐκ τούτου τύχας τε καὶ στροφάς.
10 Βέβηκε γὰρ ὁ βίος ἐπ' οὐδενὸς ἀσφαλοῦς, ἄνω δὲ καὶ κάτω φερόμενος καὶ νῦν μὲν ἐς εὐτυχίαν ἄγειν δοκῶν, νῦν δ' ἄλλους αὖ ποιούμενος ἀνευδαίμονας, ἔστι δὲ οὗ τοὺς αὐτοὺς ἀνάγων τε καὶ κατάγων, κύκλος τις εἶναι δοκεῖ τῷ λόγῳ στρεφόμενος· καὶ πέπλασται δὲ τοιοῦτος τοῖς γράφουσιν. Αὐτὸς δὲ πολλάκις καὶ πρὸς
15 παῖδα παίζοντα τὸν βίον ἀντεξετάζω. Ὡς γὰρ ἐκεῖνος οὐδενὶ λόγῳ φερόμενος οὐδὲ πρὸς οὐδὲν τέλος οὐδὲ σκοπὸν ἀφορῶν οἰκοδομεῖ τε καὶ αὖ πάλιν ἅπερ ᾠκοδόμησε καθαιρεῖ, οὕτωςὶ δὲ καὶ ὁ παντὸς οὑτινοςοῦν παιδὸς εὐηθέστερος βίος τῶν περὶ ἡμᾶς ἁπάντων οἰκοδόμος τε ὁ αὐτὸς καὶ καταλύτης ἐστίν, ἑκατέρων αὐτὸς ὢν δε-
20 σπότης καὶ πρύτανις τῶν ἐκ τῆς τύχης ἡδέων καὶ μή. Τί οὖν ἂν πάθοι δεινὸν ὁ τῆς παιδιᾶς τοῦ βίου καὶ τῶν ἐκ τύχης ἀθυρμάτων ἀπαλλαγεὶς ἢ πῶς ὁ θάνατος, τοσούτων κακῶν ἀπαλλάττων ἀνθρώπους, οὐκ ἂν εἰκότως εὐεργέτης τις αὐτῶν νομισθείη; Οὐδὲ γὰρ δίκαιον ὅλως, οὐδ' ἐχρῆν αἰεὶ τῷ βίῳ τὸν ἄνθρωπον παίζε-
25 σθαι, οὐδ' ἐν οὕτω δεινῷ πελάγει καὶ κλυδωνίῳ χειμάζεσθαι. Ἢ

3. τε ΠΝ: λείπει ΒΑ ἄρα ΝΑΒ: ἄρ Π 5. αἰεὶ ΠΒΑ: ἀεὶ Ν 8. ὥςπερ τινὰ ἔγραψα: ὥςπέρ τινα Ξ 9. ἰταμώτατον ΠΝΒ: ἰταμώτατον Α 13 κύκλος Α: κύκλός ΠΒΝ 14. πολλάκις ΝΒΑ: λλάκις Π 18. ἁπάντων ΝΒΑ: ἁπάντων Π 22. τοσούτων ΠΒΑ: τὸσούτων Ν 24 αἰεὶ ΠΒΑ: ἀεὶ Ν 25. δεινῶ ΝΒΑ: δινῶ Π

ΕΠΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΟΝΩΝ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΩΝ ΠΟΛΙΤΩΝ ΑΠΟΦΟΙΤΩΝ ΑΝΩΤΑΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣΘ. ΠΑΛΑΙΟΛΟΓΟΥ ΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣΘ. ΠΑΛΑΙΟΛΟΓΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

γὰρ ἂν ἓν οὐδὲν ἦν ἀνθρώπου τῶν ὄντων ἀνευδαιμονέστερόν τε καὶ δυςτυχέστερον.

Ἄνευ δὲ τῶν εἰρημένων, εἴ τις ἀκριβῶς ἐξετάζειν ἐθελήσοι τὸν βίον, δίκαιος λογιστὴς τῶν παρ' αὐτοῦ δοκούντων ἡδέων τε ἅμα καὶ ἀλγεινῶν ἡμῖν καταστάς, εὑρήσει τῶν ἡδέων μὲν οὐ πολλὰ οὐδ' ἄμικτα καὶ αὐτά, κἀκεῖνο μόνον ἔχοντα πάντως ὅθεν αὐτοῖς γε καὶ τοὔνομα, ἀλλ' ἤτοι μεμιγμένα τοῖς ἀλγεινοῖς ἢ πραγμάτων ἀρχὴν καὶ κακῶν ἑτέρων ὑπόθεσιν. Ὁ γὰρ ἐκεχειρία τοῖς μαχομένοις, παρασκευὴ δῆλα δὴ πολέμου καὶ πραγμάτων ἄλλων μειζόνων ἀρχή, τοῦτο πᾶν ὁτιοῦν οἶμαι τῶν ἐν τῷ βίῳ χρηστῶν, εἰ δὴ χρηστόν γε λεκτέον παρ' εὖ φρονοῦσιν ὁ κακοῦ τινος αἴτιον. Ἀπόχρη γὰρ ἐνίους μόνους τούς γε πολλοὺς παρασύρεσθαι γοητείᾳ τινὶ τῶν περὶ τὸν βίον σεσυλημένους, οἶμαι, τὰς φρένας καὶ τὸ λογίζεσθαι· ἀνδρῶν δὲ νοῦν ἐχόντων ἐκεῖνο μόνον ἡγεῖσθαι χρηστὸν, ὅπερ ἐθέλει τοιοῦτον οὐκ αἰσθήσει μᾶλλον ἢ λόγῳ κεκρίσθαι καὶ ὅ γε τέλος ἢ 'κείνου ἕνεκα.

Τῶν ἡδέων μὲν οὖν, ὅπερ ἔλεγον, οὐ πολλὰ ἂν ὁ τὸν βίον ἐξετάζων εὑρήσοι, οὐδ' ὅσα μόνον ἡδέα ὄντα τῶν οὐ τοιούτων ὅλως ἀπήλλακται· ἐσμοῖς δὲ ὅλοις δεινῶν καὶ σμήνεσί τισι δυςχερῶν μυρίοις ἐντεύξεται. *Μυρία γὰρ κατὰ τὸν εἰπόντα δεινὰ κατ' ἀνθρώπους ἀλάληται· | πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα, | νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρᾳ ἠδ' ἐπὶ νυκτὶ | αὐτόματοι φοιτῶσι, κακὰ θνητοῖσι φέρουσαι | σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα Ζεύς.*

Εἰ δὲ μὴ πάρεργον ἦν ἢ τοῦ καιροῦ πως ἔξω φερόμενον, κατ-

1 ἀνευδαιμονέστερόν τε ΒΑ: ἀνευδαιμονέστερον τὲ ΠΝ
9. παρασκευὴ ΠΝΑ: παρασκευὴ ἐκ τοῦ τὸ πρῶτον γραφέντος παρασκευῆ Β δῆλα δὴ ἔγραψα: δηλαδὴ Ξ 14. νοῦν ΝΒΑ: νῦν Π ἐκεῖνο ΝΒΑ: ἐκείνο ἐξ ἐκείνω Π 15. ἡγεῖσθαι ΝΒΑ: ἡγεῖσθαι Π 16. 'κείνου ΝΒΑ: κείνου Π 18. εὑρήσοι ΝΒΑ: εὑρήσοι Π 19. σμήνεσί τισι ἔγραψα: σμήνεσι τισὶ Ξ
23. φέρουσαι ΠΒΑ: φέρουσα Ν

ΕΠΑΣ ΗΠΕΙΡΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Α. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΑΠΑΣΤΑΥΡΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἔλεξα ἂν ἡδέως οὐκ ὀλίγα τῶν ὅσοις ἐντυγχάνομεν ἐν βίῳ δεινοῖς· πάντα γὰρ ἀριθμῆσαι καὶ πέρας εὑρεῖν τἀριθμῷ ἀμήχανον οἶμαι καὶ λόγῳ καὶ μέλανι. Πλὴν ἀλλ' ἐκεῖνο χρὴ παρ' ὅλον τὸν λόγον ἀναπεμπάζεσθαί τε καὶ θεωρεῖν, ὡς οὐ δι' αὐτόν τι χρῆμα ὁ
5 βίος οὐδὲ τἆλλα πάντα γε τούτου ἕνεκεν, ἀλλ' ἔστιν οἷον ἡ νόσος ἐς τὴν ὑγίειαν ἤ, εἰ βούλει, μᾶλλον οἷον τὸ φαρμάκοις χρῆσθαι πρὸς τὴν αὐτήν. Ἀμέλει καὶ εἰ χρυσοῦ χωνευτήριον τόπος τε ἀγώνων καὶ θέατρον καὶ πλοῖον καὶ τὰ τοιαῦτα καλοῖτο, οὐ πόρρω τῆς αὐτοῦ φύσεως σχοίη γ' ἂν τὰ τοιαῦτα τῶν ὀνομάτων. Οὐ
10 δι' αὐτὰ γὰρ κἀκεῖνα, ἀλλὰ τῷ μὲν δόκιμος εἰ τύχοι χρυσὸς, τῷ δὲ κότινος, τῷ δ' αὖ λιμὴν, ἐκτήθη καὶ τὸ σεσῶσθαι. Ὥςπερ οὖν τῶν ἡδέων ἓν οὐδὲν ἐν ἐκείνοις, οὐδ' ὧν ἄν τις ἕλοιτο δι' αὐτὰ, εἰ μὴ ὅσα γε πρός τι τῶν εἰρημένων πεπέρανται, οὕτως οὐδ' ἐν τῷ βίῳ τῶν ὄντων οὐδὲν ὅπερ ἔξω τοῦ χοροῦ τῶν δυςχερῶν δικαίως
15 ἑστήξει οὐδ' ὅπερ ὁπωςοῦν ἡδέος μετειληφὸς ἀρχή τις οὐκ ἔσται πάλιν ἀνιαροῦ.

Τί ποτ' οὖν ἡμεῖς, οὑτωσὶ μὲν τοῦ παρόντος ἔχοντος βίου καὶ οἷον ἡμᾶς παίζοντός τε καὶ κύκλῳ τινὶ περιάγοντος, τοσούτων δὲ ὄντων ἀνιαρῶν, ὥςτε μηδ' ἐλεύθερον ἐᾶν ἀναπνεῖν τὸν βιοῦντα
20 μηδ' ἔχειν ἐφ' ὅτῳ μᾶλλον ἂν αὐτὸν ἡδόμενον ἢ ἀνιώμενον αἴσθοιτο,

2. εὑρεῖν ΝΒΑ: εὑρεῖν Π τἀριθμῷ ΝΒΑ: τ' ἀριθμῷ Β
4. οὐ δι' αὐτὸν ΠΒΑ: οὐδ' αὐτὸν Ν 5. βίος ΝΒΑ: βίως Π τἆλλα ἔγραψα: τἆλλα Ξ ἕνεκεν ΝΒΑ: ἕνεκεν Π
6 ὑγιείαν ἔγραψα: ὑγείαν Ξ 7. τε ΠΑ: τὲ ΝΒ 8. καὶ θέατρον προςέθηκα ἐκ τοῦ Παραμυθητικοῦ ἐπὶ τῇ μητρὶ: λείπει Ξ πλοῖον ἔγραψα: πλοῖς ἐν τῷ κειμένῳ ΝΒΑ: πλοῖς πρόςθετον ἐν τῇ ᾧᾳ Π 9. αὐτοῦ ΒΑ: αὐτοῦ ΝΠ 10. αὐτὰ ΠΒΑ: αὐτὰ Ν
12 ἓν ΝΒΑ: ἓν Π ἕλοιτο ΝΒΑ: ἕλοιτο Π αὐτὰ ΝΒ: αὐτὰ ΠΑ
13. οὐδ' ἐν ΝΒΑ: οὐδὲν ἐξ οὐδ' ἓν Π 15. ὁπωςοῦν ΝΒΑ: ὁπωςοῦν Π ἡδέος ἔγραψα κατὰ τὸν Παραμυθητικὸν ἐπὶ τῇ μητρὶ: ἡδέως Ξ μετειληφὸς ΠΑ: μετειληφὸς ἐκ μετειληφὼς Β: μετειληφὼς Ν 18. τοσούτων ΠΒΑ: τὸσούτων Ν
19 (καὶ 20) μηδ' Π μὴδ' ΝΒΑ αὐτὸν ΒΑ: αὐτὸν ΝΠ

ΔΙΕΡΑΣΗ ΠΙΟ ΕΡΕΥΝΩΝ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΑΝΑΚΑΙΝΙΣΗ ΤΗΣ ΣΟΦΙΑΣ ΤΟΥ ΠΛΗΘΩΝΟΣ ΤΗΣ ΑΝΑΤΟΛΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

βίον μὲν οὕτω περὶ πολλοῦ καὶ τὴν ἐνταῦθα πλάνην ποιούμεθα, καὶ ταῦτα μήτ' ἀγνοοῦντες μήτε μὴν οὐ παθόντες οἷς ἄν τις γνοίη παθών, ἄνθρωπον δὲ ἀνοιμώζομεν, εἰ πεφευγὼς ἐκεῖνον μυρίων ἀνιαρῶν ἀπαλλάττοιτο, ἔξω γενόμενος κακῶν τε ἄλλων ἁπάντων καὶ δὴ καὶ τοῦ καθ' ἡμέραν δέους, πάσης ἡστινοσοῦν ἀνίας χαλεπωτέρου τυγχάνοντος; Ἢ πῶς οὐ μέλλομεν αἰσχυνεῖσθαι, εἰ τἆλλα μὲν τῶν δεινῶν πολλάκις ὤφθημεν πεφευγότες καί που καὶ μακαρίους οὐκ ἔξω νενομίκαμεν λόγου τοὺς ὅ τι πλεῖστον ἀφεστηκότας ἀνιαρῶν, αὐτὸν δὲ τὸν βίον, τὸ πάντων ὡντινωνοῦν κακῶν αἴτιον, αὐτὴν τῆν κορωνίδα τῶν ξυμφορῶν, οὐ μόνον οὐ κακῶν ἔσχατον ἡγησόμεθα, ἀλλ', εἰ μὴ κακῶς τις πέπονθεν ἄλλοτε ἄλλως ὑπ' ἐκείνου φερόμενος, σχετλιάσομέν τε καὶ ἀνοιμώξομεν καὶ κακοδαίμονα νομιοῦμεν ὃς ἂν τοῦ βίου τὴν ταχίστην ἀπαλλαγεὶς ἔξω δεινῶν αὐτίκα καὶ τῆς ἐκ τούτων ἀνίας γένοιτο; Χωρὶς δὲ ἐκείνων, ἤτοι φαύλως τὰ πράγματα κρίνειν δόξομεν ἢ τὴν τοῦ φθονεῖν, εἴ τῳ παθεῖν εὖ ξυμβέβηκεν, οὐκ ἀποφευξόμεθα δόξαν. Ὅλως δὲ, εἰ μὲν τοῦ βίου τέλος ἓν οὐδὲν ἦν, ἀλλὰ φροῦδα πάντα θανόντος ἀνθρώπου γίγνεται, οὐδ' οὕτως ἂν ἦν τῶν μετρίων ἐπ' ἐκείνῳ δακρύειν καὶ ὀλοφύρεσθαι· ἐξ ἀνάγκης γὰρ ἂν ἦν καὶ οὐκ ἦν ἄνευ ἀνίας ἐν τοῖς τοιούτοις δακρύειν· πλὴν οὐκ ἀπεῖναι λόγου παντὸς οὐδὲ τῆς τοῦ πρέποντος ἁπάσης ἀφεστηκέναι πάντῃ καὶ τοῦ δικαίου μοίρας ἐδόκει. Τὸ γὰρ ὄντα μηκέτ' εἶναι φθειρόμενον, κἂν ἐξ ἀνάγκης ξυμβαίνῃ, τοσοῦτον εἰκότως ἐς ἀθυμίαν δόξειεν ἂν ὅσον ἐς ἡδονὴν τὸ μηδέποτε τῶν ὄντων εἶναι πεπαῦσθαι.

2. ἀγνοοῦντες ΠΒΑ: ἀγνοοῦντες Ν 4. ἀπαλλάττοιτο ΠΒΑ: ἀπαλλάττοιστο Ν 5 καθ' ἡμέραν Α: καθημέραν ΝΠΒ 6 τἆλλα ἔγραψα: τἆλλα ΝΠΑ: τ'ἄλλα Β 8. ἔξω νενομίκαμεν ΒΑ: ἔξω νένομίκαμεν Π: ἔξων ἐνομίκαμεν Ν 9. βίον τὸ ΝΠΒ: βίον τὸν ἐκ τοῦ Α ὡντινωνοῦν ΝΒΑ: ὡςτινοῦν Π 13 τὴν ταχίστην Ν: τηνταχίστην ΠΒΑ 18. γίγνεται ΝΠΒ: γίνεται Α οὕτως ΝΒΑ: οὕτως Π 21 (καὶ 23). ἐξ ἀνάγκης Α: ἐξανάγκης ΝΠΒ 22. μηκέτ' ΝΒΑ: μηκέτ' Π

ΕΓΚΑΣΙΡΙΑ ΕΡΕΥΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗ ΦΙΛΟΛΟΓΙΑ ΑΝΑΦΗ ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ἐπεὶ δὲ τέλος μὲν ἀνθρώπου θεὸς καὶ ἡ περὶ αὐτὸν ἀΐδιος ἔλλαμψις, ὁ δὲ βίος ἐς αὐτὴν ἀνθρώπῳ πεπέρασται, ἥκιστα λυπητέα δεῖν οἶμαι, οὐδὲ δακρυτέα τῷ λόγῳ λογισμῷ κρείττονι καὶ τῷ ποτὲ γοῦν ἐλπίζειν ὄψεσθαι τοὺς οἰχομένους χρωμένοις. Ἀγα-
5 θὸς γὰρ ὁ θεὸς καὶ τούτῳ καθάπερ καὶ τοῖς ἄλλοις ἄπειρος ὢν πρῶτον μὲν τὸν νοερὸν ἐκεῖνον ὅςτις ποτέ ἐστιν ἐδημιούργησε κόσμον, ἐκεῖνον μόνον δυνάμενον ὅσον νοῦς τε καὶ βούλησις· τἆλλα γὰρ τῆς ὕλης ἐξῆπται, ἧς ὁ ῥηθεὶς διάκοσμος ἄμοιρος· εἶτα, βουλόμενος δημιουργῆσαι τὸν ἄνθρωπον, πρῶτον μὲν κἀνταῦθα
10 τουτονὶ τὸν αἰσθητὸν παρήγαγε κόσμον, τοσοῦτον ἕξοντα λόγον πρὸς τὸν δημιουργηθησόμενον ἄνθρωπον, οἷον οἰκία πρὸς ἐνοικοῦντας ἢ οἷον, εἰ βούλει, πρὸς ἀθλοῦντας καὶ ἀγωνιζομένους τὸ θέατρον. Οὐδὲ γὰρ μόνον, ὡς ἔοικε, χῶρος γενέσεως ἀνθρώπων ὁ κόσμος γεγένηται τῷ κτίστῃ θεῷ, ἀλλὰ καὶ θέατρον ἀγώνων καὶ
15 στάδιον ὅσα τε ἄλλα τῆς ὁμοίας ἐστὶ δυνάμεως, ἐν ᾧ πένταθλον μὲν οὔ, ψυχῶν δὲ ἀγῶνες καὶ ἆθλοι πολλῷ μείζους ἐκείνου καὶ τιμιώτεροι πεφύκασι γίγνεσθαι. Ἔπειτα δὲ καὶ αὐτὸν ἐκεῖνον δημιουργήσας τὸν ἄνθρωπον, οὗ ἕνεκα κόσμος καὶ πᾶσα κτίσις ἐγκόσμιος, οἷον ἀθλητὴν αὐτὸν ἔθετο καθάπερ ἔν τινι σταδίῳ μέσῳ
20 τῷ γε παντὶ, ἀθλοθέτης μὲν ὢν καὶ ἀγωνοθέτης αὐτὸς, ἆθλον δὲ οὐ κότινον προτιθεὶς οὐδ' ὃς ἐκ δάφνης ἤ τινος τῶν τοιούτων πλέκεται στέφανος, ἀλλ' ὅπερ αὐτὸς ἀπείρῳ μεγαλοπρεπείᾳ κἀνταῦθα

4. ὄψεσθαι ΝΠΒ: ὄψεσθε ἀλλ' ἐν τῇ κάτω ἕνεκα τοῦ τέλους τοῦ φύλλου δηλώσει ἧς πρώτης λέξεως τοῦ ἑπομένου (exclamans) ὄψεσθαι Α
6. ὅςτις ποτὲ ἔγραψα: ὅςτίς ποτε Ξ ἐστιν ΝΠΒ: ἐστὶν Α
7. ἐκεῖνον ἔγραψα κατὰ τὸν Παραμυθητικὸν ἐπὶ τῇ μητρὶ: ἐκεῖνο ΠΒΑ: ἐκεῖνος Ν τἆλλα ἔγραψα: τ'ἄλλα Ξ 8. ἐξῆπται ΝΠΒ: ἐξῆπται Α 9. κἀνταῦθα ΝΠΒ: κἀν ταῦτα Α
10. τοιοῦτον ΝΒΑ: τοιοῦτο Π 11. δημιουργηθησόμενον ΝΒΑ: δημιουργη^θη^σόμενον Π: δημιουργησόμενον Α 12. ἀγωνιζομένους ΝΒΑ: ἀγωνιζαμένους Π 15 ὅσα ΝΠ: ὅσά ΒΑ ἐστὶ Α: ἔστι ΝΠΒ 18. οὗ ΝΒΑ: οὗ Π 21. οὐ κότινον ΝΠΒ: οὐ κότινον οὐ κότινον Α ἢ τινος ἔγραψα: ἢ τινὸς Ξ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑθΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΕΤΣΙΟΣ
ΔΙΕΡΓΑΣΤΗΡΙΟ ΕΝΟΙΚΗΣΗΣ ΕΛΛΗΝΙΚΗΣ ΓΛΩΣΣΑΣ ΜΕ ΤΟΝ ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟ Ο. ΠΕΤΣΙΟ
Ε.Υ.Δ. τηΚ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

χρώμενος τὸ τιμιώτατον τῶν ὄντων καὶ τελεώτατον ἡτοιμάσατο χρῆμα, λέγω δὲ αὖ πάλιν αὐτὸν, τὸ ἄπειρον ὂν, τὸ νῶν ἁπάντων καὶ λογικῆς ἡστινοσοῦν φύσεως τέλος, τὸ ὑπερκείμενον καὶ κοινὸν τοῖς οὖσιν ἅπασιν ἀγαθόν. Ἐχρῆν γὰρ τῷ ὄντι τὸν ἀπείρῳ ξυμπαθείᾳ περὶ τὴν λογικὴν φύσιν καὶ τὰ ὄντα πάντα κεχρημένον θεὸν τὸν αὐτὸν εἶναι καὶ ἀθλοθέτην καὶ ἀριστεῖον, τὸ μὲν ὅτι μόνος αὐτὸς ἐν οὖσι κοίρανός τε καὶ βασιλεὺς, τὸ δ' ὅτι τῶν ὄντων ἓν οὐδὲν ἐκείνου τελεώτερόν τε ἐκείνου καὶ τιμιώτερον, οὐδ' ὅπερ ἂν γένοιτο λογικῆς ποτε φύσεως ἔσχατον τέλος καὶ ἀγαθόν· οὔ τί ἄν τις ἐπινοίᾳ γοῦν ἀναπλάσαιτο παραδοξότερόν τε καὶ ξυμπαθέστερον; Ἐγὼ πολλάκις ἐμαυτοῦ γινόμενος, ὦ παρόντες, καὶ τὴν περὶ ἡμᾶς τοῦ μεγάλου θεοῦ πρόνοιαν ἀναπεμπαζόμενός τε καὶ θεωρῶν, γάνυμαι μὲν καὶ χαίρω καὶ πάσης ἡδονῆς ἐμπίπλαμαι τὴν ψυχὴν, οὐκ ἐκπλήττεσθαι δὲ οὐκ ἔχω, τὴν ἄπειρον ἐκείνου περὶ ἡμᾶς ὁρῶν ἀγαθότητα. Ὃς πρὸς τῷ ἐξ οὐκ ὄντων ἡμᾶς ἐπὶ τὸ εἶναι παραγαγεῖν καὶ κατὰ τὴν αὐτοῦ εἰκόνα δημιουργῆσαι τἆλλά τε πάντα καὶ τὸ πᾶν τοῦθ' ἡμῖν διὰ τὴν παροῦσαν ζωὴν καὶ πολιτείαν χαρίσασθαι, ἐῶ λέγειν ὅτι καὶ ἑαυτὸν ἐκένωσε μέχρι δούλου μορφῆς, ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἔπαθέ τε καὶ ἀπέθανε καὶ ἀνέστη, ἵν' ἡμεῖς ἀπαθανατισθῶμεν καὶ τὸ ἀρχαῖον ἀξίωμα κομισώμεθα, προσέτι καὶ τὴν ἀΐδιον ἐκείνην καὶ μακαρίαν ἀπόλαυσιν ἐχαρίσατο, ἑαυτὸν ἡμῖν ἀΐδιον τροφὴν, ὡς εἴρηται, καὶ ἀπόλαυσιν χαριζόμενος.

Τούτων τί γένοιτ' ἂν ἄλλο μεῖζον ἢ καὶ παραδοξότερον, φαίην δ' ἂν καὶ φιλανθρωπότερον; Οὐδὲ γὰρ εὖ παθεῖν ὄντες ἄξιοι, παρὰ θεοῦ πεπόνθαμεν εὖ, ἀντὶ θνητῶν ἀθάνατοι καὶ ἀντὶ φαύ-

1. ἡτοιμάσατο ΝΒΑ: ἡτοιμάσατο Π 2. αὐτὸν ΠΒΑ: αὐτὸν Ν 4 τῷ ὄντι ἔγραψα: τωόντι Ξ 16 αὐτοῦ Β: αὐτοῦ ΝΠΑ 17. τἆλλα ἔγραψα: τ'ἄλλα Ξ τε Α: τὲ ΝΠΒ 18. ἐκένωσε ΝΒΑ: ἐκένω Π 19. μορφῆς ΝΒΑ: μορφῆς ἐκ τοῦ τὸ πρῶτον γραφέντος μορφὴν Π 21. ἀπαθανατισθῶμεν ΝΠΒ: ἀποθανατισθῶμεν Α 22. ἀπόλαυσιν ΝΒΑ: ἀπόλαυσις Π

ΕΠΑΖΙΑΔΙΑ ΠΙΝΑΚΟΘΗΚΗ ΤΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ - ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΝΟΕΜΒΡΙΟΣ 2007 ΔΙΕΘΝΕΣ ΚΑΘΗΓΗΤΗΣ: ΑΠΟΣΤΟΛΟΣ Θ. ΠΑΠΑΔΗΜΗΤΡΙΟΥ ΚΩΣΤΑΝΤΙΝΟΣ Θ. ΠΑΠΑΔΗΜΗΤΡΙΟΥ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

λων σπουδαῖοι γενόμενοι· οὐδ' αὖ ἀξίως διὰ τὸς ἡμετέρας ἀρετάς τε καὶ κατορθώματα τὴν θείαν ἀπόλαυσιν κομιζόμεθα, ὥςπερ τινὰ κότινον ὁ παλαίων ἢ ἆθλον ὅ τι ἂν εἴποι τις ὅ γ' ἐν Ὀλυμπίᾳ νενικηκώς. Πόσα γὰρ ἂν ἀγωνίσαιτό τις ἐν τῷδε τῷ βίῳ ἢ πόσα κατὰ τῶν πονηρῶν πνευμάτων ἄν τις στήσαιτο τρόπαια· πόσους δ' ἂν ὑποσταίη καὶ κινδύνους καὶ πόνους, φαίην δ' ἂν καὶ θανάτους ὑπὲρ τοῦ τὴν μακαρίαν ἐκείνην ἀπόλαυσιν ἀξίως αὐτοῦ τε καὶ τῶν βεβιωμένων κομίσασθαι; Οὐδ' εἰ μυρία μὲν πάθοι δεινά, μυρίους δ' εἰ οἷόν τ' ἦν ὑποσταίη θανάτους, ἀξίως ἄν ποτε διὰ ταῦτα τοῖς ἐλπιζομένοις στεφάνοις στεφανωθείη. Τίς γὰρ λόγος τῶν ἡμετέρων ἐνταῦθα ἄθλων πρὸς τὰ ἑτοιμασθέντα ἡμῖν ἆθλα καὶ ἀγαθά, ὥςπερ τις λόγος ἢ κοινὸν πεπερασμένου πρὸς ἄπειρον; Ἔχει γε μέντοι λόγον ἐν ἄλλοις· ὡς γὰρ ἆθλος ἄθλου καὶ κατόρθωμα κατορθώματος, οὕτω καὶ ἆθλον ἄθλου καὶ στέφανος στεφάνου καὶ ἁπλῶς ἀπόλαυσις ἀπολαύσεως διενήνοχε, τὸ μὲν διὰ τὴν ἄπειρον τοῦ μεγάλου θεοῦ περὶ ἡμᾶς ἀγαθότητα, τὸ δὲ ἵνα τὸ δίκαιον σώζηται κατὰ λόγον τῷ δικαιοτάτῳ κριτῇ τε καὶ ἀθλοθέτῃ, τὰς ἀμοιβὰς τῶν πόνων ὡς πρὸς τρόπου δικαίως οὐκ ἀριθμητικῷ, γεωμετρικῷ δὲ λόγῳ παρέχοντι. Οὕτως ὑπὲρ ἅπαντα νοῦν καὶ λόγον ἡ τῶν ἡμετέρων ἄθλων καὶ ἀγώνων ἀντιμισθία τε καὶ ἀντίδοσις οὐ κατὰ τὸ ὀφείλημα τῶν ἔργων, ὡς ἔφθην εἰπών, ἀποδιδομένη, κατὰ χάριν δὲ τοῦ μεγαλοδώρου θεοῦ τοῖς εἰς αὐτὸν ἠλπικόσι παρεχομένη.

Οὕτως οὐ μόνον τὴν ἡμετέραν περὶ τὸ εὖ παθεῖν ἀξίαν, ἀλλὰ καὶ πᾶσαν ἡντιναοῦν ἔννοιαν ἡ περὶ ἡμᾶς ὑπεραίρει τοῦ μεγάλου θεοῦ καὶ φιλανθρωπία καὶ ἀγαθότης, τοσαῦτα καὶ οἷα τοῖς νομίμως

2-3. ὥςπερ τινὰ ἔγραψα: ὥςπέρ τινα Ξ 8. τε ἔγραψα: τὲ Ξ 9. οἷόν ΝΠΒ: οἷον Α 10. διὰ ταῦτα ΝΠΒ: διαταῦτα Α ἐλπιζομένοις ΠΒΑ: ἐλπι^ζο^μένοις Ν 12 τις ἔγραψα: τὶς Ξ 17. δικαιοτάτῳ ΝΒΑ: δικαιωτάτῳ Π 18-19. ἀριθμητικῷ ΝΒ: αριθμητικῷ ΠΑ 20. ἀντιμισθία ΝΒΑ: ἀντισθία Π τε ἔγραψα: τὲ Ξ 21. τὸ Π: λείπει ΝΒΑ ὀφείλημα ΑΠ: ὀφεῖλημα Β: ὀφεῖλημα Ν

ΕΠΑΣΗΠ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΝΟΕΛΛΗΝΙΚΗ ΦΙΛΟΣΟΦΙΑ ΑΠΕΚΟΝΙΣΗ ΑΠΟ ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὸν ἐνταῦθα διαθλήσασι βίον οὕτω λαμπρῶς, οὕτω μεγαλοπρέπῶς, οὕτω δαψιλῶς ἄγαν δωρησαμένου. Τοιούτων οὖν ὄντων ὁ θεὸς μετὰ τὴν τοῦ βίου τοῦδε καὶ τῶν ἐνταῦθα δεινῶν ἁπάντων ἀπαλλαγὴν τοῖς ἐς αὐτὸν ἠλπικόσιν οὕτω μεγαλοπρεπῶς, ὡς εἰπόντες ἔφθημεν, ἡτοιμάσατο, εἰ θανών τις ἐξ ἀνάγκης ἀπῆλθε καὶ δεινῶν μεγάλων ἀπήλλακται, πρὸς δὲ καὶ τῆς θείας ἐκείνης ἐπελάβετο μοίρας, ἣ μόνη λογικὴ ψυχὴ τελειοῦται καὶ θεός πως ἕτερος γίγνεται, στυγνάσομέν τε καὶ ἀνοιμώξομεν, σχῆμά τε ἅπαν καὶ ὀντινοῦν ἐρρῶσθαι λόγον εἰπόντες ὅλοι τοῦ πένθους καὶ τῆς ἀνίας ἐσόμεθα, εἶτ' ἐν τῷ τῶν ἁπάντων τοῦ προσήκοντος ἐσόμεθα σχήματος; Ἢ πῶς οὐχ ἅπας ὁστισοῦν ἐν ἡμῖν ἀνατετράφθαι λογισμὸς ἐντεῦθεν εἰκότως ἂν νομισθείη, εἰ χαίρειν μὲν ἐφ' οἷς ἀλγεῖν ἔδει, δακρύειν δ' αὖ πάλιν ἐφ' οἷς ἐχρῆν οὐ λυπεῖσθαι δεῖν νομιοῦμεν καὶ τούτῳ καθάπερ ἀρχῇ τινι πεισθησόμεθα παντὸς οὑτινοσοῦν λόγου καὶ αὐτῆς ἀποδείξεως κρείττονι;

Ταῦτ' οὖν εἰδὼς, θειότατε βασιλεῦ, καὶ λογιζόμενος οἷος ἦν ὁ μέγιστος ἡμῖν βασιλεὺς ἐκεῖνος, ὃν ἡ φύσις οὕτω θεοῦ κινοῦντος καὶ βουλομένου ἄγαλμα πάντων ὧν ἂν εἰπεῖν ἔχοι τις ἤνεγκεν ἀγαθῶν, φέρε μὲν ἀνδρείως τὸ πάθος, ἐξ ἀνάγκης οὐκ ἔξω φύσεως οὐδὲ παρὰ λόγον ἐπιξυμβὰν, τῆς δ' ἣν ἔσχες ἀνίας, ὅτι λιπὼν ἡμᾶς ᾤχετο, καθάπερ σῶμα ψυχὴ, πολλῶν τε ἄλλων οὐκ ἀγαθῇ μοίρᾳ καὶ δὴ καὶ τῆς ἐκείνου στερηθέντας οὐκ ἀνευδαίμονος δε-

4. ἐς ἔγραψα: εἰς Ξ 5. θανών ΠΒΑ: θανόν Ν ἐξ ἀνάγκης ἔγραψα: ἐξανάγκης Ξ 8. γίγνεται ἔγραψα: γίνεται Ξ στυγνάσομεν ΝΒΑ: συγγνάσομεν Π σχῆμά ἔγραψα: σχῆμα Ξ τε Α: τὲ ΝΠΒ ἅπαν ΝΒΑ: ἅπαν Π 9. ὀντιναοῦν ἔγραψα: ὀντινοῦν Ξ 10. ἁπάντων ΝΒΑ: ἁπάντων Π 16 Ἐντεῦθεν ἄρχεται καὶ πάλιν τὸ κείμενον ἐν τῷ Μ βασιλεῦ ΝΠΒΑ: βασιλεὺς ἐκ βασιλέων Μ 17. ἡμῖν ΝΠΒΑ: λείπει Μ 18. ἔχοι ἔγραψα: ἔχει Ξ ἤνεγκεν ἐν τῇ σειρᾷ τοῦ κειμένου ΝΠΒΑ: ἤνεγκα πρόσθετον ἄνωθεν Μ 19 ἐξ ἀνάγκης ΠΑΜ: ἐξανάγκης ΝΒ οὐκ ΝΠΒΑ: ουκ Μ 20. ἐπιξυμβὰν ΝΠΒΜ: ἐπὶ ξυμβὰν Α 21. τε ΠΑΜ: τὲ ΝΒ ἀγαθῇ ΝΒΑΜ: ἀγαθῇ Π 22. μοίρα καὶ δὴ ΝΠΒΑ: τύχη Μ

ΕΠΑΣ ΗΠΕΙΡΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΘΝΕΣ ΚΕΝΤΡΟ ΜΕΛΕΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΠΟ ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ τοῦ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ξιᾶς, ἀντίθες ἣν ἐκεῖνος ἔσχεν εὐδαιμονίαν νυνί, πάντων μὲν ἔξω γενόμενος τῶν ἐν τῷ βίῳ δεινῶν, τοῦ μακαρίου δὲ τέλους τῆς εὐζωίας ἐκείνης ἐπιλαβόμενος οἷς ἄριστα καὶ ὡς ἐχρῆν αὐτὸς μὲν ψυχήν τε ἅμα καὶ βασιλείαν ἐκόσμησεν, ἡμεῖς δὲ πεπόνθαμεν εὖ
5 ὑπὸ βασιλέως φιλοσόφου ψυχῆς. Τί γὰρ τῷ μεγίστῳ βασιλεῖ τῶν ἀγαθῶν οὐ προσῆν ἢ ποῖον ἀρετῆς εἶδος οὐ μεθ' ὑπερβολῆς ὅσης ἐκτήθη καὶ ὡς οὐδενὶ τῶν ἄλλων οὐδέν; Οὐκ ἔθνος μὲν ἁπάντων ὡς εἰπεῖν τὸ σεμνότατον, γένος δὲ βασιλεῖς, ἐκ βασιλέων αὖ καὶ αὐτός; Οὐ λαμπρῶς ὑπὸ τῷ μεγάλῳ πατρὶ πᾶν ὅ τι ἂν εἴποι τις
10 τῶν ἀγαθῶν ἐπαιδεύετο, πατρί τε ἅμα τῷ αὐτῷ καὶ διδασκάλῳ χρησάμενος, οὐχ ὥσπερ ὁ τοῦ Πηλέως τῷ Χείρωνι; Οὐ πάντας μὲν ἐνίκα τῷ κάλλει, κρείττων δὲ ἁπάντων ἦν τῇ ῥώμῃ τοῦ σώματος; Οὐ Τεῦκρος ἦν ἄντικρυς ἐπὶ τοξείᾳ καὶ Πάνδαρος; οὐχ ὁστιοῦν θεὸς ἐπὶ θήρᾳ σοφός; οὐκ Ἄρης αὐτὸς ἐν μάχαις καὶ
15 ὅστις ἄλλος ἐν πολέμοις θαυμάζεται; Τί δ' ἂν λέγοι τις ὅσας μὲν ὑπὲρ τοῦ γένους ὑπερορίας ὑπέστη, ὅσα δὲ τρόπαια κατὰ βαρβάρων ἐστήσατο ὅσα τε ἄλλα μυρία φρονήσει χρησάμενος ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας, ὥσπερ τις Παλαμήδης ἄλλοτε ἄλλως ἐμηχανήσατο, νῦν μὲν κινδύνους ἀποσοβῶν, νῦν δὲ ὑποσαίνων ἐλ-
20 πίσιν, ὥστ' ἄξια σφῶν αὐτῶν ὀψὲ γοῦν καὶ τῆς ἐλευθερίας φρονῆσαι τοὺς ἡμετέρους, καὶ ὧν πρώην οὐδ' ἀκούειν ἔφερον τοὔνομα, τούτοις οὐκ ἄνευ θράσους ἀντεπιέναι, οὐκ ὀλίγους τε ἐκείνους οὐ πολλοὺς αὐτοὺς τρέψαι; Χωρὶς δὲ τούτων, οὐ φιλοσοφίᾳ τὴν

4 ἐκόσμησεν NBAM: ἐκόσμησαν Π 7. ἁπάντων NBAM: εἰ πάντων Π 9. αὐτὸς M: αὐτοὶ NΠBA 10. ἐπαιδεύετο NBAM: ἐπεδεύετο Π 11 (καὶ 13). οὐχ NBAM: οὐχ' Π ὥσπερ NBAM: ὡσπερ Π 12. ἁπάντων NBAM: ἁπάντων Π 14. ὁστιοῦν NΠB: ὡς τισὶν A: ὡς τισὶ M 15. τις NΠB: τὶς AM μὲν NΠBA: λείπει M 16. ὑπὲρ τοῦ γένους ὑπερορίας NΠBA: ὑπερορίας ὑπὲρ τοῦ γένους M κατὰ NΠBA: κατὰ τῶν M 17. φρονήσει ἐν τῷ κειμένῳ ΠAM: φρονήσει ἐν τῇ ᾧᾳ διὰ παραπεμπτικοῦ σημείου ·/. NB 20. ὥστ' NΠBA: ὥστε M αὐτῶν NΠ: αὐτῶν BAM 22. τε A: τὲ NΠBM 23. αὐτοὺς NMBA: αὐτῶν M

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΙΣΤΟΡΙΑΣ ΦΙΛΟΣΟΦΙΚΟ ΤΜΗΜΑ ΜΕΤΑΠΤΥΧΙΑΚΗ ΕΙΔΙΚΕΥΣΗ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Α. ΠΑΠΑΔΗΜΗΤΡΙΟΥ
Ε.Υ.Δ. Τ.Ε.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

βασιλείαν ἐκόσμησεν, οὐ πρᾶξιν μὲν ἅπασαν λόγῳ ποιῶν διετέλει, λόγον δ' αὖ πάλιν ἐκίρνα πράξει, φρόνησιν μὲν τιμῶν μετὰ σοφίας αἰεὶ, σοφίαν δὲ οὐκ ἄνευ ἐκείνης ἐν λόγῳ πλείστῳ ποιούμενος; Οὐ πάσας ξυλλαβὼν εἶχε τὰς ἀρετὰς ὅσαι τε τῶν ἡμετέρων καὶ ὅσαι τοῖς ἔξω κοιναὶ, ἀνθ' ὧν οὐκ ἔστιν εἰπεῖν ὡς οὐκ ἐνταῦθά τε μακαριώτερος ἦν παντὸς οὐτινοσοῦν τοῦ παρὰ Σόλωνι μακαρίου τε καὶ εὐδαίμονος, ἐκεῖ δὲ αὖ οὐ τῆς ἀρίστης ἐκείνης μακαριότητος ἔτυχεν, ὑπὲρ ἧς πᾶν ὁτιοῦν ἐν κόσμῳ καὶ ἅπαν μυστήριον;

Τί οὖν ἀνοιμώζειν ᾧ ξυνήδεσθαι χρὴ ἢ τί δεῖ δακρύειν ὃν αὐτὸς εὐδαίμονα τῷ ὄντι τῇ μεταστάσει νενόμικας; Ἄφες, ὦ μέγιστε βασιλεῦ, ἐκεῖνα τοῖς μικρολόγοις καὶ οἱ τὸ φρόνημα γυναιξὶ μᾶλλον ἐοίκασεν, ἐπτοημένοι μὲν μόνοις τοῖς ὁρωμένοις καὶ ὅσα πρὸς αἴσθησιν ἡδέα νενόμισται, πρὸς οὐδὲν δὲ ὑψηλὸν, πρὸς οὐδὲν ὑπὲρ αἴσθησιν, πρὸς οὐδὲν ἀΐδιον καὶ μόνιμον ἢ βέβαιον ἀφορῶντες, ἀλλὰ χαμαὶ ἕρποντες καὶ τὸ τοῦ νοῦ μετέωρόν τε καὶ ὑψηλὸν βίᾳ τῷ ὄντι καὶ παρ' ἀξίαν καθέλκοντες. Σὺ δ' ὁ τὰ πάντα χρηστός τε καὶ μέτριος, τοσοῦτον δακρύσας ὅσον ἐν ὀφθαλμοῖς τὰ δάκρυα στῆσαι, τοσοῦτόν τ' αὖ ἀνοιμώξας ὅσον μηδὲ οἰμώζοντι ἐοικέναι, ἐκεῖνον μὲν εὐδαίμονα νόμιζε καὶ μακάριον, τοιούτου τέλους τυχόντα, οὗ πάντες μὴ οὐ τυχεῖν μάλ' ἂν εὔξαιντο, τοῦ δ' ἡμετέρου

3 αἰεὶ ΠΑ: ἀεὶ Ν: λείπει Μ 6. ἐνταῦθά ἔγραψα: ἐνταῦθα Ξ 8. μακαριότητος ΠΒΑΜ: μακαριότερον Ν 11 τῷ ὄντι ἔγραψα: τωόντι Μ: λείπει ΝΠΒΑ τῇ μεταστάσει ΝΠΒ: τῇ Α: λείπουσι Μ 13 ἐοίκασιν ΝΒΑΜ: ἐοίκασιν Α 15 αἴσθησιν ΝΒΑΜ: αἴσθησιν Π βέβαιον Μ: βεβηκὸς ΝΠΒΑ 16. ἕρποντες ΝΒΑΜ: ἕρποντες Μ 17. τῷ ὄντι Μ: τῶόντι Ν: τωόντι ΠΒΑ 19 τοσοῦτόν ἔγραψα: τοσοῦτον Ξ τ' Μ: τε Α: τὲ ΝΠΒ μηδὲ ΝΠΑ: μὴδὲ ΒΜ οἰμώζοντι ΝΠΒ: οἰμώζειν τε Μ: οἰμώζειν τὶ Α 20-21. τοιούτου τέλους τυχόντα Μ: τοιούτου τυχόντα τέλους ΝΠΒ: τοιούτου τυχόντα Α: 21. μάλ' Μ: μάλα ΝΠΒΑ

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΕΠΙΣΤΗΜΙΟ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τουτουὶ γένους καὶ τῆς κοινῆς ταύτης τῶν Ἑλλήνων ἑστίας ἀγαθῇ μοίρᾳ νυνὶ δικαίως τὴν βασιλείαν δεξάμενος, γένοῦ περὶ ἡμᾶς ὡς εἰώθεις καὶ οἷος περὶ πάντας ἀνθρώπους ὁ μέγας βασιλεὺς ἐκεῖνος θεὸς, οὗ τὴν βασιλείαν ὅσαι ὧραι μιμούμενος καὶ
5 πρὸς ἐκείνην ὡς οἷόν τε τὴν σὴν παρεξετάζων ἀρχὴν οὐκ ἔστιν ὅτ' οὐ νομίμως ἄγαν ὤφθης διῳκηκὼς τὸ ὑπήκοον καὶ οἷον πολιτικῶς. Ὁρᾷς ὅσοι τε τῶν ἐν τέλει καὶ ὅσον ἐν Πόλει σύστημα αὐτήν τε ταύτην τὴν κοινὴν τοῦ γένους ἑστίαν, ὃν εἴχομεν κοινὸν σωτῆρα καὶ πρύτανιν ἀπολωλεκότας, εἰς σὲ τοὺς ὀφθαλμοὺς τεί-
10 νειν καὶ μονονοῦ θεὸν ἄλλον ἐπὶ σωτηρίᾳ νυνὶ τῶν ὅλων ἐφεστηκότα νομίζειν. Τούτων ἀγαθῇ τύχῃ πατήρ τε ἅμα καὶ κυβερνήτης γενόμενος, τοὺς τῆς ἀρχῆς οἴακας βασιλικώτατα στρέφων, σῶζε μὲν ἅπαν ὑπήκοον, ἄλλοτε ἄλλως φερόμενον καὶ ὥςπερ τινὰ ναῦν μάλα δεινῶς χειμαζόμενον κύμασί τε ἅμα καὶ ὅπερ ἔχει πληρώ-
15 ματι, φάνηθι δὲ αὐτὸς σωτὴρ ἁπάντων καὶ κηδεμὼν καὶ οἷον τὸν τῆς Ἀλκμήνης γῆς ἁπάσης ἔφασαν Ἕλληνες. Σοί τε γὰρ ἐντεῦθεν ἁπάσης ὅρος εὐδαιμονίας προςγένοιτ' ἂν, ἡμεῖς τε εὖ ἕξομεν, ὑφ' οὗ παθεῖν ἐχρῆν εὖ παθόντες καλῶς, οὓς οὐδὲ τὴν ἀρχὴν ἔδει κατὰ τὴν κοινὴν τύχην ἀνθρώπων πταῖσαι καὶ δευτέρους βαρβά-
20 ρων οὕτως ὀφθῆναι. Εἴρηκα.

---

1 τουτουὶ γένους ΠΒΑΜ: τούτου γένους μένοντος κενοῦ δι' ἓν γράμμα ἐν τῷ μεταξὺ τῶν δύο λέξεων Ν 2. νυνὶ ΝΠΒΑ: καὶ Μ 3. εἰώθεις ΠΒΑΜ: ειώθεις Π 4. ὅσαι ΝΠΒΑ: καὶ ὅσαι Α 7. τε ἔγραψα: τὲ Ξ ὅσοι Ξ: γραπτέον ὅσους; πόλει ΜΒ: πόλεσι ΝΠΑ: 8. αὐτήν τε ΑΜ: αὐτὴν τὲ ΝΠΒ 10. θεὸν ΝΠΒΑ: θεὸν ἐκ τοῦ τὸ πρῶτον γραφέντος θεὸς Μ ἄλλον ΝΒΑΜ: ἄλον Π 12 βασιλικώτατα ΝΠΑΜ: βασικώτατα Π 13. ὥςπερ τινὰ Π: ὥςπέρ τινα ΝΒΑΜ 14. ἔχει ΝΠΑΜ: ἔχει οὐδενὸς ἀνταποκρινομένου εἰς τὸ σημεῖον ἐν τῇ ᾧᾳ Α 15. κηδεμὼν ΝΒΑΜ: ∴δεμῶν ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ᾧᾳ ∴κη Π 16. ἁπάσης ΝΒΑΜ: ἁπάσης Β 17. ὅρος εὐδαιμονίας ΝΠΒΑ: εὐδαιμονίας ὅρος Μ τε ΠΑΜ: τὲ ΝΒ

ΕΘΝΙΚΟ ΙΔΡΥΜΑ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΝΣΤΙΤΟΥΤΟ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΘΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΑΔΟΣ ΚΑΙ ΤΗΣ ΚΥΠΡΟΥ ΑΝΑΣΤΑΣΙΟΣ ΓΙΑΝΝΟΥΛΑΤΟΣ ΙΔΡΥΤΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΙΩΑΝΝΟΥ ΔΙΔΑΣΚΑΛΟΥ ΤΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ

ΒΑΣΙΛΙΚΟΣ Η ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ

ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΤΟΝ ΠΑΛΑΙΟΛΟΓΟΝ

Χρυσοῦν ἔφασαν γενέσθαι γένος ποτὲ, Κρόνος ὅτ' οὐρανῷ ἐμβασίλευε, γένος μάλιστα μὲν οἷον χρυσὸς τοῖς ἐφ' ἡμῖν ἐν τῷ παντὶ διαπρέπον καὶ ὅσα κόσμος ἀνδρὶ, οὐχ ἥκιστα δὲ καὶ οἷς ἄλλως αὔταρκες τὸ μακάριον γένοιτ' ἂν καὶ οὐκ ἄπο θείας πάνυ ζωῆς οὐδ' ἧς μοίρας εἵληχε τὸ δαιμόνιον. Ἐχρῆν γὰρ τὸ πρῶτον, 5 οἶμαι, γενῶν τοιοῦτό πως προνοίᾳ κατεσκεύασθαι καὶ οἷον πόρρω μὲν εἶναι τοῦ σιδήρου, ἐγγύτατα δὲ τῷ πορρωτάτω τοῦ μηδενὸς ἢ φαύλου ἢ ὅτῳ φύσις κακία, καθάπερ ἑαυτῷ τἀγαθόν. Εἰ μὲν οὖν ὄντα ταυτὶ ἢ ἄλλως τοῖς τῶν Μουσῶν κατόχοις χαριέντως πεφιλοσόφηται, ἐκεῖνοί τε ἂν εἰδεῖεν καὶ οἷς οὐκ ὀλίγα μέλει τῶν 10 ποιητῶν. Ἐγὼ δὲ, μέγιστε βασιλέων, σοῦ τῶν Ἑλλήνων ἀγαθῇ τύχῃ νυνὶ βεβασιλευκότος, χρυσοῦν μὲν ἄντικρυς γένος σκοπῶν

Περιλαμβάνεται ἐν τῷ Παρισιακῷ 1191, φ. 21α-24β, αἰῶνος ιε' (N), Παρισιακῷ 817, φ 157α-164α, αἰῶνος ις' (Π), Βατικανικῷ 1089A φ. 132α κ. ἑ, αἰῶνος ις' (B), Ἀμβροσιακῷ M 41 sup., φ. 63β - 74β, αἰῶνος ιε' (A), Μαδριτείῳ 115 (4636), φ. 160α - 171α, αἰῶνος ιε' (M).

Ἐπιγραφὴ Τοῦ αὐτοῦ Ἰωάννου - Παλαιολόγον NΠ: Τοῦ αὐτοῦ Ἰωάννου - Παλαιολόγον B: Τοῦ αὐτοῦ βασιλικὸς πρὸς Κωνσταντῖνον τὸν αὐτοκράτορα A: Τοῦ αὐτοῦ εἰς τὸν Κωνσταντῖνον βασιλικός M Ἐν τῷ B ἄνω νεωτέρᾳ χειρὶ καὶ ταῦτα· Jesus Christus rex, κάτωθεν δ' αὐτῆς Ejusdem in Constantinum imperatorem.

1. γενέσθαι γένος NΠ: γένος γενέσθαι BAM 3. οὐχ ἥκιστα M: οὐχήκιστα NΠBA 5. εἵληχε NΠBA: ἔλαχε M 6. τοιοῦτό M: τοιοῦτον NΠBA 10. ἐκεῖνοί τε ἔγραψα: ἐκεῖνοι τὲ NBAM: ἐκεῖνον τὲ Π εἰδεῖεν M: οἰδεῖεν B: οἰδοῖεν NΠA μέλει NΠBA: μέλει ἐκ τοῦ τὸ πρῶτον γραφέντος μέλλει M

ΕΘΝΙΚΟ ΙΔΡΥΜΑ ΕΡΕΥΝΩΝ ΙΩΑΝΝΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΚΕΝΤΡΟ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΤΕΚΜΗΡΙΩΣΗΣ ΙΩΑΝΝΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΑΝΤΙΠΡΟΣΩΠΕΙΑ ΑΠΟ ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

εὑρίσκω τοὺς ἡμετέρους, χρυσοῦς δ' αὖ χρόνους καὶ βίον οἷον ἦσαν ἐκεῖνοι, τἆλλα δὲ πάντα χρυσᾶ, φαίην δ' ἂν καὶ χρυσοῦ παντὸς προτιμότερα. Τὸ γὰρ αὐτόν σε τῶν Ἑλλήνων ὥςπερ ἐκ μηχανῆς ἄρχοντα νῦν ὀφθῆναι, οὕτω θεοῦ κινοῦντος καὶ βουλομένου, πάντα
5 μὲν τἀγαθὰ κεκτημένον, πάντας δ' εὖ ποιεῖν προθυμούμενον μηδέν τε ἄλλο προὔργου πεποιημένον ἢ τὴν τοῦ γένους ὅσαι ὧραι κηδεμονίαν καὶ οἷς ἂν ἀμείνους βαρβάρων ὀφθεῖεν Ἕλληνες οὐ χρυσοῦν, οἶμοι, βίον οὐδ' ὅσα μόνον ἐκείνου πέρι τοῖς ποιηταῖς ἐξυμνήθη, ἀλλ' ὅ τι περ εὐδαιμονίας κεφάλαιον καὶ ὁτιοῦν ἐν οὖσι
10 χρηστὸν ἐς τὸν ἡμέτερον βίον εἰςάγει. Πολὺ γὰρ μᾶλλον εὐτυχίᾳ τῷ ὄντι ξυνόντων οἱ νυνὶ χρόνοι ἢ ὅτε τρὶς τοῦ ἔτους καρπὸν ἀνθρώποις αὐτομάτη ζείδωρος ἔφερεν ἄρουρα, τοῦτο μὲν ὅτι οὐχ οὕτως ἡδέα δοκεῖ τὰ πρὸ τῶν οὐχ ἡδέων χρηστά, τοῦτο δ' ὅτι καὶ πλείω τὰ παρ' ἡμῖν ἀγαθά, φαίην δ' ἂν καὶ ἀμείνω καὶ μᾶλ-
15 λον ἀνθρώποις προςήκοντα. Τίνα δή, τίνα; Σοὶ μὲν, δι' οὗ πᾶσιν ἡμῖν ἐκτήθη τὰ κάλλιστα, γένος ἅπαν Ἑλλήνων διὰ ταῦτα χάριν εἰσόμεθα, ἡμῖν δὲ αὐτοῖς ἱερὰν νυνὶ πανήγυριν ξυστησάμενοι, πολὺ μείζω προςπορισόμεθα κροτοῦντες καὶ παιανίζοντες ἡδονὴν ἢ πάσας ὁποιαςτιναςοῦν ἑορτάς τε καὶ πανηγύρεις ἄγοντες ἕτεροι.
20 Ἡ σὲ μὲν στεφανωτέον στεφάνῳ οὐχ οἷός ποτε χρυσῷ καὶ λίθοις

2. τἆλλά ἔγραψα: τἆλλα ΝΠΑΜ: τ'ἄλλα Β 3. προτιμότερα ΝΠΒΑ: προτιμότερα ἐκ τοῦ τὸ πρῶτον γραφέντος προτιμώτερα Μ 5 δ' Μ: δὲ ΝΠΒΑ 6. προὔργου ἔγραψα: προύργου Ξ 7. κηδεμονίαν ΠΒΑΜ: κηδαιμονίαν Ν 8. πέρι τοῖς ΠΒΑΜ: περιτοῖς Ν 9. ἐξυμνήθη ΠΒΑΜ: ἐξυμνήσθη Ν ὁτιοῦν ΠΒΑΜ: οτιοῦν Ν 10. ἐς ΝΠΒΑ: εἰς Μ 11. τῷ ὄντι Ν: τωόντι ΒΑΜ: τῶόντι Π 13. ἡδέα ΝΠΒΑ: ἡδέα ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἡδέᾱ Μ 14. τὰ ΝΠΒΑ: τῶν Μ 18. μείζω ΝΠΒΑ: μείζω ἐκ τοῦ τὸ πρῶτον γραφέντος μείζων Μ 19. ἑορτὰς ΑΜ: ἑορτὰς ΝΠΒ 20. μὲν ΝΠΒ: μὲν γὰρ ΑΜ στεφανωτέον ΝΒΑΜ: λείπει Π οἷός ποτε ἔγραψα: οἷος ποτὲ Ξ

ΕΓΑΣΗΡ ΕΠΙΣΤΗΜΟΝΙΚΟΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΑΝΑΚΑΙΝΙΣΗ ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΙΕΡΑΣ ΜΗΤΡΟΠΟΛΕΩΣ ΚΟΝΙΤΣΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἢ ἄνθεσι γένοιτ' ἄν, ἀλλ' οἷον ἐκ λόγων πλέκουσι Χάριτες· ἡμᾶς δὲ αὐτοὺς περιστάντας ᾄδειν χρεὼν οἷς αὐτός τε ἅμα καὶ ὁ ἄριστος κεκόσμηται βασιλεύς, ὡς οὐδὲν ὂν τῶν πάντων βέλτιον οὐδ' ἐφ' ᾧ μᾶλλον ἄν τις ἡσθείη ἢ βασιλείαν ὑπογράφεσθαι λόγῳ, δι' ἧς εὖ ἔχουσι πόλεις, τό τε χρυσοῦν αὖ πάλιν ἐπανήκει νῦν γένος. Καὶ δὴ ῥητέον οὐχ ὅσα δεῖ οὐδ' οἷα δεδυνήμεθά τε καὶ βεβουλήμεθα, ἀλλ' οἷα ἂν τῷ καιρῷ προσφορώτατα γένοιτ' ἂν καὶ ὧν λεχθέντων οὔτ' ἀδολεσχίας φευξούμεθα κόρον τε οὐδένα ταῖς ἀκοαῖς προξενήσομεν.

Οὐκ ὀλίγων οὖν ὄντων οἷς ἄνθρωποι κατά τε πόλεις καὶ ἔθνη τὸν σφῶν αὐτῶν ὁπωσδηποτοῦν διατάττονται βίον, βασιλείας οὐκ ἔστιν ἓν οὐδὲν, οἶμαι, θειότερόν τε καὶ ὑψηλότερον. Τό τε γὰρ πλῆθος ἅπαν οὐκ ἀστασίαστον, εἰ μὴ πρὸς ἓν ὅλως ἀνάγεσθαι δύναιτο, τό τε μὴ πλείους ἑνὸς τοὺς ἀρίστους ἐν πολιτείαις εἶναι μίμημα θεῖον τῷ ὄντι καὶ οὐκ ἄπο τῆς ἐν τῷ παντὶ ξυμφωνίας καὶ τάξεως. Εἰ δ' ἐκεῖνό γε πόλις ὅπερ τὸ πᾶν, κἀκεῖνο ἂν εἴη τὸ πρὸς ὃ πόλις ἐς ὅπερ τὸ πᾶν· ἓν δὲ ἐκεῖνο καὶ τῶν ὄντων δήπου τὸ ἄριστον. Καὶ μὴν πολιτεία τῆς τοῦ παντὸς, οἶμαι, διακοσμήσεως μίμημα· μιμεῖται γὰρ ἡ τέχνη τὴν φύσιν καὶ νοῦς ὁ πράττων τὸν ἐπιστήμονα. Σειρὰ δὲ τὰ ὄντα καὶ ἄλλο ἄλλου τελεώτερόν τε καὶ τιμιώτερον, ἕως ἂν ἐς αὐτό τις ἥκων ἑστήξοι, τῶν ὄντων ἁπάντων τὸ τελεώτατον. Ἀνιόντι μὲν γὰρ, ἐξ οὗ μὲν εὐθὺς γέ-

3. κεκόσμηται ΝΠΑΜ: κεκόσμηται ἀλλ' οὐδὲν ἀνταποκρίνεται ἐν τῇ ᾧᾳ εἰς τοῦτο τὸ σημεῖον Β 5. ἐπανήκει ΝΠΒΑ: ἐπανῆκε Μ νῦν ΝΒΑΜ: ἦν Π 6. οὐχ ΝΒΑΜ: οὐχ' Π 7. γένοιτ' ΝΠΒΑ: γένοιντ' Μ 8. τε Α: τὲ ΝΠΒΜ: 9. προξενήσομεν ΝΠΒΑ: προξενήσομεν ἐκ τοῦ προξενήσομαιν Μ 11. ὁπωςδη ποτοῦν ΝΠΒΑ: ὁπωςδηποτοῦν ἐκ τοῦ ὁπωςδήποτοῦν Μ 14. δύναιτο ΠΒΑΜ: δύνατο Ν ἑνὸς ΝΒΑΜ: ἑνὸς Π 15. τῷ ὄντι ἔγραψα: τῶόντι Ν: τωόντι ΠΒΑΜ 16. ἐκεῖνό ἔγραψα: ἐκεῖνο Ξ κἀκεῖνο ΝΠΒΜ: κἀκεῖο Α 22. ἁπάντων ΝΒΑΜ: ἁπάντων Π τελεώτατον ΝΠΒΑ: τελεώτατον ἐκ τοῦ τελεώτερον οὗ μὲν ΝΒΑΜ: οὗ ∧ ἐν τῷ κειμένῳ, μὲν ἐν τῇ ᾧᾳ Π

ΕΠΙΣΤΗΜΟΝΙΚΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΔΙΕΥΘΥΝΣΗ ΔΙΑΦΗΤΗΣΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Ο. ΠΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

νοιτ' ἂν αὐτῷ τὸ μὴ ὂν ἢ ὅπερ ἐν οὖσι ταὐτὸν ἐκείνῳ νενόμισται, πρὸς ὃ δὲ ἐκεῖνο, μεθ' ὃ τῶν ὄντων ἓν οὐδὲν τελεώτερον· κατιόντι δ' αὖ πάλιν, ἐξ οὗ μὲν τουτί, πρὸς ὃ δ' αὖ ἐκεῖνο, τό γε μὴ ὄν, εἰ πρὸς τὰ ὄντα ἀντεξετάζοιτο. Οὐκοῦν κἀνταῦθα βασιλεία μὲν ἂν
5 εἴη τῶν ἐν πόλει πάντων τὸ τελεώτατον, ἄλλα δ' ἂν ἄλλως ἔχοιεν τῷ ἐξ αὐτῆς ἀποστήματι· καὶ πολιτεύοιτο δ' ἂν οὕτωσὶ τὰ ἐν τῇ πόλει καλῶς, ὥςπερ ἐκεῖ τὰ ὄντα πολιτεύεσθαι βούλεται· ἐς ταὐτὸ δ' οἶμαι φέρον ἐστὶ καὶ ὅπερ ἐξύμνησεν ὁ τοῦ Μέλητος *Οὐκ ἀγαθὸν πολυκοιρανίη, λέγων, εἷς κοίρανος ἔστω, εἷς βασιλεύς, ᾧ*
10 *ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσι βουλεύῃσιν.* Ἄλλως γὰρ ὁμοῦ χρήματα πάντα ἂν γένοιτο καὶ τάξις μὲν οὐδαμοῦ, ἀταξία δὲ πανταχοῦ, ἄνω καὶ κάτω τὰ τῶν ἀνθρώπων ἄγουσά τε καὶ φέρουσα. Εἰ δ' ἀριθμὸς μὲν τὰ ὄντα ὅσα τε φύσει καὶ ὅσα τέχνῃ ξυνίσταται, ἀρχὴ δ' ἐκείνου τὸ
15 ἓν, ἐξ οὗ τε αὐτῷ τὸ εἶναι τό τε πέρατι χρῆσθαι καὶ οὗ μὴ παρόντος οὐδ' ἂν αὐτὸς τὴν ἀρχὴν εἴη οὐδέ τι τῶν ἐκείνου μερῶν, οὐκ ἔστιν ὅπως ἄνευ ἑνὸς τοῦ πρώτου τῶν ὄντων ἄν τι ξυσταίη οὐδ' ὧν ἡ τέχνη τὸ αἴτιον, ἀλλ' ἤτοι αὐτό τι ἂν εἴη μὴ ὂν ἢ αὐτόματον γένοιτο.

20 Χωρὶς δὲ τούτων, ἐν ἑνὶ μὲν ὄντα τὰ ὄντα καὶ τοῦ αὐτοῦ μετέχοντα λόγου σώζεταί τε ἅμα καὶ τελεώτερα λέγεται, πληθυνόμενα δὲ ἄλλως καὶ τοῦ ἑνὸς ἐκπεσόντα δεῖται μὲν τοῦ ἑνὸς,

1. ταὐτὸν ἔγραψα: ταυτὸν Ξ νενόμισται ΝΒΑΜ: ἑνόμισται Π 2. δὲ ΝΠΒΑ: δὴ Μ 3. τουτὶ ΝΠΒΑ: τουτὶ ἐκ τοῦ τὸ πρῶτον γραφέντος ταυτὶ Μ 4. κἀνταῦθα βασιλεία ΝΠΒΑ: κανταῦθα βασιλείας Μ 6. τὰ ΝΒΑΜ: λείπει Π 7. ταὐτὸ ΝΠΑ: ταυτὸ ΒΜ 8. ἐστὶ ΝΒΑΜ: ἐστὶν Π 9 ᾧ ΠΒΑΜ: ὡς Ν 10. σκῆπτρόν ἔγραψα: σκῆπτρον Ξ τ' ἠδὲ ΠΒΑ: τῆ δὲ Ν: ἠδὲ Μ 14 ὅσα ΠΑΜ: ὅσά ΝΒ ξυνίσταται ΝΠΒΑ: καθίσταται Μ 16. τὴν ἀρχὴν ΝΠΜ: τηναρχὴν ΒΑ 18. τὸ ΝΠΒΜ: το Α 22. ἄλλως ΝΠΒΜ: ἄλως Α ἑνὸς ΝΜΑ: ἑνὸς Π

ΙΔΡΥΣΗ ΙΩΑΝΝΟΥ ΚΑΙ ΑΣΠΑΣΙΑΣ ΠΑΤΣΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΕΚΔΟΣΕΙΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ ΥΠΟΥΡΓΕΙΟ ΠΑΙΔΕΙΑΣ ΚΑΙ ΘΡΗΣΚΕΥΜΑΤΩΝ ΕΙΔΙΚΗ ΥΠΗΡΕΣΙΑ ΔΙΑΧΕΙΡΙΣΗΣ ΕΠΙΧΟΡΗΓΗΣΗΣ ΕΘΝΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ
Ε.Υ.Δ τῆς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ὥςθ' ὅλως τῶν ὄντων ὑπάρχειν, ἐκείνου δὲ ἁμαρτόντα τοῦ τε χορο-
ῦ τῶν ὄντων ἐκπίπτει καὶ οὐκέτ' ἐστὶν ἐξαίφνης οἰχόμενα.
Ὅλως δὲ σώματι μὲν ζῴου πᾶν ὁτιοῦν πλῆθος ἔοικε, βασιλεία δὲ
κεφαλῇ ἢ ὅ τι κεφαλῆς πρότερον. Ἔκ τε γὰρ ἐκείνης μιᾶς οὔσης
ἣν ἂν εἰπεῖν ἔχοι τις τῷ παντὶ πρόςεστι δύναμις, καὶ ζῇ μὲν ἐν- 5
τεῦθεν τοῦ ζῴου πᾶν ὁτιοῦν, ἐργάζεται δὲ ἐκείνοις ἃ ἂν ἑκάστῳ
παρὰ τοῦ πρώτου προςῇ, ἔκ τε βασιλείας αὐτῆς, μιᾶς μὲν καὶ
αὐτῆς οὔσης, πάντα δὲ δυναμένης, εὖ μὲν ἔχουσι πόλεις καὶ δε-
ξιώτατα πολιτεύονται, οἷς δ' ἂν αὐταῖς ἐκεῖνο προςγένοιτο, ταυτὶ
δὲ ἅπαντα δαιμονίως πανταχοῦ φοιτᾷ παρ' αὐτῆς, καὶ γίνεται 10
τῷ ὄντι βασιλεία ταῖς πόλεσιν οἷον καρδίᾳ τῷ ζῴῳ ἢ ἥλιος τῷ
παντὶ, φαίην δ' ἂν καὶ οἷον θεὸς τῷ γε ξύμπαντι. Ταῦτά τοι γρη-
γορεῖ μὲν ἐς ἀεὶ βασιλεία καὶ τοσοῦτον κήδεται τῶν ὑφ' αὐτὴν
χωρῶν τε καὶ πόλεων, ὅσον νηὸς κυβερνήτης, μᾶλλον δέ τι καὶ
πλέον, ὅσον ἐκείνῳ μὲν ἔργον ἡ σωτηρία μόνον τῶν ἐμπλεόντων, 15
βασιλεία δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πλείω σοφίζεται, μείζω
δῆλα δὴ καὶ θειότερα· σκοπεῖ δὲ ὅσαι ὧραι ὅπως ἂν εὖ ἅπασι γέ-
νοιτο, τίθησί τε νόμους καὶ δικάζει κοσμίως, καὶ οὓς μὲν σπου-
δαίους ἔχειν ὁρᾷ, τούτους ἀσπάζεται καὶ τιμᾷ, οἳ δ' ἂν οὐ πόρρω
κακίας εἶεν, τούτους βδελύττεται καὶ κολάζει, χαίρει τε εὖ ποιοῦσα 20
μᾶλλον ἢ ὅτῳ ἂν τὸ εὖ παθεῖν γένοιτο. Εἶθ' ἱππικὴν μὲν καὶ κυ-

2. οὐκέτ' ἐστὶν NBA: οὐκἔτ' ἐστὶν M: οὐκέστὶν Π
3. ὁτιοῦν NBAM: ὁτιοῦν Π 5. τις NΠBM: τὶς A
6. ἃ NΠBA: ὃ M 11. τῷ ὄντι ἔγραψα: τωόντι N: τωόντι ΠBAM 12. ταῦτά NΠBA: ταῦτα M 13. ἐς ἀεὶ NΠBA: ἐσαεὶ M αὐτὴν ΠBA: αὐτὴν ἐκ τοῦ τὸ πρῶτον γραφέντος αὐτῇ M: αὐτὴν N 14. τε NΠBA: τὲ M νηὸς NΠA: νηὸς ἐκ τοῦ τὸ πρῶτον γραφέντος νηῶν B: νεὼς M 15. μόνον M: μόνη NΠBA
17. δῆλα δὴ ἔγραψα: δηλαδὴ Ξ ὧραι NBM: ὥραι ΠA ἂν ΠB: λείπει NAM 18-19. σπουδαίους M: σπουδαίως NΠBA 20. τε ἔγραψα: τὲ Ξ 21. τὸ NBAM: λείπει Π μὲν NBAM: μὴν Π

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΤΗΣΙΑ ΕΝΙΑΥΤΗΣ ΣΥΝΤΑΓΗ ΤΟΥ Δ. ΠΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

βερνητικὴν καὶ ὅσαι περ ἑκάστης ἐφεστήκασιν ἐπιστῆμαι σπουδαῖα καλῶς ποιοῦντες νομίζομεν καὶ χρηστά, ὅτι περ ἡ μὲν ἵππους, ἡ δ' ἐμπόρους, ἡ δ' ἄλλο τι σώζει τῶν ὄντων καὶ τὸν ἡμέτερον βίον διακονοῦσα κοσμεῖ· δεῖται γὰρ οὐχ ἑνὸς μόνου ὁ βίος, ὡς
5 ἔοικεν, οὐδὲ δυοῖν ἢ τριῶν, ἀλλ' ὅσοις αὐτό τι ὂν ἀτελέστατον αὐταρκέστατον γένοιτ' ἄν. Βασιλείαν δὲ οἷς οὐ τοῦ εἶναι μόνον ἔθνεσιν ὅλοις καὶ ὅλαις πόλεσιν, ἀλλὰ καὶ τοῦ εὖ εἶναι ταύτῃ περίεστιν, ἅπαντα μὲν οὖσαν τῷ πάντα ποιεῖν δεδυνῆσθαι, μηδενὸς δὲ ὄντος τῶν ἀγαθῶν, ὅπερ ἂν ἄνευ τῆς ἐξ αὐτῆς προνοίας ἐς τὸν
10 τῶν ἀνθρώπων βίον φοιτήσοι, τί νομιστέον ἢ τίσι κοσμητέον ὀνόμασιν, ἢ δῆλον ὅτι χρῆμα θειότατον καὶ οἷς τὸ πρῶτον αἴτιον αἴτιον ὀνομάζεται; Τῶν τε γὰρ ἐν ἀνθρώποις πραγμάτων, οἷς αὐτοῖς ἀμηγέπη θεῷ παραπλησίως εἶναι σπουδὴ, βασιλεία δήπου τὸ ἄριστον καὶ ᾧ μάλιστα ἂν εἴη τἀγαθοῦ ἐφικέσθαι. Ἐκεῖνο
15 γὰρ ὁ βασιλεὺς ἐν τοῖς ἐφ' ἡμῖν ὅπερ θεὸς ἐν φύσει καὶ τῷ παντὶ, ἥ τε διὰ πάντων ἥκουσα τοῦ βασιλέως προμήθεια, δι' ἧς τὰ τῶν ὑπηκόων εὖ ἄγαν ἔχει καὶ σώζεται πράγματα, αὐτῆς ἄντικρυς μίμημα τῆς θείας προνοίας, ἡ διὰ παντὸς ἐφικνουμένη τοῦ γε παντὸς οὐδὲν ἔξω τοῦ κοινοῦ λόγου τῶν ὄντων ἐᾷ, οὐδ' ἔνια μὲν
20 εὐνοίᾳ τινὶ διατελοῦσα τηρεῖ, ἐνίοις δὲ ἂν ὦσιν ἄχθεται καὶ φθονεῖ, ἀλλὰ, πάντων ἐπιεικῶς δήπου προνοουμένη, πάνθ' ὁμοίως

1. περ ΠΒΑΜ: παρ Ν ἑκάστοις Π: ἑκάστοις μετὰ διάξεσιν Ν: ἑκάστης ΒΑΜ 3. δ' Μ: δὲ ΝΠΒΑ ἡ ΝΠΒ: ἢ ΑΜ ἄλλο ΠΑΜ: ἄλλό ΝΒ 4. ἑνὸς ΝΒΜΑ: ἑνὸς Π μόνου Μ: μόνον ΝΠΒΑ 6 αὐταρκέστατον ΝΒΑΜ: ἀταρκέστατον Π 9. ἀγαθῶν ΝΒΑΜ: ἀγαθῶν ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀγαθὸν 10. φοιτήσοι ΝΠΒ: φοιτήσει ΑΜ 11. δῆλον ὅτι ΝΠΒΜ: δηλονότι Α πρῶτον ΝΠΒ: πρότερον ΑΜ 12. αἴτιον αἴτιον Μ: αἴτιον αἴτιον Α: αἴτιον ΝΠΒ 13. αὐτοῖς ΝΠΒΑ: αὐτῆς Μ ἀμηγέπη ΝΠΒ: ἀμηγέπη ΑΜ 14. τἀγαθοῦ ΝΒΑΜ: τἀγαθοῦ Π 15. ἐν τοῖς ΝΠΒΑ: λείει πΜ 18. διὰ ΝΠΒΜ: δια Α τοῦ γε ΝΠΒΑ: γε τοῦ Μ 21. πάντων ΝΠΒ: πάντοτε ΑΜ

ΕΡΓΑΣΤΗΡΙΟ ΙΩΑΝΝΙΝΩΝ ΙΣΤΟΡΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΙ ΕΠΙΣΤΗΜΩΝ ΤΗΣ ΑΓΩΓΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΕΥ.Δ τ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

λόγῳ τινὶ φυλάττειν ἐθέλει καὶ εὖ ποιεῖν ἐπὶ προφάσει μὲν ὅλως οὐδεμιᾷ, οὐδ' ὅπως ἂν χάριν αὐτῇ τὰ σωζόμενα τῆς σφῶν αὐτῶν σωτηρίας καὶ ὧν ἀπέναντι ὡς πρὸς τρόπου τοῖς εὖ παθοῦσιν ἡντινοῦν ἀπομνημονεύοι, μόνῳ δὲ δήπου τῷ οὕτωσὶ πεφυκέναι καὶ ὅπερ ἔχει ξύμφυτον ἀγαθῷ. Δι' ἃ δὴ καὶ τῆς τοιαύτης εὐποιίας ὁ τρόπος, πάσας ἄλλας ὁποιαστινασοῦν νικῶν ἀξιώματι, οὐκ ἔστιν ὅπως ἂν οὐ τὴν ὑπερβολὴν ὅση τίς ἐστι τῆς διὰ πάντων ὅσαι ὧραι διηκούσης προνοίας ἐνδείκνυται. Οὐ μὴν ἀλλ' εἴ τι πατέρες υἱέσι, βασιλεία τοῖς ὑπηκόοις, μᾶλλον δὲ, εἰ δεῖ τι τῶν ἀκριβεστέρων εἰπεῖν, ἐφάμιλλα ταῦτα ἀλλήλοις, οἶμαι, θεὸς, πατήρ τε καὶ βασιλεὺς, πλὴν εἰ μὴ τῷ τρόπῳ διοίσει ἢ τῇ λαχούσῃ τὰ ὄντα τάξει καὶ ὅσον ἂν ἑκάστῳ τῶν ὑφ' αὐτὰ προγένοιτ' ἂν ἀριθμοῦ. Οὐκοῦν ὅσα ἂν παρὰ γονέων υἱέσιν ἐθέλοι γίγνεσθαι, τοσαῦτα παρὰ βασιλέως τοῖς ὑπηκόοις καὶ μετὰ τῆς αὐτῆς εὐνοίας, φαίην δ' ἂν καὶ ἀμείνονος, ὅσῳ τὸ εὖ εἶναι τοῦ εἶναι καὶ τὸ κοινῇ πράττειν εὖ τοῦ ἰδίᾳ θειότερον· οὐ μόνον δὲ ἀλλὰ καὶ πλείω τοῖς ὑπηκόοις τὰ παρ' αὐτῆς ἢ ὅσα παρὰ τῶν φυσάντων ἐκείνοις, ὥςπερ, οἶμαι, καὶ πλείω τὰ παρὰ τῆς προνοίας ἢ τῆς βασιλείας εὑρήσει τις ἐξετάζων. Ὅσα γὰρ πατὴρ, ὡς εἴρηται, τοσαῦτα καὶ βασιλεὺς καὶ ὅσα περ οὗτος, ἐκεῖνα δὴ καὶ θεός. Οὐ μὴν ὅσα ἂν ἐκεῖνος, τοσαῦτα ποιήσοι καὶ βασιλεὺς, οὐδ' ὅσα περ οὗτος, ταῦτα ἂν καὶ πατήρ. Γίγνεται γὰρ ὡς περιεχόμενά τε καὶ περιέχοντα, καὶ γέ-

2. οὐδεμιᾶ ΝΠΒΜ: οὐδὲ μιᾶ Α 3. πρὸς ΝΠΒΑ: πρὸ Μ 3-4. ἡντινοῦν ΝΒΑΜ: ἡντινοῦν Π 7. ὅση Μ: ὅσή ΝΠΒΑ ἐστὶ ΝΠΒΑ: ἐστι Μ 8. διηκούσης ΝΒΑΜ: διηκούσας Π ἐνδείκνυται ΝΠΒΑ: ἐνδείκνυται ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἐνδείκνυτε Μ 9. τι ΝΠΒΑ: λείπει Μ 12. αὐτὰ ΝΠΒΑ: αὐτὰ ἐκ τοῦ τὸ πρῶτον γραφέντος αὐτὰ Μ 13. ἐθέλοι ἔγραψα: ἐθέλει Ξ 14-16. καὶ μετὰ - ὑπηκόοις ΠΒΑΜ: λείπουσι Ν 17. αὐτῆς ΝΠΒΜ: αὐτῆς ἐκ τοῦ τὸ πρῶτον γραφέντος αὐτοῖς Α 18. τις Μ: τὶς ΝΒΑ: τῆς Π 21. ποιήσοι ΝΠΒ: ποιήσει ΑΜ 22. γίγνεται ΝΠΒΜ: γίνεται Α

ΕΡΓΑΣΙΑ ΣΠΟΥΔΑΣΤΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΠΟ ΤΟΥΣ ΚΑΘΗΓΗΤΕΣ ΚΩΝΣΤΑΝΤΙΝΟ ΠΕΤΣΙΟ ΤΗΣ ΑΝΩΤΑΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

νοιτο δ' ἂν διὰ ταῦτα θεὸς μὲν βασιλείας, βασιλεία δὲ γονέως ἰδέα τε καὶ παράδειγμα.

Τοιοῦτον, ὦ μέγιστε βασιλεῦ, ἡ βασιλεία χρῆμα τῷ βίῳ καὶ οὕτω ταύτῃ μάλιστα πάντων τὰ τῶν ἀνθρώπων σώζεται πρά-
5 γματα. Εἰ δέ τῳ ταῦτα μὲν οὐκ ἀρέσκει τῶν ἐπὶ σοφίᾳ γνωρίμων, ἄλλην δέ τινα πόλιν οἰκίζει καὶ πολιτείαν ἐς τὸν βίον εἰσάγει, εὐδαίμονά τε καὶ σοφὴν, ὡς ἐνόμιζεν, ἐσομένην, στέψαντες αὐτὸν ἐρίῳ καὶ καταχέαντες μύρῳ, παρ' ἄλλοις ἐάσωμεν οἴχεσθαι, καθάπερ αὐτὸς περὶ τὸν Ὅμηρον ἀπεφήνατο, μὴ μεταδιδοὺς
10 αὐτῷ τῆς αὐτοῦ πόλεώς τε καὶ ἣν ἐν ψυχῇ μόνῃ ξυνεστήσατο πολιτείαν. Ἄμεινον γάρ ἑπομένους, οἶμαι, τῷ ξύμπαντι λόγῳ καὶ ἣν τὸ πρῶτον ἐν οὖσιν οὐκ ἄνευ σοφίας ἐν τῷ παντὶ ξυνέθηκεν ἁρμονίαν ἔξω δοκεῖν ἐνίοις ἁμηγέπη τοῦ λόγου φέρεσθαι ἢ τῶν ψιλῶν ἐχομένους πραγμάτων καὶ ὧν αἰτία μόνη ψυχὴ σοφοὺς ἐν-
15 τεῦθεν νομίζεσθαι τά τε θεῖα τά τε ἀνθρώπινα. Τὸ μὲν γάρ ἐστι, παραδείγματι χρωμένοις τῷ κρείττονι, μὴ ἄνευ λόγου ποιεῖν, τὸ δὲ τοῦ λόγου τῶν ὄντων οὐ πάνυ τοι φροντιστέον, ἡγησαμένους οἷς μέτρον ὁ λόγος αὐτὸς ἐφέστηκεν ἡμῖν αὐτοῖς μόνοις πείθεσθαι μηδὲ τὰ πλεῖστα πιστευομένοις καὶ ὅσα ἂν ἐν ψυχῇ μόνῃ γένοιτο.
20 Ἀλλὰ δὴ τίνι καὶ ποίῳ ποτὲ ἀνθρώπων τὸ τοιοῦτον προσγενόμενον σχῆμα αὐτὸ μὲν μήθ' αὐτοῦ μήτ' ἄλλου του τῶν ἁπάντων ἂν χεῖρον ὀφθείη, ἡμᾶς δὲ αὐτοὺς μὴ ὅτι γε σεσωκὸς, ἀλλὰ

1. διὰ ΝΠΒΜ: δια Α 2. τε ΑΜ: τὲ ΝΠΒ 7. ἐνόμιζεν ΝΒΑΜ: ἐνόμιζεν Π στέψαντες ΝΠΒΑ: στέψαντες ἐκ τοῦ τὸ πρῶτον γραφέντος στρέψαντες Μ 8. ἐάσωμεν ΑΜ: ἐάσομεν ΝΒ: ἐ^α^σομεν Π 10. αὐτοῦ Μ: αὐτοῦ ΝΠΒΑ 11. ἑπομένους ΝΒΑΜ: ἑπομένους Π 13. ἁμηγέπη ΝΒΑΜ: ἁμηγέπη Π 18. μόνοις ΝΠΒΑ: λείπει Μ 19. μηδὲ ἔγραψα; μὴδὲ Ξ 20. ποτὲ ΝΠΒΑ: ποτε Μ 21. ἄλλου ἔγραψα: ἄλλοῦ Ξ 22. μὴ ὅτι ἔγραψα: μηότι ἐκ τοῦ τὸ πρῶτον γραφέντος μὴότι Μ: μηότι Ν: μηότι ΠΒΑ γε ΝΒΠΜ: λείπει Α σεσωκὼς ΝΠΒΑ: σεσωκὸς ἐκ τοῦ τὸ πρῶτον γραφέντος σεσωκὼς Μ

ΕΥ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

δὴ καὶ εὖ ποιοῦν εἰκότως ἂν εἴη, πάντα μὲν ἔχον οἷς τοῦ προσήκοντος αὐτῷ γένοιτ' ἂν σχήματος, πάντα δὲ ἐργαζόμενον οἷς ἐθνῶν τε καὶ πόλεων καὶ ἁπλῶς τοῦ ξύμπαντος οἷόν τέ ἐστι προνοεῖσθαι. Οὐδὲ γὰρ ἅπαντος, οἶμαι, τηλικοῦτόν τι χρῆμα, τὴν βασιλείαν, δεξάμενον ὑπὲρ τῶν ἀρχομένων φροντίζειν κἀκεῖνο παρ' αὐτοῖς εἶναι καὶ σώζειν ὅπερ ἐν ἵπποις ἡνίοχος καὶ ἐν νηὶ κυβερνήτης ἢ ἄλλος ἄλλο τι μάλιστα παραπλήσιον, ἀλλ' ᾧ ἂν αἱ τοῦ Διὸς προσηγορίαι ξύμπασαι γένοιντο μόναι τῶν ἄλλων, ἐπιεικῶς τὸ βασιλέως ἦθος καὶ τὴν βασιλικὴν διάθεσιν παριστᾶσαι.

Τὸν δὴ τοιοῦτον, ᾧ ἂν μάλιστα γνησίως ἡ βασιλεία προσῇ, λόγῳ μὲν αὐτὸς ἡμῖν ἀμηγέπη δεικνύειν ἐπιχειρῶ, τὰ ἤθη τε αὐτοῦ καὶ τὴν διάθεσιν οἷα τις ἐν βραχεῖ παραλαμβάνων ὡς ἔνεστιν. Ὁρᾶτε δὲ ὑμεῖς, ὦ ἄνδρες Ἕλληνες, οὐκ ἄνευ ἀγαθῆς ἡμετέρας τύχης ἐπὶ τοῦ βασιλείου θρόνου τοῦδε καθήμενον. Ὁ γὰρ αὐτὸς ἡμῖν ἀνδρίας τοῦ χρηστοῦ βασιλέως ὅστις ποτὲ γένοιτ' ἂν καὶ ὃν ὡς βασιλέα χρηστὸν αὖ πάλιν ἐγκωμιάζειν αἱρούμεθα, ὥςθ' ὅσα ἂν εἴποι τις περὶ τοῦ βασιλέως ἡμῖν, τοσαῦτα ἂν εἴη καὶ περὶ τοῦ χρηστοῦ βασιλέως, τοῦ ἀνδριάντος, λέγω, δεδηλωκώς, ὥςπερ ὅσα γε καὶ περὶ ἐκείνου, τοσαῦτα ἂν ἔχοι λέγειν καὶ περὶ τοῦδε.

2. αὐτῶ ΝΒΑ: αὐτῷ ἐκ τοῦ τὸ πρῶτον γραφέντος αὐτῷ Μ: αὐτῶ Π 3. ἁπλῶς ΑΜ: ἁπῶς ΝΒ: ἁπῶς Π τέ ΒΜ: τε ΝΠΑ προνοεῖσθαι ΠΑΜ: προνοεῖσθαι ἐκ τοῦ πρῶτον γραφέντος προνθεῖσθαι Β: προνθεῖσθαι Ν 5. ὑπὲρ ΝΒΑΜ: ὑπερ Π 7. ἄλλο ΝΠΒ: ἄλλό ΑΜ 10. μάλιςα τῶν γραμμάτων ις γραφέντων ἐπὶ ἑτέρων διεσβεσμένων μέλανι, διὸ ἐπανελήφθη καὶ πάλιν ἐν τῇ ᾧᾳ λι Μ: μάλα ΝΒΑ: μάλα πρὸ δὲ αὐτοῦ διεσβεσμένον μᾶλλον ὅπερ ἤρχισε διορθόνων εἰς μάλλα Π 11 ἁμηγέπη ΝΒΑΜ: ἁμηγέπη Π τε Α: τὲ ΝΠΒΜ 12. οἷα ἔγραψα: οἷά Μ: οἷα ΝΠΒΑ 15. ὅςτις ποτὲ ἔγραψα: ὅςτίς ποτε Ξ 16. αἱρούμεθα ΠΒΑΜ: αἱρούμεθα ἐκ τοῦ τὸ πρῶτον γραφέντος αἱροῦμεθα Ν 17. τοσαῦτα ΝΠΑΜ: τοσαῦτα ἐκ τοῦ τὸ πρῶτον γραφέντος τὸσαῦτα Β 18. λέγω ΝΠΒ: λείπει ΑΜ 19. ἔχοι ΝΠΑΜ: ἔχοι ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἔχει Β λέγειν ΝΠΒ: λείπει ΑΜ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑ ΑΝΕΚΔΟΤΗ ΒΥΖΑΝΤΙΝΗ ΦΙΛΟΣΟΦΙΑ ΕΠΙΜΕΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Ε. ΠΑΠΑΔΟΠΟΥΛΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ἔστι τοίνυν ὁ βασιλεὺς πρῶτον μὲν περὶ θεὸν εὐσεβὴς καὶ παντὸς οὐτινοσοῦν ἄλλου τῶν ὄντων τὸ δαιμόνιον προτιμῶν, τὴν περὶ αὐτὸ θεραπείαν καὶ ἐπιμέλειαν αὐτῆς κρηπῖδα καὶ βάσιν τῆς βασιλείας ἡγούμενος. Οἷς μὲν γὰρ βασιλείας ἰδέαν τε καὶ παρά-
5 δειγμα τὸ δαιμόνιον οἶδεν, ἐξομοιοῦν ἑαυτὸν ὡς οἷόν τε τῷ κρείττονι βούλεται, οἷς δὲ ἓν οὐδὲν οὐδ' ὁπωστιοῦν οὐχ οἷόν τε γενέσθαι μὴ τῆς ἐκεῖθεν ξυνεφαπτομένης ῥοπῆς, οὕτω τοι τῇ προνοίᾳ προσέχειν ἐθέλει τὸν νοῦν, ὡς μηδὲ ἓν αὐτῷ τῶν κατωρθωμένων, ἀλλὰ θεῷ περιάπτειν. Δυοῖν δὲ ἐκείνοιν φιλία ἂν ξυσταίη τῷ βα-
10 σιλεῖ καὶ θεραπεία περὶ τὸ κρεῖττον. Μετὰ δὲ τοῦτο χρυσέας οὕτως εὐτυχεῖ θαλάμῳ κίονας ὑποστήσας, ὡς ἔφη τις, οὐκ ἔστιν ὅτῳ ἂν οὐ χρήσαιτο τῶν καλλίστων, τῶν ὑπηκόων ἐπιμελούμενος, νῦν μὲν ἑαυτὸν ὡστινοσοῦν ἀρετῆς ἰδέαν παρασκευάζων καὶ πρὸς ὃ βλέπειν ἔχοντες ἕκαστοι βελτίους ἂν γένοιντο. Νῦν δὲ πάνθ' ὅσα ἂν
15 εἰπεῖν ἔχοι τις ἐπιτηδείως διεξερχόμενος οἷς ὁ τῶν ὑπηκόων ἀμείνων αἰεὶ γιγνόμενος βίος μάλιστ' ἂν εἴη θορύβου πόρρω παντὸς καὶ ἣν ἐν πόλεσιν ἀταξίαν καὶ στάσιν ἡ πάντα καλῶς ποιοῦσα ταύτην εἴωθεν ἔρις, ταῦτά τοι παντὶ μὲν ἐσμῷ κοσμεῖται τῶν ἀρετῶν, ἁπάσης δὲ ἡστινοσοῦν ἐνεργείας ἀρίστης αὐτός ἐστιν αἴτιος, ἔν τε

2. οὐτινοσοῦν ΝΒΑΜ: οὐτινοσοῦν Π τῶν ὄντων τὸ δαιμόνιον ΝΠΒΑ: τὸ θεῖον Μ 3 κρηπῖδα Μ: κρηπίδα ΝΠΒΜ
4. ἡγούμενος ΝΒΑΜ: ἡγούμενος Π τε Α: τὲ ΝΠΑΜ
5. δαιμόνιον ΝΠΒΑ: θεῖον Μ 6. οἷόν ΝΠΒΜ: οἷον Α
7. ἐκεῖθεν ΝΠΒΜ: ἐκεῖθεν Α τοι ΝΠΒΑ: λείπει Μ τῇ ΠΒΑΜ: τη Ν 8. μηδὲ ἓν ἔγραψα: μηδεὲν ΝΠΒΑ: μηδὲν Μ αὐτῷ Π: αὐτῶ ΝΒΑΜ 9. ἀλλὰ ΠΒΑΜ: ἀλλὰ Ν ἐκείνοιν ΝΒΑΜ: ἐκεῖνοιν Π φιλία ΝΒΑΜ: φιλίαν Π
10. κρεῖττον ΝΠΒΑ: κρεῖττον θεῖον Μ 11. τις ΝΠΒΜ: τὶς Α
16. γιγνόμενος ΝΠΒΑ: γινόμενος Μ μάλιστ' ΑΜ: μάλιστα ΝΠΒ 19. ἔν τε ΑΜ: ἓν τὲ ΝΠΒ

ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

οὐδέν ἐστι τῶν ἁπάντων, ὃ γεγονὸς μὲν ὑπ' αὐτοῦ μὴ οὐ τῶν σπουδαίων ἂν εἴη, παρεθὲν δὲ αὐτίκα μὴ οὐ τῶν φαύλων ἂν δόξοι. Σωφροσύνην μὲν γὰρ οὕτως ἀσπάζεται κομιδῇ ὡς μηδενὶ δήπου τῶν φαινομένων ἡδέων ἡττᾶσθαι· ἄτοπον γὰρ τοῖς ὅλοις νενόμικεν, εἰ ὃν ἀήττητον ἐχρῆν εἶναι δικαίως, οὗτος ὥςπερ ἀνδράποδον ὑπὸ τῶν ἡδέων ἄγοιτό τε καὶ φέροιτο, καὶ ὃν ἐλεύθερον ἔδει καὶ πάντων κρατοῦντα φαίνεσθαι, τοῦτον ἡττᾶσθαι τοῖς χείροσι καὶ ἃ ἂν εἴκειν καὶ πειθαρχεῖν ἐθέλοι λόγῳ κελεύοντι. Ἀνδρείας δὲ τοσοῦτον αὐτῷ περίεστιν, ὡς ἄνευ ταύτης μηδὲ βασιλείαν οἴεσθαι εἶναι μηδὲ τὴν ἀρχὴν ξυνεστάναι. Εἰ γὰρ μήτ' ἄγαν ἐν ταῖς εὐτυχίαις ἐπαίρεσθαι δεῖ, μήτ' ἐν ταῖς ἀθυμίαις μάλιστα ταπεινοῦσθαι, ταυτὶ δὲ ἄρα βασιλικὸν μὲν ἦθος ἐμφαίνει, χωρὶς δὲ ἀνδρείας οὐκ ἄν ποτε γένοιτο, ἥκιστα βασιλείαν ἄνευ ἀνδρείας, οὐδ' ἂν πολλὰ κάμῃ τις, εὑρεῖν δυνατόν. Εἶτα πολίτην μὲν ὁντινοῦν ὁ φυσικὸς ἠνάγκασε νόμος ἀνδρείως ὑπὲρ πατρίδος αὐτῆς μάχεσθαι καὶ γονέων καὶ παίδων καὶ ἱερῶν καὶ τάφων καὶ νόμων ὅσα τε ἄλλα πόλιν ξυνίστησιν· ἄλλως γὰρ οὐδὲ πολίτης ἂν εἴη, οὐδέ γε καλεῖσθαι τοὔνομα δίκαιος· βασιλέα δὲ πολέμου καὶ μάχης ἐπιστατοῦντα καιρῷ καὶ νῦν μὲν οὐκ ἄνευ ἀνδρείας ἱστῶντα τρόπαια, νῦν δὲ καιροῖς εἴκοντα καὶ μὴ τῷ πρὸς πολεμίους θυμῷ ὥςπερ ἑνί τῳ κύβῳ τὰ τῶν ὑπηκόων ἀλόγως πράγματα προϊέμενον, ἀλλὰ δυοῖν ἐκείνοιν ἀρίστοιν, εὐτυχίᾳ τε καὶ τῷ καλῶς βουλεύεσθαι,

2. παρεθὲν ἔγραψα: παρεθὲν ἐκ τοῦ τὸ πρῶτον γραφέντος παραθὲν M: παραθὲν ΝΠΒΑ ἐθέλοι ἔγραψα: ἐθέλει Ξ 9. περίεστιν ΜΒΑ: περιέστιν N: περίέστιν M μηδὲ ἔγραψα: μὴδὲ Ξ 10. μηδὲ A: μὴδὲ ΝΠΒΜ τὴν ἀρχὴν ΝΑΜ: τὴναρχὴν ΠΒ ξυνεστάναι ΑΜ: ξυνεστᾶναι ΝΠΒ 11. μήτ' ΝΒΑΜ: μὴτ' N ἀθυμίαις ΠΑΜ: εὐθυμίαις N: εὐτυχίαις B ταπεινοῦσθαι ΝΒΑΜ: πεινοῦσθαι Π 12. ἀνδρείας ΠΒΑΜ: ἀνδρίας N 14. τις ΝΠΒΜ: τὶς A εὑρεῖν ΝΒΑΜ: εὑρεῖν Π 16. ὅσα ΝΒΜ: ὅσά ΒΑ 22. ἀρίστοιν ΒΑΜ: ἄριστοιν ΝΠ

ΕΠΑΣΕΠ ΠΙΝΑΚΟΘΗΚΗ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΗΤΙΚΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΑΝΑΣΤΗΜΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΑΝΑΣΤΗΜΙΟ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΑΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

μὴ ὅτι τάφους καὶ νόμους, ἀλλ' ὅλας χώρας καὶ ὅλας πόλεις καὶ ὁτιοῦν ἔθνος τῶν ὑπηκόων ὅσαι ὧραι σώζειν πειρώμενον ἀνδρεῖον οὐ φήσομεν; Καὶ πῶς ὀρθῶς τὰ πράγματα κρίνειν δόξομεν ἢ πῶς οὐκ ἀφῃρηκότες ἂν εἴημεν τοῦ βασιλέως μάλιστα τὸ ἐπίσημον;

5 Καὶ μὲν δὴ καὶ δικαιότατος πάντων ἀνθρώπων ὁ βασιλεύς. Δυοῖν γὰρ ὄντοιν οἷς τὸ δίκαιον σώζεται, θατέρω μὲν οὐκ ἄνευ μεγαλοψυχίας ἐθέλει χρῆσθαι, θάτερον δὲ ἐργάζεται φιλανθρωπίᾳ μιγνύμενον, καὶ μόνος ἀνθρώπων οὗτος τὸ μέν τι τῆς ἀρετῆς ἐπιτείνει, τὸ δὲ ἀμέμπτως ὑποχαλᾷ καὶ δικαιοσύνην ἐντεῦθεν ἄλλην

10 ξυνίστησι, βασιλικωτάτην τῷ ὄντι καὶ οἵα προσήκει τῷ μεγίστῳ καὶ πρώτῳ βασιλεῖ τε καὶ ἄρχοντι. Ἐνταῦθα σπουδαῖος μὲν ὁστιοῦν φαιδρός τε καὶ εὔελπις καὶ ὅστις αὐτῷ τε ξύνοιδε τῶν ἀγαθῶν καὶ σοφός τις ἅπας ἐν λόγῳ καὶ φιλοσοφίᾳ τιμᾶται, τὸ βασιλείᾳ ξυγγενέστατον χρῆμα καὶ ὁμοιότατον· στυγνάζει δὲ ὁ

15 φαῦλος, καὶ δίκας μὲν δίδωσιν ὡς πονηρὸς καὶ ἀκόλαστος, οὐ μὴν ὑπερβαίνει τὸ μέτρον, οἶμαι, τῆς δίκης, ἣν ἂν παρὰ παιδὸς ἀδικοῦντος λάβοι πατὴρ σωφρονίζειν ἐκεῖνον βουλόμενος. Πατὴρ γὰρ ἦν ἡμῖν ὁ βασιλεὺς ἐν τῷ λόγῳ καὶ τοῦ μεγίστου βασιλέως εἰκών. Καὶ μὴν ὅση τίς ἐστι τοῦ βασιλέως ἡ φρόνησις ῥᾴ-

20 διον, οἶμαι, καὶ τοῦ παντὸς ξυνιδεῖν. Ὁ γὰρ τοσούτων μὲν πόλεων καὶ ἐθνῶν, τοσούτων δὲ ἀνθρώπων κοινῇ καὶ καθ' ἕκαστον

1. μὴ ὅτι M: μηότι ΝΠΒΑ ὅλας πόλεις ΝΠΒΑ: πόλεις M

5. δικαιότατος ΒΑM: δικαιόττ Π: δικαιότερον N 7. δὲ ΝΠΒ: δὲ τὸ AM ἐργάζεται ΝΠΒΑ: ἐργάζεσθαι M 10. βασιλικωτάτην ΠΒΑM: βασιλικωτάτης N τῷ ὄντι ἔγραψα: τῶόντι N: τωόντι ΠΒΑM οἵα M: οἷα ΝΠΒΑ 12. ὅστις ΝΒΑM: ὅστις Π αὐτῶ ΝΒΑM: αὐτῷ Π ξύνοιδε ἔγραψα: ξυνοῖδε Ξ 18. ἡμῖν ΝΠΒ: λείπει AM 19. εἰκὼν ΠΒΑM: εἰκὼν ἐκ τοῦ τὸ πρῶτον γραφέντος εἰκῶν N 20. τοῦ ΝΒΑM: τοὺς Π 21. καθ' ἕκαστον M: καθέκαστον ΝΠΒΑ

ΕΛΛΑΣ ΗΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΔΑΚΤΟΡΙΚΗ ΦΙΛΟΣΟΦΙΑ ΚΑΘΗΓΗΤΗΣ ΑΝΔΡΕΑΣ ΚΩΣΤΗΣ ΝΙΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἐπιμελούμενός τε καὶ προνοούμενος, ὥςτε μηδὲ καθεύδειν ἔχειν, μὴ ὅτι γε τρυφᾶν καὶ ἀνειμένῃ χρῆσθαι διαίτῃ τε καὶ ἁβρότητι, πόρρω ἂν εἴη φρονήσεως καὶ σοφίας ἐλαύνων καὶ μᾶλλον ἤ περ ἄλλος τις ἀνθρώπων ἂν δύναιτο. Μαρτυρεῖ δὲ καὶ Ὅμηρος, ἐπισκώπτων τὸν Ἀγαμέμνονα, ῥᾳθυμοῦντα καὶ ὀλιγωροῦντα τῶν Ἀχαιῶν, οἷς ὄνειρος ἐκ Διὸς πεμφθεὶς ἔλεγεν *Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλεν*, ὡς βασιλέα μὲν ὄντα, ὃς ἂν μηδ' ἀξιοῖ δι' ὅλης καθεύδειν νυκτὸς, ἀλλὰ τῶν ἀρχομένων αἰεὶ φροντίζειν, βουλευόμενος ὅσα ἂν ἐκείνοις λυσιτελήσειεν, ὃ μὴ μεθ' ὑπερβαλλούσης, οἶμαι, φρονήσεως καὶ σοφίας τῶν χαλεπωτάτων εἶναι ξυμβαίνει, οὐκ ὄντα δ' αὖ βασιλέα, ᾧ ἂν ἡδὺ μὲν γένοιτο τὸ καθεύδειν, ἥδιον δὲ τὸ τρυφᾶν καὶ τὸ τραπέζης καὶ γαστρὸς μᾶλλον ἢ τῶν ὑπηκόων ἐπιμελεῖσθαι, ὃς αὐτῷ τούτῳ πρώτῳ τῶν ἀβελτέρων ἂν εἴη νομίσας τοιούτῳ τρόπῳ βλακείας ἢ τῶν πολεμίων περιγενέσθαι ἢ τοὺς ὑπηκόους σωθῆναι ἢ αὐτὸν ἐλεύθερον, ἀλλὰ μὴ δοῦλον αὐτίκα μάλα βιώσεσθαι.

Καὶ μὴν βασιλέως οὐκ ἔστιν ἓν οὐδὲν ἡμερώτερον. Ὁ γὰρ πάντα λέγων καὶ πράττων, ὅπως ἂν τοῖς ἀρχομένοις εὖ γένοιτο, πῶς οὐ πρᾶος καὶ ἥμερος μάλιστα πάντων εἰκότως ἂν νομισθείη; Διὸ δὴ καὶ μόνον φίλος ἂν εἴη τοῖς ὑπηκόοις, εἴ περ ἑνὶ τούτῳ τῶν ἄλλων παραπλήσιος ἐκείνοις μάλιστα φαίνεται. Φιλία γὰρ

1. ἐπιμελούμενός ΝΠΒ: ἐπιμελούμενος ΑΜ μηδὲ ἔγραψα: μὴδὲ Ξ 2. μὴ ὅτι ἔγραψα: μηότι Ξ ἀνειμένη ΒΑΜ: ἀνειμίη ΝΠ τε ΑΜ: τὲ ΝΠΒ 4. ἄλλος Β: ἄλλός ΝΠΑΜ ἂν ΝΠΒ: λείπει ΑΜ 6. πεμφθεὶς ΝΒΑΜ: πεφθεὶς Π 7. εὕδειν ΝΒΑΜ: εὕδειν Π τόσσα Μ: τόσα ΝΠΒΑ 8. μέμηλεν ΝΠΒΜ: μεμηλεν Α μηδ' ΝΠ: μὴδ' ΒΑΜ 10. ὑπερβαλλούσης ΝΠΒΑ: ὑπερβαλούσης ἐκ τοῦ τὸ πρῶτον γραφέντος ὑπερβαλοῦσης Μ 16. αὐτὸν Π: αὐτὸν ΝΒΑΜ 18. ὁ ΝΒΑΜ: ὁ Π 20. μάλιστα ΝΒΑΜ: μάλλιστα Π 22. μάλιστα ΝΒΑΜ: μάλειστα Π φιλία ΠΒΑΜ: φυλία Ν

ΕΓΔ ΤΗΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

κἂν ἐν ὁμοίοις ξυσταίη, τὰ αὐτὰ δήπου βουλομένοις καὶ μή, ἐν δ' ἀνομοίοις καὶ οἷς οὐ ταὐτὰ δοκεῖ ἥκιστ' ἄν ποτε γένοιτο. Δοκεῖ δὲ τὸ ἥμερον παραπλήσιον πᾶσιν ἐθέλειν εἶναι καὶ τῶν αὐτῶν ἐρᾶν καὶ ἐφίεσθαι. Δῆλον δὲ οἷς τὰ ἀντικείμενα τούτῳ μήτ' εἴκειν
5 ἐθέλει μήθ' ὅλως ἀλλήλοις ξυναγελάζεσθαι. Τὸ δὴ οὖν ἑταῖρον καὶ φίλον εἶναι τοῖς ἀρχομένοις τὸν βασιλέα τῷ σφίσιν αὐτοῖς ἑκὼν εἶναι παραπλήσιον ἑαυτῶν παρέχειν ὁρᾶσθαι ποίαν ὑπερβολὴν ἀρετῆς οὐχ ὑπερνικᾷ ἢ πῶς οὐκ ἄλλος τρόπος φιλίας, ἁπάσης ἡστινοσοῦν ἣν ἂν εἰπεῖν ἔχοι τις ἑταιρείας ἀμείνων καὶ τελεώτερος;
10 Χωρὶς δὲ ἐκείνων, τὰ μὲν ἄλλα τῆς βασιλείας ὁ βασιλεὺς φύσει πως νενόμικε γίγνεσθαι· ξυμπαρομαρτεῖν γὰρ ἐκείνῃ καθάπερ σκιὰ τῷ σώματι· διὸ καὶ μὴ μάλα βουλομένοις ἐξ ἀνάγκης γίγνεσθαι φύσει, μόνον δὲ εὖ ποιεῖν τῶν ἑκουσίων εἶναι καὶ ὧν ἡ βούλησις αἴτιον. Εὖ δὲ εἰδὼς τοῖς μὲν ἐξ ἀνάγκης μὴ πάνυ τοι
15 προσεῖναι τὸ εὔδαιμον, τοῖς δ' ἐφ' ἡμῖν τε καὶ ἑκουσίοις μάλιστα προσγίγνεσθαι τὸ μακάριον, οὕτω τοι χαίρει τῷ εὖ ποιεῖν, ὡς, εἴ τι τυχὸν διάλειμμα γένοιτο, μηδὲ βεβασιλευκέναι τότε νομίζειν, ἀλλ' ἴσα καὶ τοῖς χυδαίοις εἶναι καὶ τοῖς πολλοῖς, οἷς ὁ βίος ἀνόνητος. Εὐεργετεῖ τοίνυν, μονονοὺ νικῶν αὐτὸς ἑαυτὸν καὶ τῶν

1. ὁμοίοις ΝΒΑΜ: ὁμοίοις Π 2. ταὐτὰ ἔγραψα: ταυτὰ Ξ ἥκιστ' Μ: ἥκιστα ΝΠΒΑ 4. μήτ' Μ: μήτε ΝΠΒΑ 5 ἐθέλει ΝΒΑΜ: ἐθέλειν Π ξυναγελάζεσθαι ΠΑΜ: ξυνἀγελάζεσθαι ΝΒ 6. τοῖς ἀρχομένοις ΝΠΒ: λείπουσιν ΑΜ τῷ ΝΠ: τῶν ΒΑΜ 7. ἑκὼν ΒΑΜ: ἑκῶν ΝΠ 9. τις ΝΠΒΜ: τὶς Α ἑταιρείας ΝΒΑΜ: ἑταιρέας Π 12 ἐξ ἀνάγκης Μ: ἐξανάγκης ΝΠΒΑ 13. ἑκουσίων ΝΒΑΜ: ἑκουσίων Π 14. εἰδὼς ΠΒΑΜ: εἰδῶς Ν ἐξ ἀνάγκης ΑΜ: ἐξανάγκης ΝΠΒ 15. εὔδαιμον ΝΒΑΜ: εὔδομον Π τε ΑΜ: τὲ ΝΠΒ 16. προσγίγνεσθαι ΝΠΒ: προσγίνεσθαι ΑΜ 17. διάλειμμα ΠΒΑ: διάλειμα Ν: διάλλειμα Μ μηδὲ ἔγραψα: μὴδὲ ΝΠΑΒ: μηδὲ διεσβεσμένων δύο γραμμάτων μεταξὺ τοῦ μὴ καὶ δὲ Α 18. ἴσα ἔγραψα: ἴσα Ξ 19. νικῶν ΝΠΒΑ: νικῶν Μ

ΕΠΙΣΤΗΜΟΝΙΚΟ ΙΩΑΝΝΙΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΕΠΙΣΤΗΜΙΟ ΕΛΛΑΔΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΟΙΚΟΝΟΜΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ὑστέρων τὰ ἔμπροσθεν μεθ' ὑπερβολῆς ὅσης ἐλάττω παρασκευάζων. Ἡγεῖται γάρ, ὅπερ καὶ ἀληθές ἐστιν, αὐτὸν μὲν δεῖν μηδὲν ἴδιον ἔχειν ὅ τι μὴ τοῖς ὑπηκόοις κοινόν, ἐκείνους δὲ τῆς βασιλικῆς ἀπολελαυκότας εὐεργεσίας παρὰ τῆς αὐτοῦ λαμβάνειν μεγαλοπρεποῦς αἰεὶ δεξιᾶς. 5

Ἀλλὰ μὴν εἰρηνικὸς ὢν καὶ τῆς εἰρήνης ἓν οὐδὲν ἡγούμενος βέλτιον, οὐχ ἧττον φιλοπόλεμός τίς ἐστι καὶ χαίρων μάχῃ καὶ Ἐνυοῖ. Εἰρήνη μὲν γὰρ δι' αὐτό τι χρῆμα χρηστὸν καὶ τῷ βίῳ μάλα λυσιτελέστατον, πόλεμος δὲ οὐ πάντῃ παρὰ τοῦτο κακὸν, οὐδ' ὡς κακία νενόμισται, ἀλλ' ἔχων ὅ τι ἄν τις αὐτὸν κακίσοι, 10 τὸ λοιπὸν τῶν χρηστῶν ἂν καὶ αὐτὸς εἴη καὶ ὅσα πρός τι τῶν ἀγαθῶν πεπέρασται καὶ τετάχαται· ἔστι γὰρ δι' εἰρήνην ὥςπερ φασὶ τὸ φάρμακον δι' ὑγίειαν, εἰ δὴ δι' αὐτὸ μὲν εἰρήνη καλὸν, ὁ δὲ πόλεμος δι' αὐτὴν ἐθέλει γίγνεσθαι τοῖς ἀνθρώποις· ὁ βασιλεὺς εἰρηνικώτατος ὢν εἰκότως ἄν τις καὶ φιλοπόλεμος εἴη, ὥςτε καὶ 15 φιλοστρατιώτης ἐντεῦθεν ἔσται καὶ τῶν στρατευομένων ἐπιμελής, ὅ τε χρόνος αὐτῷ τῆς εἰρήνης ἅπας ἐς παρασκευὴν πολέμου καὶ μάχης ἀναλωθήσεται. Ὁ γὰρ εἰρήνην μὲν ἄγειν διανοούμενος, παρασκευῆς δὲ πολέμου καὶ μάχης οὐδένα λόγον ποιούμενος λανθάνει προδότης τε αὐτοῦ καὶ τῆς οἰκείας ἀρχῆς γινόμενος καὶ ἐν εἰρήνῃ 20

1. ὑπερβολῆς ὅσης ἐλάττω ΝΠΒΑ: ὅσης ὑπερβολῆς Μ
4-5. μεγαλοπρεποῦς ΝΒΑΜ: μεγαλοπρεποὺς Π 5. αἰεὶ ΠΒΑ: ἀεὶ ΝΜ 6. ἀλλὰ μὴν ΠΜ: ἀλλαμὴν ΝΒ: ἀλλαμην Α ὢν ΝΒΑΜ: ὦ Π ἡγούμενος ΝΠΒΑ: ἡγούμενον Μ 7. τίς ἐστι Π: τις ἐστὶ ΝΑ: τίς ἐστὶ Β: τις (ἐκ τοῦ τὸ πρῶτον γραφέντος τίς) εστι Μ
9. παρὰ ΝΠΒ: δια ΑΜ κακὸν ΝΠΒΑ: κακὸς Μ
10. κακία νενόμισται ΒΑΜ: κακίαν ἑνόμισται ΝΠ ἔχων ΝΒΑΜ: ἔχων Π 10-11. αὐτὸν—ἂν καὶ ΝΠΒΑ: λείπουσι Μ
11. τὸ λοιπὸν ΝΠΒ: τολοιπὸν Α τι: ΝΒΑΜ: τις Π 12. ἔστι ΝΒΑΜ: ἔστιν Π 13. ὑγίειαν ΝΒΑΜ: ὑγείαν Π δι' αὐτὸ ΒΑΜ: δι' αὐτὸ Ν: δἴαυτὸ Π 20. τε Α: τὲ ΝΠΒΜ οἰκείας ΝΠΒΑ: οἰκείας Π

ΕΡΓΑΣΤΗΡΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΩΝΥΜΟΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

διάγων πολέμου καὶ μάχης οὐδὲν [δίαιταν] διαφέρουσαν. Ἀλλὰ δὴ τοιοῦτος ὢν τίνα μὲν οὐ φιλήσει τῶν ὑπηκόων ὁ βασιλεύς, ὑπὸ τίνος δὲ αὐτὸς οὐ μάλιστα φιληθήσεται; ἢ τίνα μὲν οὐ σώσει τῶν ἀρχομένων, ὑπὸ τίνος δὲ αὐτὸς οὐ μάλιστα σωθήσεται; Πῶς δ' ἂν αὐτὸς, ἀσφαλῆ τὸν βίον ποιούμενος ἅπασιν, οὐκ ἀσφαλέστατον ἕξει τὸν βίον, παρὰ πάντων ἁπλῶς φυλαττόμενος, ἢ πῶς οὐκ εὔδαιμον ἐργαζόμενος τὸ ὑπήκοον, οὐκ αὐτὸς ἀνδρῶν ἁπάντων εὐδαιμονέστατος γένοιτο; Ἡρακλέα μὲν οὖν τὸν Ἀλκμήνης, ὅτι δὴ τῇ λεοντῇ μόνῃ καὶ τῷ ῥοπάλῳ τῆς γῆς τὸ πλεῖστον διῄει, τυράννους τε καθαιρῶν καὶ βασιλεῖς ἀντικαθιστῶν τἆλλά τε πάντα ποιῶν ὅσα περ ἐκείνου πέρι ποιητῶν ἦσαν παῖδες, ἐκ Διὸς ἥκειν ἔφασαν Ἕλληνες· τὸ γὰρ τῶν ἐφ' ἡμῖν κάλλιστον τοῖς κρείττοσι καλῶς ποιοῦντες ἀπένεμον. Βασιλέα δὲ τὸν χρηστὸν, ὃν ἡμῖν ὁ λόγος τοιοῦτον νῦν ἐζωγράφησε καὶ ὃν εἰκόνα τοῦ μεγίστου καὶ πρώτου βασιλέως προσειπών τις οὐκ ἂν ἁμάρτοι, πῶς ἂν οὐ παρὰ θεοῦ πεμφθῆναι τοῖς ἀνθρώποις νομίσαιμεν ἢ πῶς μὴ οὐ καὶ αὐτὸν ἥκειν ὅπως ἂν εὖ τοῖς τῶν ἀνθρώπων γένοιτο πράγμασιν ἡγησόμεθα; Τὰ γὰρ αὐτὰ δίκαιον τῶν αὐτῶν πέρι τοὺς σπουδαιοτέρους οἴεσθαι τε καὶ ἀποφαίνεσθαι.

1. δίαιταν διαφέρουσαν ἔγραψα: διαφέρουσαν προηγουμένων τινῶν γραμμάτων διεσβεσμένων A: διαφέρουσαν ΝΠΒΜ 2. ὢν ΝΠΒΑ: λείπει Μ 3. οὐ μάλιστα ΝΠΒΑ: οὐ μάλιστα Μ 3–4. ἢ τίνα-σωθήσεται ΝΠΒΜ: ἢ τίνα - σωθήσεται ἢ τίνα - σωθήσεται Α 5. ἅπασιν ΝΒΑΜ: ἅπασιν Π 6. ἕξει ΝΒΑΜ: ἕξει Π 7. ἁπάντων ΝΒΑΜ: ἁπάντων Π 9. διῄει ΝΒΑΜ: δειῄει Π 10. τε ΠΑΜ: τὲ ΝΒ τἆλλα ἔγραψα: τἆλλα ΑΜ: τ' ἄλλα ΝΠΒ 11. πάντα ποιῶν ΝΠΒΑ: πάντα ποιῶν Μ πέρι ΒΑΜ: περὶ Ν: περι Π 15 ἂν ΝΒΑΜ: ἀν Π 16. πεμφθῆναι ἔγραψα: πεμφθῆναι Μ: πεφθῆναι ΝΠΒΑ νομίσαιμεν ἔγραψα: νομίσωμεν Ξ οὐ καὶ ΝΠΒΑ; οὐ καὶ Μ 18. πέρι ΠΒΑΜ: περὶ Π

ΕΥΔ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ἐγὼ μὲν οὖν, ὦ μέγιστε βασιλεῦ, τὰ πλεῖστα παρεὶς, τοιοῦτον ἐν βραχεῖ σε τὸν βασιλικὸν ἀνδριάντα νῦν ᾠνιξάμην, ἧττον μὲν, οἶμαι, τῆς ἀξίας καὶ τῆς ἣν ἔχω δυνάμεως· τό τε γὰρ χρῆμα τοσοῦτον ὅσον ὑπερβαίνειν ὀντινοῦν λόγον καὶ ἣν ἂν εἰπεῖν ἔχοι τις δύναμιν, ἥ θ' ἡμετέρα περὶ λόγους ἰσχὺς ἥτις ποτέ ἐστιν ἀμείνων, οἶμαι, τῆς νῦν προθέσεως· οὐκ ἔλαττον δ' ἴσως τῆς ξυμμετρίας, ἣν νῦν ὁ χρόνος ἀπῄτει, βραχυλογίᾳ χαίρων καὶ τῷ μὴ πλήθει λόγων τὸ παρὸν θέατρον ἀποκναίειν. Σὺ δὲ μακάριος μὲν τοῦ καλλίστου τούτου προσχήματος, μακαριώτερος δὲ ἧς τε ἔχεις ἀγαθῆς φύσεως ὧν τε ὑπὲρ τῶν ἀρχομένων φροντίζεις, οὓς οὐδὲ δούλους, ἀλλ' ἐλευθέρους ἡγούμενος, τοιαύτης κηδεμονίας ἀξιοῖς, ὅσης ἂν καὶ παῖδας εὐγενεῖς ἀγαθὸς πατὴρ καὶ φιλόστοργος. Ὃν οὐκ ἄνευ ἀγαθῆς μοίρας, ὡς ἔοικεν, ὁ θεὸς Ἑλλήνων ἀνέδειξε βασιλέα, Ἑλλήνων, οἱ πρὶν μὲν γῆς ἄρχοντες καὶ θαλάττης καὶ τρόπαια τὰ μὲν ὅπλοις, τὰ δὲ φρονήσει στρατηγικῇ καὶ οἷς βαρβάρων φύσει πλεονεκτοῦσιν Ἕλληνες ἐν ἡτινιοῦν μοίρᾳ τῆς οἰκουμένης ἱστάντες καὶ τὰ πρῶτα παρὰ πάντων ἐθνῶν κομιζόμενοι, νῦν οὐκ οἶδ' ὅπως παρὰ τὴν ἡμετέραν ἀξίαν βαρβάρων ἐνίων ἥττους ὀφθέντες καθήμεθα, πῶς ἂν εἴποι τις, ἀφῃρημένοι μὲν ἀρχὴν ἡντινοῦν γῆς, θαλάττης, πόλεων, χρημάτων, πόρου παντὸς, ἐστερημένοι δὲ ξυμμάχων τε καὶ ξυνήθων καὶ περὶ τῆς μιᾶς ταυτησὶ πόλεως δεδιότες, τῆς κοινῆς τοῦ γένους ἑστίας, ἣ μόνη λέλειπται σωτηρία τοῖς Ἕλλησι. Καὶ τὸ δὴ χεῖρον ἁπάντων, ὅτι καὶ πρὸς ἡμᾶς αὐτοὺς ὑπὲρ τῶν μεγίστων μάλιστα στασιάζομεν, παραπλήσιόν τι ποιοῦντες, ὥςπερ ἂν εἴ τινες, τῶν πολεμίων αὐ-

5. τις ΝΠΒΜ: τὶς Α ἥτις ποτὲ Β: ἥτίς ποτε ΝΠΑ: ἥτις ποτ' Μ 6. δ' ΝΠΒΑ: δὲ Μ 7. ὁ ΝΒΑΜ: ὁ Π βραχυλογία ΝΒΑΜ: βραχυγοία Π 9 (καὶ 10). τε ΠΑΜ: τὲ ΝΒ 12. ἀγαθὸς ΝΠΒΑ: αγαθὸς Μ 21. τε ΑΜ: τὲ ΝΠΒ ξυνήθων ΝΠΒΑ: συνήθων Μ 22. ἑστίας ΝΒΑΜ: ἑστίας Π 23. δὴ ΠΒΑΜ: δὲ Ν ἁπάντων ΝΒΑΜ: ἁπάντων Π

ΕΓΑΣΤΗΡΙΟ ΠΑΤΡΙΣΤΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΘΝΟΥΣ ΚΕΝΤΡΟ ΜΕΛΕΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΦΙΛΟΣΟΦΟΥ ΠΑΤΣΗ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τοῖς ἐπιόντων καὶ μάχης ἐνισταμένου καιροῦ, πρὸς ἐκείνους μὲν οὐδὲν ἀξιόλογον οὐδ' ὅπερ εἰκὸς δρᾶν μαχομένους πεποιηκότες ἂν εἶεν, ἐφ' ἑαυτοὺς δὲ τραπέντες σφίσιν αὐτοῖς ὅσα καὶ πολεμίοις χρήσονται. Εἶτα πρόφασις μὲν ἡμῖν ἡ εὐσέβεια καὶ τὸ μὴ τῶν πατρίων ἔξω γενομένους ἁλᾶσθαι. Ταυτὶ γάρ ἐστιν ἀκούειν λεγόντων καὶ τῶν πολλῶν· τὸ δὲ ἀληθὲς φιλονεικία καὶ ἔρις, φιλοτιμίαν ἐνίοις φέρουσα. Ἐγὼ δὲ ὅτι μὲν οὐδὲν ἄτοπον οὐδ' ὅσα ἂν εἰπεῖν ἔχοι τις τοῖς ἡμετέροις ἐκεῖθεν ξυμβαίνει δόγμασι καὶ μάλα ἀκριβῶς οἶδα, καὶ διισχυρισαίμην ἂν παντὸς μᾶλλον τῶν τὰ τοιαῦτα φιλοσοφούντων. Ὅ τι δὲ ἡμῖν ἐντεῦθεν γενήσεται, τηνάλλως οὕτω τηλικούτων ἐστερημένοις ξυμμάχων, ἐβουλόμην ἂν ἀγνοεῖν καὶ τούτῳ μόνῳ μηδὲν διαφέρειν ἀπράγμονος. Οὐδεὶς γὰρ οὕτως εὐήθης οὐδ' οὕτω σφόδρα ὀμόσε τοῖς φανεροῖς ἰὼν, ὅστις οὐκ ἂν ξυγχωρήσειεν ἡμᾶς τὰ ἔσχατα ἐντεῦθεν παρακινδυνεύειν, τοὺς ἡμετέρους δὲ πολεμίους θαρσήσαντας τοιαῦτα τολμήσειν, ἃ ἂν ὁ θεὸς ἐς τὰς ἐκείνων τρέψειε κεφαλάς. Εἰ γὰρ νῦν ἡμῖν προσόντων ἐκείνων, λέγω δὴ τῶν ἐκ τῆς Ἑσπέρας ξυμμάχων, καὶ βοηθείας τῆς μὲν διὰ γῆς, τῆς δὲ διὰ θαλάττης ἐλπιζομένης, διαθέουσι μὲν τὴν ἡμετέραν οἱ βάρβαροι, ἁρπάζουσι δὲ χωρία καὶ λιμένας καὶ πόλεις, ἡμεῖς δὲ κατεπτήχαμεν φόβῳ καὶ περὶ τῆς σωτηρίας ἡμῶν αὐτῶν δεδιότες, τί ποιήσομεν, ἡνίκα ἂν ἐκείνους ὡς πολε-

1. ἐπιόντων ΝΒΑΜ: ἐπιόντων ἐπιόντων Π ἐνισταμένου ΝΠΒΑ: ἐνισταμένης Μ 3. ἑαυτοὺς ΝΒΑΜ: ἑαυτοὺς ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἑαυτοῖς Π αὐτοῖς ΝΒΑΜ: αὐτοῖς ἑπομένου ἐπι διαγεγραμμένου Π 4. τὸ μὴ ΝΠΒ: μὴ ΑΜ 5. ἁλᾶσθαι ἔγραψα: ἁλᾶσθαι Ξ 6. φιλονεικία ΝΒΑΜ: φιλονεία Π 7. μὲν οὐδὲν ἄτοπον ΝΠΒΜ: μὲν ἄτοπον οὐδὲν Α 10 τηνάλλως Μ: τηνάλως ΠΒΑ: τὴν ἄλως Ν 11. ἐστερημένοις ΝΒΑΜ: ἐστερημένοις Π 12. μόνω ΝΠΜ: μόνον ΒΑ 16. ἐς ΝΠΒ: εἰς ΑΜ 19. ἁρπάζουσι ΝΒΑΜ: ἁρπάζουσι Π 21. ποιήσομεν ἔγραψα: ποιήσωμεν Α: ποιήσωμεν ΝΠΒΜ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

μίους προώμεθα καὶ μηκέτι κοινωνοὺς ἔχωμεν τῶν κινδύνων, ἀλλὰ μόνοι μεταξὺ βαρβάρων ἀπολειφθῶμεν; Ἤκουον δ' ἔγωγε ἐνίων ὡς ἀνθεκτέον ἐστὶ τοῦ βαρβάρου, τῶν ἐκ τῆς Ἑσπέρας ἤδη πραγμάτων ἐξελεγχθέντων, μηδεμίαν ἐκεῖθεν ἔτι ξυμμαχίαν ἐλπίζουσι. Θαυμάζω δὴ τῶν τὰ τοιαῦτα λεγόντων πρῶτον μὲν εἰ πλείους ἀνθ' ἑνὸς τοὺς πολεμίους ἀγνοοῦντες ἡμῖν ἐντεῦθεν παρασκευάζουσιν, εἶθ' ὅτι λέληθεν αὐτοὺς ὅση τίς ἐστιν ἡ περιουσία τῆς τῶν Ἑσπερίων δυνάμεως. Προσθείην δ' ἂν ὅτι καὶ οὐδ' ἐς νῦν φέρουσι τὸ αἰσώπειον, ὅπερ ἐκεῖνος περὶ προβάτων καὶ λύκων ἐπλάσατο.

Ἀλλὰ, πολλὰ ἂν ἔχων πρὸς τούτοις εἰπεῖν, παραλείπω τοῦ τε μὴ φορτικὸς εἶναι δόξαι καὶ τοῦ τὰ τοιαδὶ μὴ τοῦ παρόντος εἶναι σκοποῦ. Σοὶ δ' ἂν εἴη λοιπὸν, ὦ θειότατε βασιλεῦ, καὶ τοῦ μεγαλοπρεποῦς σοῦ φρονήματος ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἐντεῦθεν καὶ τὸν ἀπὸ γραμμῆς λίθον κινῆσαι, τοῦτο δὴ τὸ τοῦ λόγου. Ἐλπὶς γὰρ ἅπασιν ἀγαθὴ χωρεῖ διὰ πάντων, σοῦ τῶν Ἑλλήνων οὐκ ἄνευ θείας μοίρας νυνὶ βεβασιλευκότος, ὀψὲ γοῦν τοὺς ἡμετέρους φῶς ἐλεύθερον ὄψεσθαι.

1. ἔχομεν ΝΠΒΜ: ἔχ(ο)ωμεν Α κινδύνων ΝΠΒΑ: (κιν)δύνων Μ 3. ἐστὶ ΝΠΒΑ: ἐστι Μ ἐσπέρας ΝΠΒΑ: ἐσπέρας ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἐσπέρων Μ 4. ἐξελεγχθέντων ΒΑΜ: ἐξωελεγχθέντων ΝΠ 7. τίς ΝΠΒΑ: τις Μ 12. δόξαι ΝΠΒΑ: δόξω Μ 13. εἴη λοιπὸν ὦ θειότατε ΝΠΒΑ: εἴη, (λοιπὸν ὦ) θειότατε Μ 16. ἐλπὶς ΝΠΒΑ: ελπὶς Μ 18. ὄψεσθαι ΝΠΒΑ: ὄψεσθαι Μ

Μετὰ τὴν λέξιν ὄψεσθαι Τέλος Τέλος ἐν τῷ Π: Ἐν δὲ τῷ Β χειρὶ νεωτέρᾳ *1449*, εἶτα δὲ Finis. finis. FINIS καὶ τάδε· Orationes quaedam elegantissimę egregii ac praeclarissimi doctoris dni iohannis argiropuli constantinopolitani. Qui patauini gymnasii rhetor et dialecticus et philosophus et scotista per triennium rexit habenas et doctor de more insigniri meruitur ad serenissimum imperatorem Constantinum paleologum et de fratris obitu funebriae et ad ipsum consolatoriae;

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΟΤΗΤΑ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΑΝ. ΔΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ
ΚΥΡΟΥ ΙΩΑΝΝΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ ΛΟΓΟΣ ΠΑΡΑΜΥΘΗΤΙΚΟΣ ΠΡΟΣ ΤΟΝ ΒΑΣΙΛΕΑ ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΕΠΙ ΤΩ ΘΑΝΑΤΩ ΤΗΣ ΕΑΥΤΟΥ ΜΗΤΡΟΣ

Ἔοικε, θειότατε βασιλεῦ, ἓν οὐδὲν τῶν παρ' ἡμῖν εἶναι τῶν ἱσταμένων οὐδ' ὃ φανὲν οὐ μείζω τὴν ἀθυμίαν ἡμῖν κατέλιπεν ἀπιὸν ἢ περιὸν παρεῖχε τὴν ἡδονήν. Μαρτυρεῖ μου τῷ λόγῳ τὸ τῆς κινήσεως μέτρον, ὁ χρόνος, πολλὰς μὲν πραγμάτων ἄλλοτε
5 ἄλλας φέρων μεταβολάς, πολλὰς δὲ ἀνθρώπων διαδοχάς· ὧν οἱ μὲν βραχύ τι παρακύψαντες ἐς αὐτὸ τοῦ βίου τὸ θέατρον ἀπεκρύψαντο, μηδενὸς μὲν αὐτοὶ ἀπολελαυκότες καλοῦ, μηδεμιᾶς δὲ ἑτέροις ἣν ἂν εἰπεῖν ἔχοι τις ὠφελείας οὐδ' ὁπωστιοῦν αἴτιοι γεγονότες, ζηλωτοὶ μὲν ἴσως ἐνίοις οἷς τῶν τοῦ βίου κακῶν οὐ πάνυ
10 τοι μετειλήφασιν, ἀνευδαίμονες δὲ τῷ παντί, ἅτε καὶ τοῦ παρόντος τέλους διαμαρτόντες καὶ τὴν εὐδαιμονίαν ἐκείνην οὐχ ὡς ἐχρῆν

Περιλαμβάνεται μόνον ἐν τῷ κώδικι τῆς βιβλιοθήκης Μαδρίτης 115 (4636) φ. 148ᵃ - 155ᵇ, γεγραμμένῳ τὸν ιε' αἰῶνα ἐν τούτῳ τῷ μέρει ὑπὸ Ἰωάννου τοῦ Τζυκανδήλη, οὗ τὸ ὄνομα φέρεται ἐν τέλει τοῦδε τοῦ λόγου γεγραμμένον χειρὶ τοῦ Κωνσταντίνου Λασκάρεως μετὰ τὴν λέξιν ὀφθῆναι. Ἴδε Λακεδαιμόνιοι βιβλιογράφοι καὶ κτήτορες κωδίκων ἐν Νέῳ Ἑλληνομνήμονι Τόμ. Δ' σ. 175.

Ἐν τῇ ἐπιγραφῇ σωφωτάτου· τὰ δὲ Κων ἐπὶ τῷ θανάτῳ τῆς ἑαυτοῦ μητρὸς πρόσθετα ἐν τῇ ᾧᾳ διὰ χειρὸς Κωνσταντίνου τοῦ Λασκάρεως τοῦ τὰς λοιπὰς πραγματείας καὶ τοὺς ἄλλους λόγους τοῦ Ἀργυροπούλου ἐν τῷ κώδικι γράψαντος.

1. θειότατε ἐκ τοῦ τὸ πρῶτον γραφέντος θειώτατε 8. τίς ὅπωστιοῦν 9. ζηλωτοὶ ἐκ τοῦ τὸ πρῶτον γραφέντος ζηλωτὸν 11 (καὶ κατωτέρω πανταχοῦ) οὐχ'

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΙΩΑΝΝΙΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΙΔΡΥΜΑ ΑΝ. ΑΓΑΘΟΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΤΡΟΠΗ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΩΑΝΝΟΥ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

μάλιστα κομισάμενοι· οὐδὲ γὰρ ἔχει νοῦν, οἶμαι, τὴν ἐκ τῶν δεινῶν ὠφέλειαν διὰ τὰ δεινὰ παριδεῖν, οὐδὲ πρὸς ἀνδρὸς νοῦν ἔχοντος ἀπολελεῖφθαι τῆς ἀρετῆς, ἧς *ἱδρῶτα*, κατὰ τὸν εἰπόντα, *θεοὶ προπάροιθεν ἔθηκαν*. Οἱ δὲ τῆς ἐν οὖσι μετεσχηκότες διαίτης καὶ τῆς ἐντεῦθεν εὐζωίας ἐπιλαβόμενοι μάλιστα μὲν σφίσιν αὐ- 5 τοῖς, οὐχ ἧττον δὲ καὶ ἄλλοις οὐ σμικρῶν οὐδ' ὀλίγων ἀγαθῶν γεγόνασιν αἴτιοι· ἐῶ λέγειν ὅσοι μάτην εἰςῆλθον τοῦ βίου τὸ θέατρον, ὥςπερ ἐς Ὀλύμπια μὲν ἥκοντες ὡς ἀθλήσαιεν, μηδὲν δὲ κοτίνου ἄξιον ἐργασάμενοι καὶ τοσοῦτον μὲν ὑποστάντες τὸν πόνον, ὥςτε ἐν ἀγωνίᾳ μέσῃ γενέσθαι, ἐπανήκοντες δὲ αὖθις ὥςπερ εἰ 10 μηδὲ τὴν ἀρχὴν εἰςῆλθον τὸ στάδιον. Οὐ μὴν ἀλλ' εἰ ταῦτα μὲν οὐδὲ ποθὲν γιγνόμενα παύεται, ἡμῖν δὲ ἀντὶ τούτων ἀνία καὶ ξυμφορῶν ἐσμὸς περιγίγνεται, τοῦτο μὲν ἡμᾶς αὐτούς, τοῦτο δὲ τοὺς οἰχομένους || δακρύουσιν, οὐχ ὁρῶ πῶς ἂν ἐν ἡμῖν τι μακά- φ.148ᵃ ριον γένοιτο ἢ πῶς οὐ διὰ τὸ λυπεῖσθαι μόνον καὶ κακῶς πάσχειν 15 ἐς αὐτὸ τοῦ βίου τὸ θέατρον ἥκομεν. Εἰ δὲ ταῦτα μὲν ἐφ' ἡμῖν οὐκ ἔστιν, οὐδ' ἐφ' οἷς ὅπως ἂν ἄλλως ἔσοιτο βουλευσαίμεθα, γίγνεται δὲ ἀνάγκη ἣν θεσμὸς φύσεως καὶ νόμος ξυνθέσεως καὶ τἀναντία τοῖς φύσει ξυγκειμένοις ἐπάγει, δεῖ δή που τὸν νοῦν τοῖς πράγμασιν ἐπιστήσαντας οὕτωςὶ χρῆσθαι τοῖς γιγνομένοις, ὥςπερ 20 αὐτὰ κελεύει τὰ πράγματα. Οὕτω γὰρ ἂν ἄξιά τε τοῦ ἡμετέρου νοῦ καὶ τῆς λογικῆς φύσεως πεποιηκότες ὀφθείημεν, ἔκ τε τῶν γιγνομένων αὐτῶν οὐδὲν πλέον ἢ ὅπερ ἐπεφύκει δόξαιμεν ἂν ἐλ-

1. **Μεταξὺ τῶν λέξεων** οὐδὲ **καὶ** πρὸς **εὕρηνται διαγεγραμμένα τάδε** γὰρ ἔχει νοῦν οἶμαι 3. **ἧς ἐκ τοῦ τὸ πρῶτον γραφέντος** οἷς 5. ἐπιλαβόμενοι **ἐκ τοῦ τὸ πρῶτον γραφέντος** ἐπιλαβώμενοι 10. ἐπανήκοντες **ἐκ τοῦ τὸ πρῶτον γραφέντος** ἐπανίκοντες 12. γινόμενα 14. τί 17. οὐδ' **ἐκ τοῦ τὸ πρῶτον γραφέντος** οὐδὲ 19. ἐπάγει **ἐκ τοῦ τὸ πρῶτον γραφέντος** ἀπάγει 20. οὕτωσὶ **μετ' ἄλλο** οὕτωσὶ **διαγεγραμμένον** 22. **πρὸ τῆς λέξεως νοῦ ἄλλο γράμμα διαγεγραμμένον** 23. ἢ **πρόςθετον ἄλλῃ χειρὶ ἄνωθεν**

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΦΙΛΟΣΟΦΙΑΣ ΕΛΛΗΝΙΚΗ ΦΙΛΟΛΟΓΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πίζειν καὶ ὅσαι ὧραι τοῦθ' ὅ τι ἂν ἐνδέχοιτο προσδοκᾶν. Ὁ μὲν οὖν παρὼν καιρὸς, ὦ μέγιστε βασιλεῦ, δακρύειν τε ἅμα καὶ φιλοσοφεῖν ἀναγκάζει, τοσοῦτον ἑκατέρου δεόμενος ὅσον καὶ ἑκάτερον ἀντίρροπόν τε ἅμα καὶ μεγίστην αὐτὸς παρέσχε ῥοπὴν, ξυμφορὰν
5 μὲν ἐς θρήνους, θρήνους δὲ αὖ ἐς τὸ φιλοσοφεῖν προστησάμενος.

Ἐγὼ δὲ οὐκ οἶδ' ὅπως χρήσομαι τῷ καιρῷ ἢ ὅπως ἐμαυτοῦ γενόμενος φιλοσοφήσω τὸ πάθος ἐξ οἰμωγῶν αὐτῶν καὶ δακρύων φέρειν διδάσκων τὴν ξυμφορὰν καὶ τοιούτοις πρὸς σὲ χρώμενος, βασιλεῦ, ἃ ἂν εἴ τις ἔλεγε νυνὶ πρὸς ἐμὲ, οὐ πάνυ με πειθόμενον
10 εἶχεν, οὕτως ἡττηθέντα τῷ πάθει τῆς ξυμφορᾶς. Πλὴν ἀλλὰ πειρατέον εἰπεῖν ὁπωσοῦν καὶ παραμυθητέον ὡς ὁ καιρὸς αὐτὸς ἀπαιτεῖ τήν τε σὴν ξυμπαθεστάτην ψυχὴν καὶ ὅσοι τῆς παρούσης ἥσθοντο ξυμφορᾶς· ἔστι δὲ ἄρ' οὐδεὶς, ὡς εἰπεῖν, ὃς οὐκ ἤλγησε τὴν ψυχὴν οὐδ' ὃς πηγάς τινας ἄλλας οὐκ ἀφῆκε δακρύων. Ἰδία
15 γὰρ αὕτη καὶ..... αὖθις ζημία πᾶσι νενόμισται.

Τὸ μὲν οὖν ἐπὶ τοῖς οἰχομένοις οἰμώζειν καὶ ἀνιᾶσθαι εὔλογον
φ.149α ἂν τῷ δόξειεν εἶναι καὶ φύσει τοῖς ἀνθρώποις προσεῖναι· || φιλανθρωπίας γὰρ ἴσως ἢ ξυμπαθείας ἤ τινος τῶν τοιούτων τεκμήριον γένοιτ' ἄν. Οἱ γοῦν πολλοὶ ξυμπαθεστέρους καλεῖν εἰώθεσαν οἱ
20 σφόδρα ἂν ᾤμωξαν καὶ ἐδάκρυσαν καὶ τοῖς νενομισμένοις πόρρω

2. (καὶ κατωτέρω πολλαχοῦ) τὲ 3. καὶ πρόσθετον νεωτέρᾳ χειρὶ ἄνωθεν 4. παρέσχε ἐκ τοῦ παρέσχες 7. φιλοσοφήσω οἰμωγῶν 9. Τὸ εἰ πρόσθετον νεωτέρᾳ χειρὶ ἄνωθεν 10 πάθει ἐκ τοῦ τὸ πρῶτον γραφέντος πάθη 15. Τὸ κενὸν ἕνεκα κηλῖδος μέλανος

16. Τἀπὸ τῶν λέξεων Τὸ μὲν οὖν - καὶ τῆς αὐτῆς ἀποδείξεως κρείττονι (σ. 64,18) αὐτολεξεὶ καὶ ἐν τῷ Παραμυθητικῷ πρὸς Κωνσταντῖνον (ἀνωτέρω σ. 11,1 - 25,15), τὰ δὲ μετὰ ταῦτα ὅμοια μετά τινων μεταβολῶν. Αἱ ἐν τῷ πρώτῳ τούτῳ μέρει (Ψ) μικρόταται ἀπὸ τοῦ Παραμυθητικοῦ (Ω) διαφοραὶ σημειοῦνται κατωτέρω. Ἐν δὲ τῇ ὥρᾳ τοῦ κώδικος ἐγράφησαν ἐνταῦθα χειρὶ τοῦ Κωνσταντίνου Λασκάρεως τάδε· Τὸ μὲν οὖν Ἐπὶ τοῖς οἰχομένοις ἀρχὴ τῆς παραμυθίας· μετὰ τὸ προοίμιον τοῦ ἄλλου λόγου ἀνάγνωθι ταῦτα, ἔπειτα ἐπάνελθε εἰς τὸν ἐπίλογον. Πρβλ. τὰς σημειώσεις ἀνωτέρω ἐν σ. 11. 18. ἢ τινὸς

20. σφόδρα Ψ: σφόδρ' Ω

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΠΛΩΜΑΤΙΚΗ ΕΠΙΤΡΟΠΗ ΑΛΕΞΑΝΔΡΟΥ ΜΑΝΩΛΕΣΚΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΛΑΣΚΑΡΕΩΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

παντὸς ἐχρήσαντο νόμου· οὓς δ' ἂν ἴδοιεν ἀδακρυτὶ τὴν ξυμφορὰν ἐνεγκόντας καὶ οἷον ἐπὶ τῷ πάθει φιλοσοφήσαντας ἐπεξέλθοιεν ἂν εὐηθείας καὶ ἀναισθήτους, οἶμαί γε, νομιοῦσιν. Ἐμοὶ δὲ παντελῶς ἄλογον ἔδοξεν εἶναι καὶ πόρρω φύσεως ἀνθρωπίνης. Τό γε γὰρ ἑαυτὸν κατατρύχειν τῇ χαλεπωτάτῃ πασῶν βασάνων μηδὲν ὅλως 5 ἐξ ἐκείνης χρηστὸν ἐλπίζοντα σφόδρα ἂν δόξειεν εὐήθες εἶναι, τό τε ἐφ' οἷς ἂν ἄλλως οὐχ οἷόν τε γενέσθαι μηδ' ἅπερ ἐφ' ἡμῖν ὄντα καὶ ἄλλως ἄν ποτε γένοιτο καταβοᾶν μὲν καὶ τύχης καὶ φύσεως, κόπτεσθαι δὲ μάτην καὶ ὀλοφύρεσθαι, μηδεμίαν ἐντεῦθεν προσδοκῶντα λύσιν δεινοῦ, μὴ ὅτι περ ἄτοπον, ἀλλ' οὐδὲ νοῦν ὅλως 10 ἔχον ἐστίν. Ἢ τί μᾶλλον εὔλογον, ὅτ' ᾤχετό τις οἰμώζειν τε καὶ δακρύειν, ἀλλ' οὐχὶ καὶ πρὶν ἐκεῖνο ξυμβέβηκε, μᾶλλον δ' ἐξ οὗ γέγονεν ὁ μηδαμῶς ἐκεῖνο φευξούμενος; Οὐδὲ γὰρ πλέον τι τὸν φόβον ἔχειν ἔδει τῆς λύπης πλὴν εἰ μὴ τὰ ἐξ ἀνάγκης ἀγνοεῖν ὅλως ὁμολογήσαιμεν. Εἰ δὴ οὖν οὗτος ἑκάστῳ παρασταίη λογι- 15 σμὸς, ὅτι περ αὐτὸς ἢ ὁ προσήκων οἰχήσεται καὶ διὰ ταῦτα λυπητέον ἐστὶ, τί γε ἄλλο πρὸς θεοῦ λοιπὸν ἐν τῷ βίῳ ἢ τὸ δακρύειν δήπου καὶ μηδέποτε τῆς λύπης ἀφίστασθαι; ἢ τῷ τραγικῆς σκηνῆς ἡμῖν ὁ βίος ὅλος διέστηκεν, τὸ μακάριον δὲ ποῦ καὶ οὗ ἕνεκα τὴν φύσιν φιλοσοφοῦμεν ἐργάζεσθαι; Οἶμαι δὲ ἡμᾶς ἐντεῦθεν 20 καὶ γένεσιν ἀναιρεῖν, εἰ μὴ λελήσμεθα καθ' ἡμῶν αὐτῶν καὶ γάμους ποιοῦντες καὶ ὑμεναίους ᾄδοντες καὶ παῖδας ἐκεῖθεν ἔσεσθαι φανταζόμενοι ἢ καὶ εἰς φῶς ἥκοντας ἐπὶ χρησταῖς ἐλπίσι καὶ τρέφοντες καὶ παιδεύοντες. Γενέσεως δὲ ἀνθρώπων μὴ οὔσης,

2. φιλοσοφήσαντας κατὰ διόρθωσιν δευτέρας χειρὸς ἐκ τοῦ τὸ πρῶτον γραφέντος φιλοσοφίσαντας 3. οἶμαι 5. κατατρύχειν ἐκ τοῦ τὸ πρῶτον γραφέντος κατατρέχειν βασάνων Ψ: βασάνῳ Ω μηδὲν ἐκ τοῦ μὴδὲν 7. μὴδ' 9. μηδεμίαν ἐκ τοῦ μὴδεμίαν 13. (καὶ κατωτέρω πανταχοῦ) τί 14. ἐξανάγκης 16. διταῦτα ἐκ τοῦ τὸ πρῶτον γραφέντος διοαῦτα 17. ἐστὶ ἐκ τοῦ ἐστὶν λοιπὸν ἐκ τοῦ λοοπὸν 19. διέστηκεν Ψ: διέστηκε Ω

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

φ.149ᵉ σχολῇ γ' ἂν ἄλλο τι τῶν ὄντων ὑπάρξοι, εἰ τἆλλά γε || πάντα ἐκείνης οὕνεκα· οὔ τί ἄν τις ἀναπλάσαι δυνήσαιτο πλασματωδέστερόν τε καὶ ἀτοπώτερον; Ἡδέως δ' ἂν ἐροίμην τοὺς ὅτε ᾤχετό τις θρηνοῦντάς τε καὶ δακρύοντας πότερ', ὅτι τεθνήξεται προειδότες ἢ τότε πρῶτον μαθόντες ἀξιοῦσι δακρύειν; Εἰ μὲν γὰρ προειδότες, τί μὴ καὶ τότε θρηνοῦντες ἐτύγχανον; Τὸ γὰρ ἐν προςδοκίᾳ δεινὸν τοιοῦτον ὡς εἰ παρῆν, ἵνα μὴ λέγω δεινότερον. Εἰ δ' οὐκ εἰδότες, τί μαθόντες αὖ πάλιν τοῦ πάθους ἀφίστανται; Ἐχρῆν γὰρ μηδέποτε πάντως, εἰ διὰ τὸ μὴ μαθεῖν οὐκ ἐδάκρυον, πλὴν εἰ μὴ τὸν χρόνον αἰτιῷτό τις, ὅτι λήθης γε αἴτιος. Ἀλλ' οὐκ εὔλογον· εἰ γὰρ ἃ καλῶς εἶχε ποιεῖν δυναμένῳ, ταῦτα τῷ χρόνῳ παραχωρήσοι τις, οὐχὶ σφόδρα γε εὔηθες; Καὶ μήν, εἰ μὲν ἀνθρώπῳ μόνον ἐνῆν τὸ λυπεῖσθαι, φιλάνθρωπον ἴσως ἂν ἦν τὸ περὶ τοὺς οἰχομένους δακρύειν. Ἐπεὶ δὲ καὶ ἄλλοις λύπη παρὰ τὸν ἄνθρωπον, οὔτ' οἰκεῖον ἐκείνῳ γε τὸ λυπεῖσθαι, οὔτε παρὰ τοῦτο πώποτε φιλάνθρωπον εἴη γ' ἄν τι πεποιηκώς· ἄλλοις γὰρ ἂν μᾶλλον, οὐ τῷ λυπεῖσθαι δεικνύοιτ' ἂν τὸ φιλάνθρωπον. Ἀλλὰ μὴν οἰκειότερον ἀνθρώπῳ λύπης κατακρατεῖν καὶ τῶν ἀλόγων ἄλλων παθῶν ἢ τούτων ἥσσω γενόμενον ἔξω λόγου παντὸς, ἴσον δ' εἰπεῖν ἑαυτοῦ καὶ τῆς οἰκείας φύσεως φέρεσθαι. Ἔσται γὰρ οἷον εἰ τὸν ἀμείνω δοριάλωτον ὁ χείρων ἄγοι λαβὼν ἢ ὁ δοῦλος δεσπότην. Χωρὶς δὲ τούτων, εἰ τῶν ἀλόγων ἡ λύπη κἀκείνοις πά-

1. ἄλλό τἆλλά ἔγραψα: τ'ἄλλα 3. ὅτε Ψ: ὅτ' Ω
4. θρηνοῦντας τὲ πότερ' ὅτι Ω: πότερόν τι Ψ 7. ὡς εἰ παρῆν
9. μὴδέποτε 10. ἀντὶ τοῦ αἰτιῶτο εἶχεν ἀρχίσει γράφων αἰτιᾶ γε προςέθηκα ἐκ τοῦ Ω: λείπει Ψ 13. φίλάνον διαγραφέντος εἶτα τοῦ πρώτου τόνου 16. Τὸ πώποτε φέρει καὶ δευτέραν ὀξεῖαν μετὰ τὸ ω διαγεγραμμένην πεποιηκῶς 17. δεικνύειτ'
18. ἀλόγων ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀλλόγων 19. Τοῦ τούτων προηγεῖται τῶν διαγεγραμμένον 21. δορυάλωτον χεῖρον ὁ δοῦλος Ψ: εἰ δοῦλος Ω

ΕΡΓΑΣΤΗΡΙΟ ΕΚΔΟΣΕΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΑΠΑΓΙΑΝΝΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

λαι τοῖς σοφωτέροις ξυγκατηρίθμητο, οὐκ ἔστι δ' ὅπως ποτὲ τὰ τοιαῦτα γένοιτ' ἂν ἢ τοιαῦτά γε λογικά, οὐκ ἂν οἰκεῖον ἀνθρώπῳ λεχθείη γ' ἂν τὸ λυπεῖσθαι οὐδὲ λόγῳ ποτὲ χρωμένοις ἢ τοιούτοις προσεῖναι, ἕως ἂν ἕκαστον κατὰ χώραν ἰδίαν ἑστήξοι τῶν ὄντων καὶ τῆς οἰκείας φύσεως οὐκ ἐκσταίη. 5

Θαυμάζω δὲ, εἰ τῶν ὅσα μὲν παρ' αὐτὰ πρόσεστιν ἀνθρώποις ἐξ ἀνάγκης, ἵν' ὦσιν, καὶ ὅπως σφίσιν αὐτοῖς ἡ περὶ λόγον ἐνέργεια γένοιτ' ἂν, ὅθεν τε τὸ εὖ εἶναι καὶ τὸ μακάριον δήπου περίεστι, μηδὲν οἰκεῖον ἀνθρώπῳ, μηδὲ λόγου μηδενὶ μετεῖναι, κἂν ἐξ ἀνάγκης προσῇ κἂν ὑπουργῇ πως τῷ λόγῳ, νομίζομεν. 10 Ταυτὶ δὲ αὐτίκα μάλα λόγῳ τιμήσομέν τε καὶ περιάψομεν ἀν- φ.150α
θρώπῳ μηδὲν ἐκείνῳ προσήκοντα, καὶ ταῦτα || πόρρω τὸ εὖ εἶναι καὶ τὴν εὐδαιμονίαν διώκοντα. Οὔκουν νομιστέον ἀνθρώπῳ ταῦτα οἰκεῖα, οὐδ' ἡντινοῦν αὐτοῖς μετουσίαν εἶναι τοῦ λογικοῦ, εἰ μὴ ὅσα γε πειθαρχεῖ τῷ λόγῳ, καὶ μᾶλλον εἰ μὴ πραχθείη ἢ ἁμωσ- 15 γέπως ἀνθρώπῳ γένοιτο· εἶεν.

Εἰ δὲ ἐξ ἀνάγκης ἄνθρωπος θνήσκει καὶ θανὼν ὅ τι μεγίστων κακῶν ἀπαλλάττεται ἢ καὶ τὸ μακάριον τέλος ἐκεῖνο, τὴν εὐδαιμονίαν, κομίζεται, τί μᾶλλον λυπητέον, ἀλλ' οὐκ οἰστέον ἢ τί δακρυτέον, ἀλλ' οὐ πανηγυριστέον, εἴ γε μὴ μέλλοιμεν ἐκείνῳ 20 δόξειν φθονεῖν τῶν ἀπαντησαμένων χρηστῶν καὶ ὅσα οἱ τῶν ἀγαθῶν προσεγένετο;

Ὁ γὰρ ἄνθρωπος ἔστι μὲν οὐ τῶν ἁπλῶν καὶ αὐτὸς, οὐδ' ὅσα τῶν ἐνιαίων ἁπλῶς ὄντα τὴν σφῶν αὐτῶν οὐχ ὑπομένει διάζευξιν,

1. σοφοτέροις ξυγκατηρήθμητο ἐκ τοῦ τὸ πρῶτον γραφέντος ξυγκατηρίθμητο ὁπώσπρτε 2. τοιαῦτα γε 3. ἢ Ω: ἢ Ψ 4. καταχῶραν ἰδυίαν ἑστήξοι Ω: ἑστήξει Ψ 7. ὦσιν Ψ: ὦσι Ω 8. γένοιτ' Ψ: γίνοιτ' Ω 9. περίεστι Ω: ἀφανὲς Ψ μηδὲ οἰκεῖον Ω: οἰκείω Ψ 15-16. ἅμως γέ πως 17. δὲ Ψ: δ' Ω ἐξανάγκης 18. τὸ Ω: λείπει Ψ 18-19. ἐκεῖνο τὴν εὐδαιμονίαν κομίζεται Ψ: ἐκεῖνο κομίζεται τὴν εὐδαιμονίαν Ω 22. προσεγένετο Ψ καὶ κώδικες ΝΠΒ τοῦ Ω: προεγίνετο Α τοῦ Ω 23. ἔστι

ΕΠΑΣΚ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΠΛΩΜΑΤΗΣ ΑΓΙΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἀλλ' ὅσα τῶν τῆς ὑλαίας δυάδος ὅρων ἔσω γινόμενα τοῦτο μὲν οἷς τὴν ἀρχὴν ξυνετέθη τὴν διάλυσιν εἴωθε πάσχειν, τοῦτο δ' οἷς τὰ ἀντικείμενα γέγονε τὴν ἀπ' ἀλλήλων ὑφίσταται φύσει τῶν ἐναντίων διάστασιν. Βίᾳ τε γὰρ ἐς γένεσιν ὁτιοῦν ἅπαν ἐλαυνόμενον τῶν ἐναντίων χωρεῖ, αὐτά τε ταῦτα ἀλλήλοις ξυνόντα οὐκ ἔστιν ὅτε σφίσιν αὐτοῖς μαχόμενα παύεται, οὐδ' ἀλλήλων ἥσσω γινόμενα ταῖς μάχαις οὐ περιγίγνεται. Ξυνὸς ἐνυάλιος ἐκεῖνος τῷ ὄντι καὶ τὸν κτανέοντα κατακτάς. Διὸ φθαρὲν πᾶν ὅ τι ἂν εἴποι τις τῶν ξυγκειμένων ἐκποδὼν γενόμενον οἴχεται, καὶ γίγνεται τῶν μαχομένων ἐκχειρία τις, μᾶλλον δὲ λάφυρόν τι καὶ ἀριστεῖον ἡ τοῦ ξυνθέτου φθορά. Οἷς γὰρ αὐτὸ μὲν οὐκ ἔστιν, εἰ μὴ ξυνεῖεν ἀλλήλοις ὁποιοιστισινοῦν δεσμοῖς, οὓς οἶδεν ἡ φύσις, τὰ ἀντικείμενα· πῶς γὰρ αὐτό τι ἂν εἴη, τῶν μορίων διεστηκότων, οἷς ὅλῳ τε αὐτῷ εἶναι καὶ ἁπλῶς εἶναι περίεστιν· αὐτὰ δὲ σφίσι μαχόμενα τὴν σὺν ἀλλήλοις οὐ φέρει δίαιταν, ἀλλ' ἔργον ἑκάστῳ τοῦ πολεμίου πεσόντος ἑστήξειν αὐτίκα μάλα χωρὶς, ὁ πρὸς ἄλληλα δήπου τῶν ἐναντίων πόλεμος ἀπώλεια ἂν εἴη τοῦ ξυγκειμένου, τό τε μηκέτ' εἶναι τὸ ξύνθετον, οἷον ἀνακωχαί τινες εἰκότως καὶ λάφυρα τῶν ἐναντίων νομίζοιτ' ἄν. Οὐ μὴν ἀλλ' εἰ δυοῖν ὄντοιν, εἴδους μέν, ἵν' εἴη τὸ ξύνθετον, ὕλης δ' αὖ πάλιν, ἵνα τὸ εἶδος ὑπάρχῃ, καθάπερ ἀνάγκη χαλκὸν εἶναι καὶ ξύλον, ἵν' εἴη κλίνη καὶ ἀνδριάς, οὐκ ἔστιν ὅπως ἂν ὑφ' ἓν εἶδος θάτερον σταίη τὸ ὑποκείμενον, οὐδ' ἠρεμήσει μένον πρὸς ὃ κεκίνηται, ἀλλὰ πρὸς ἅπαντα πεφυκὸς παρὰ μέρος ἐς ἕκαστον φέρεται τῷ μὴ πάνθ' ἅμα τῶν ὄντων ἔχειν

φ.150ᵃ

1. γινόμενα Ψ: γενόμενα Ω 3. ἀπαλλήλων ὑφίσταται Ψ: ὑφίστασθαι Ο 5. αὐτᾶ 6. ἥσσονα Ω: ἧσσα Ψ 7-8. τῶόντι 8. πᾶν Ψ: ἅπαν Ω (καὶ 10) τὶς 9. ἐκποδῶν 10. λαφυρόν ἡ Ω: ἢ Ψ 11. φθορᾶ 12. ὁποίοιστισῖνοῦν 14. αὐτῶ περίἐστῖν 15. συναλλήλοις 16. ἑστήξειν Ω: ἑστήξειν Ψ αὐτίκα 17. ἀπόλει 19. ἐναντίων Ψ: πολεμίων Ω εἴδους 20. καθάπερ καθάπερ 21. ἀνδριὰς ἐκ τοῦ ἀνδριᾶς 23. ἠρεμήσει 24. τῷ Ω: τὸ Ψ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΑΠΟΣΤΟΛΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΑΠΑΔΗΤΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

λαβεῖν, πῶς ἂν εἴη τι φθοράν τε καὶ τὸ μηκέτ' εἶναι τῶν ξυγκειμένων ἐκπεφευγός; ἢ πῶς οὐκ ὀλίγον ἐντεῦθεν γενόμενον χρόνον καὶ οἷον μόνον φανὲν ἔπειτ' ἐξαίφνης οἰχήσεται; Πάντα μὲν γὰρ ἡ ἐν ἑκάστῳ ὕλη τὰ ὄντα τῷ πεφυκέναι δέχεσθαι πάντα, οὐδὲν δὲ ὅμως αὖ πάλιν τῶν ὄντων οὐ τῷ μηδὲν εἶναι μόνον ἐκείνων ὅσα γε τῶν ὄντων ἐστίν, ἀλλὰ καὶ τῷ μὴ πάνθ' ἅμα δύνασθαι κατ' ἐντελέχειαν εἶναι. Οὐδὲ γὰρ ἡ αὐτὴ καὶ μία τῷ ἀριθμῷ, οὐδ' ἐν αὐτῷ τῷ νῦν τοῦ χρόνου τῷ ἀμερεῖ, ἵππος ἅμα καὶ ἄνθρωπος εἴη γ' ἂν, πολλοῦ γε καὶ δεῖ, ὅπου γε μεταξὺ τούτοιν οὐκ ὀλίγα τὰ ὄντα, δι' ὧν ἥξειν ἀνάγκη τὴν ὕλην, γενέσει τε ἅμα καὶ φθορᾷ μεταβάλλουσαν, εἰ ἐξ ἀνθρώπου ἵππος ἢ τὸ ἀνάπαλιν γένοιτο.

Χωρὶς δὲ ἐκείνων, ποῦ θήσει τις τὰς ἐναντίας τῶν ὄντων ποιότητας; Ἄλλαι γὰρ ἄλλοις ἐξ ἀνάγκης περὶ τὴν σφῶν αὐτῶν γένεσιν· ξυνεῖναι δ' οὖν τὰς τοιαύτας ἀλλήλαις οὐ τῇ πείρᾳ μόνον, ἀλλὰ καὶ τῷ λόγῳ πάντως ἀμήχανον. Πῶς οὖν ἅμα πῦρ τε καὶ ὕδωρ ἢ ὅλως ἵππος καὶ ἄνθρωπος; Διὸ δὴ καὶ ὁρᾶν ἔξεστι πρὸς ὁτιοῦν φερομένην τὴν ὕλην, καὶ ὁ μὲν εἶχε τῶν ὄντων αὐτίκα μάλα προϊεμένην, οὗ δ' ἂν οὐ πολλῷ χρόνῳ πάλιν αὖθις ἐκσταίη καὶ πόρρω γένοιτο, τοῦτ' ἔπειτα σφόδρ' ἐπειγομένην λαβεῖν καὶ ὥςπερ ἂν εἰ χωρὶς ἐκείνου μηδέποτε γένοιτο. Οὔκουν οὔτ' ἄνθρωπος ἄνευ ἀνάγκης οὔτ' ἄλλο τῶν ὄντων οὐδὲν φθειρόμενον οἴχεται. Πόθεν, εἴ γε φύσει πᾶν ὁτιοῦν ξυγκείμενον διαλύεται, οὐδ' ἡμᾶς ἐφ' οἷς οὐκ ἔστιν ὅπως ἄλλως ἂν γένοιτο χρεὼν ἄχθεσθαί τε καὶ ὀλοφύρεσθαι καὶ πηγὰς ἄλλας μυθώδεις ἀφιέναι ‖ δακρύων· ὥςπερ φ.151α ἐνίους εἶδον πολλάκις ἐγὼ καταχρωμένους τοῖς πάθεσι καὶ ὅλους

1. μὴκέτ' 3. ἔπειτ' ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἔπειτα ἐξέφνης 5. μὴδὲν 8. ἵππος 10. φθορὰν 12. τὶς 13. ἐξανάγκης 14. τοιαῦτας πεῖρα 15. πάντος 17. ὁ 20. μὴδέποτε 22. οὔθ' ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἄθ' 23. ἄχθεσθαί τε Ψ: ἄχθεσθαί τε καὶ χαλεπαίνειν, μᾶλλον δὲ κόπτεσθαί τε Ω

ΔΙΕΡΓΑΣΙΑ ΨΗΦΙΟΠΟΙΗΣΗΣ ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΕΠΙΤΡΟΠΗ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΕΠΙΜΕΛΕΙΑ: ΦΙΛΟΛΟΓΟΣ ΔΗΜΗΤΡΙΟΣ ΚΑΤΣΙΜΑΝΗΣ ΕΠΙΒΛΕΨΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΑΠΑΔΗΜΗΤΡΙΟΥ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

γενομένους ἐκείνων ἔξω λόγου παντὸς καὶ τῆς σφῶν αὐτῶν ἀξίας καὶ φύσεως φέρεσθαι.

Καὶ μήν, εἰ μὲν ἄνθρωπος ὥς γε τἆλλα τῶν ὄντων οὐκέτ' ἦν αὐτίκα φθειρόμενος ἢ μηδεμία μηχανὴ δή που οὐδ' αὖ ἐλπὶς ὅπως ἂν πάλιν ἔσοιτο κατελείπετο, οὐδ' οὕτως ἂν ἦν ἡμῖν λυπητέα, οὐδὲ δακρυτέα πόρρω τοῦ λόγου, ἀλλ' ὅσα μὴ γελᾶν ἔχοντες μηδ' ἡδονῇ χρώμενοι ποιεῖν ὅσα ἂν ἐθέλουσι χαίροντες, ἠγαπῶμεν ἂν φύσει καὶ ὅσα περ οὐκ ἄλλως ἄν ποτε γένοιτο, φιλοσοφίᾳ τε ἐχρώμεθα ἂν, μή ποτε φαύλως ὑπαχθῆναι καὶ ἀρχαϊκῶς φύσει δόξωμεν δεδιότες μηδὲ φανῶμεν τῆς ἡμετέρας ἀξίας ἀμηγέπη χείρους γενόμενοι. Ἐπειδὴ δὲ θανὼν ἔτι ζῇ καὶ μόνον αὐτῷ διάλυσις γέγονε, μένει δ' ἔτι ψυχὴ καὶ μοίρας τετύχηκε κρείττονος, λόγος τε οὐδεὶς οὕτω πιθανὸς, οὐδ' ὃν ἐχάλκευσεν ὁ Περίπατος, ὥςτε ῥᾳδίως αὐτῷ πεισθέντας νομίσαι τοὺς ἡμετέρους μὴ οὐχὶ πάλιν αὖ θεοῦ δυνάμει καὶ χάριτι καὶ θανόντα ποτὲ τὸν ἄνθρωπον ἀναστήσεσθαι, θρηνήσομέν τε πόρρω τοῦ μέτρου καὶ ξυναυλίας ἄλλοτε ἄλλας ὀλοφυρόμενοι καὶ δακρύοντες ξυστησόμεθα;

Καὶ πῶς εὖ φρονεῖν δόξομεν ἢ πῶς ἡμῶν αὐτῶν καὶ τῆς ἡμετέρας δόξης καὶ πίστεως ἄξιά ποτε, φαίην δ' ἂν καὶ ξυνῳδὰ, ποιησόμεθα, ἢ πῶς ἂν οὐκ ἄτοποι νομισθείημεν, εἰ δι' ὃν ὅτι τέθνηκε πενθεῖν ἀξιοῦμεν, τοῦτον ὅτι ζῇ θρηνήσομέν τε καὶ ἀνοιμώξομεν; Καὶ μὲν δὴ καὶ εἴ τις ἐθελήσοι σκοπεῖν ὅσα πρόςεστι τοῖς ἔτι περιοῦσιν ἀνιαρὰ, εἰκότως ἂν οἶμαι μακάριον ἐρεῖν καὶ

3. τ'ἄλλα οὐκέτ' Ω: οὐκ ἔτ' Ψ 4. μηχανὴ Ω: μηχανῆ Ψ
5 ἦν πρόςθετον ἐν τῇ ᾧᾳ διὰ παραπεμπτικοῦ σημείου ʌ Ψ: λείπει Ω
6. μη 7. μὴδ' 9 ὑπαχθῆναι (διαγεγραμμένον) ἂν φύσει Ω: λείπει Ψ 10. δεδιώτες μὴδὲ ἀμηγέπη
11. ἐπειδὴ Ω: ἐπεὶ Ψ 14. πεισθέντας ἐκ τοῦ πϊσθέντας αὖ Ψ: αὖθις Ω 15-16. ἀναστήσεσθαι Ω: ἀνασθήσεσθαι Ψ
17. δακρύοντας 19. ξυνοδὰ 20. ἂν Ω: οὐκ ἂν Ψ
23. ἀνιαρὰ Ω: ἀνιαρᾶ ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀνιαρῶς Ψ

ΕΠΕΤΗΡΙΣ ΙΔΡΥΜΑ ΙΩΑΝΝΟΥ ΚΑΙ ΑΣΠΑΣΙΑΣ ΚΟΝΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΤΟΜΕΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΜΕΤΟΜΝΗΣΙΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Θ. ΠΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

εὐδαίμονα τὸν οὕτω πολλῶν τε καὶ μεγάλων ἀπαλλαγέντα δεινῶν. Τί γὰρ ἐν βίῳ πρὸς θεοῦ τῶν ἡδέων ἢ τί τῶν ὄντων πέφυκε παραμένειν; Ἐγὼ μὲν οἶμαι τὸν βίον οὐ πολλῷ τραγικῆς διεστηκέναι σκηνῆς, οὐδ' ὅσα μίαν ‖ ἡμέραν ἤνθησέ τε ἅμα καὶ κατερρύη. φ 151ᵉ
Εἰ δέ τῳ μὴ γνώριμα λέγομεν, τὴν ἀρχὴν μὲν ἄτοπον, εἰ πληττόμενος ὅλως τις οὐκ αἰσθάνεται, ἔπειτα θαυμαστὸν ἄγαν, εἰ μὴ πεῖρᾳ τὸν βίον ἐγνώκει τις λυπηρόν· ἤτοι γὰρ ἀναισθησίαις φευξεῖται ἢ μέτρον ὑπάρξεως οὐκ εἶχε τὸν χρόνον.

Ἀγνοήσει τοίνυν οὐδείς, οἶμαι, τῶν νοῦν ἐχόντων οἷος ὁ παρὼν βίος καὶ οἷα τὰ ἐν αὐτῷ πάντα, ὡς ἄστατα δῆλα δὴ καὶ οὐ βέβαια. Ἀλλ' αὐτίκα πάνθ' ὁντινοῦν, εἰ μὲν τῶν σοφωτέρων εἴη καὶ ὅσοι τῶν ὁρωμένων ἕτερα μείζω καὶ τελεώτερα προσδοκῶσι, καταγελᾶν ὅ τι μάλιστα βίου καὶ ὅσα περ ἐν αὐτῷ δυςχερῆ τε ἅμα καὶ ἡδέα δοκεῖ· μυρία δὲ ἄρα δεινῶν ξυμβαίνει κατὰ τὸν βίον καὶ σχεδὸν ἀνάγκη τούτων αἰεί τι παρεῖναι, χρόνος τε οὐκ ἔστιν οὐδείς, ἐν ᾧ μηδὲν ἀνθρώπῳ δύςκολον ἀπαντᾷ· εἰ δ' αὖ τῶν πολλῶν καὶ ὅσοι μάλιστα συζῶσιν αἰσθήσει, τῷ δέει κατεπτηχέναι τὸν βίον καὶ ὥςπερ τινὰ δεσπότην ἄλλον καὶ τύραννον ἰταμώτατον δεδιέναι καὶ τὰς ἐκ τούτου τύχας τε καὶ συστροφάς. Βέβηκε γὰρ ὁ βίος ἐπ' οὐδενὸς ἀσφαλοῦς, ἄνω δὲ καὶ κάτω φερόμενος καὶ νῦν μὲν ἐς εὐτυχίαν ἄγειν δοκῶν, νῦν δ' ἄλλους αὖ ποιούμενος ἀνευδαίμονας, ἔστι δὲ οὗ τοὺς αὐτοὺς ἀνάγων τε καὶ κατάγων, κύκλος τις εἶναι δοκεῖ τῷ λόγῳ στρεφόμενος· καὶ πέπλασται δὲ τοιοῦτος τοῖς γράφουσιν. Αὐτὸς δὲ πολλάκις καὶ πρὸς παῖδα παίζοντα τὸν

2. γὰρ Ω: λείπει Ψ 4. ἤνθησέ εἶχε τὸ πρῶτον ὀξεῖαν ἐπὶ τοῦ ἡ διαγραφεῖσαν 5. δὲ τῷ τηναρχὴν 6. τίς 7. πεῖρα τίς 8. φευξῆται 9. οὐδεὶς ἐκ τοῦ τὸ πρῶτον γραφέντος οὐδεῖς 10. ὡς Ω: καὶ Ψ δηλαδὴ 11. πᾶνθ' ὁντινοῦν Ω: ὁτινοῦν Ψ σοφοτέρων 13. ἐν Ω: λείπει Ψ 16 μὴδὲν 17 συζῶσιν ἐκ τοῦ τὸ πρῶτον γραφέντος συζῆν 18. ὥςπέρ τινα 19. συστροφὰς Ψ: στροφὰς Ω 23. τίς 24. παίζοντα ἐκ τοῦ τὸ πρῶτον γραφέντος παῖζοντα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΕΡΙΟΔΙΚΟ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΑΔΗΣΗ ΤΗΣ ΚΩΣΤΑΝΤΙΝΟΥ Ο. ΠΑΤΣΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

βίον ἀντεξετάζω. Ὡς γὰρ ἐκεῖνος οὐδενὶ λόγῳ φερόμενος οὐδὲ πρὸς οὐδὲν τέλος οὐδὲ σκοπὸν ἀφορῶν οἰκοδομεῖ τε καὶ αὖ πάλιν ὅπερ ᾠκοδόμησε καθαιρεῖ, οὕτωσὶ δὲ καὶ ὁ παντὸς οὑτινοσοῦν παιδὸς εὐηθέστερος βίος τῶν περὶ ἡμᾶς ἁπάντων οἰκοδόμος τε ὁ
5 αὐτὸς καὶ καταλύτης ἐστίν, ἑκατέρων αὐτὸς ὢν δεσπότης καὶ
φ.152ᵃ πρύτανις τῶν ἐκ || τῆς τύχης ἡδέων καὶ μή. Τί οὖν ἂν πάθοι δεινὸν ὁ τῆς παιδιᾶς τοῦ βίου καὶ τῶν ἐκ τύχης ἀθυρμάτων ἀπαλλαγεὶς ἢ πῶς ὁ θάνατος, τοσούτων κακῶν ἀπαλλάττων ἀνθρώπους, οὐκ ἂν εἰκότως εὐεργέτης τις αὐτῶν νομισθείη; Οὐδὲ γὰρ δίκαιον
10 ὅλως, οὐδ' ἐχρῆν αἰεὶ τῷ βίῳ τὸν ἄνθρωπον παίζεσθαι, οὐδ' ἐν οὕτω δεινῷ πελάγει καὶ κλυδωνίῳ χειμάζεσθαι. Ἢ γὰρ ἂν ἓν οὐδὲν ἦν ἀνθρώπου τῶν ὄντων ἀνευδαιμονέστερόν τε καὶ δυστυχέστερον.

Ἄνευ δὲ τῶν εἰρημένων, εἴ τις ἀκριβῶς ἐξετάζειν ἐθελήσοι
15 τὸν βίον, δίκαιος λογιστὴς τῶν παρ' αὐτοῦ δοκούντων ἡδέων τε ἅμα καὶ ἀλγεινῶν ἡμῖν καταστάς, εὑρήσει τῶν ἡδέων μὲν οὐ πολλὰ οὐδ' ἄμικτα καὶ αὐτὰ κἀκεῖνο μόνον ἔχοντα πάντως ὅθεν αὐτοῖς γε καὶ τοὔνομα, ἀλλ' ἤτοι μεμιγμένα τοῖς ἀλγεινοῖς ἢ πραγμάτων ἀρχὴν καὶ κακῶν ἑτέρων ὑπόθεσιν. Ὁ γὰρ ἐκεχειρία
20 τοῖς μαχομένοις, παρασκευὴ δῆλα δὴ πολέμου καὶ πραγμάτων ἄλλων μειζόνων ἀρχή, τοῦτο πᾶν ὁτιοῦν οἶμαι τῶν ἐν τῷ βίῳ χρηστῶν, εἰ δὴ χρηστόν γε λεκτέον παρ' εὖ φρονοῦσιν ὁ κακοῦ τινος αἴτιον. Ἀπόχρη γὰρ ἐνίους μόνους τούς γε πολλοὺς παρασύρεσθαι γοητείᾳ τινὶ τῶν περὶ τὸν βίον σεσυλημένους, οἶμαι,
25 τὰς φρένας καὶ τὸ λογίζεσθαι· ἀνδρῶν δὲ νοῦν ἐχόντων ἐκεῖνο μόνον ἡγεῖσθαι χρηστὸν, ὅπερ ἐθέλει τοιοῦτον οὐκ αἰσθήσει μᾶλλον ἢ λόγῳ κεκρίσθαι καὶ ὅ γε τέλος ἢ 'κείνου ἕνεκα.

3. οὑτινοσοῦν 7. παιδιᾶς Ω: παιδείας Ψ ἀθηρμάτων ἀπαλαγεὶς 16. ἡδέων 17. καὶ αὐτὰ προσέθηκα ἐκ τοῦ Ω: λείπουσι Ψ 18. ἤτοι Ω: εἴ τι Ψ 20. παρασκευῆ δηλαδῆ 26. ἐθέλει Ψ: ἐθέλοι Ω 27. κεκρῆσθαι

ΕΡΕΥΝΗΤΙΚΟ ΚΕΝΤΡΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΤΑΘΗΜΙΑΚΗ ΦΙΛΟΣΟΦΙΑ ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΕΠΙΤΡΟΠΗ ΜΕΛΕΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Ο. ΠΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Τῶν ἡδέων μὲν οὖν, ὅπερ ἔλεγον, οὐ πολλὰ ἂν ὁ τὸν βίον ἐξετάζων εὑρήσοι, οὐδ' ὅσα μόνον ἡδέα ὄντα τῶν οὐ τοιούτων ὅλως ἀπήλλακται· ἐσμοῖς δὲ ὅλοις δεινῶν καὶ σμήνεσί τισι δυς-χερῶν μυρίοις ἐντεύξεται. *Μυρία γὰρ κατὰ τὸν εἰπόντα δεινὰ κατ' ἀνθρώπους ἀλάληται· | πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ* 5 *θάλασσα, | νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ ἠδ' ἐπὶ νυκτὶ | αὐτόματοι φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι | σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα Ζεύς.*

|| Εἰ δὲ μὴ πάρεργον ἦν ἢ τοῦ καιροῦ πως ἔξω φερόμενον, φ.152ᵃ κατέλεξα ἂν ἡδέως οὐκ ὀλίγα τῶν ὅσοις ἐντυγχάνομεν ἐν βίῳ δει- 10 νοῖς· πάντα γὰρ ἀριθμῆσαι καὶ πέρας εὑρεῖν τἀριθμῷ ἀμήχανον οἶμαι καὶ λόγῳ καὶ μέλανι. Πλὴν ἀλλ' ἐκεῖνο χρὴ παρ' ὅλον τὸν λόγον ἀναπερμπάζεσθαί τε καὶ θεωρεῖν, ὡς οὐ δι' αὐτόν τι χρῆμα ὁ βίος οὐδὲ τἆλλα πάντα γε τούτου ἕνεκεν, ἀλλ' ἔστιν οἷον ἡ νό- σος ἐς τὴν ὑγίειαν ἢ, εἰ βούλει, μᾶλλον οἷον τὸ φαρμάκοις χρῆ- 15 σθαι πρὸς τὴν αὐτήν Ἀμέλει καὶ εἰ χρυσοῦ χωνευτήριον τόπος τε ἀγώνων καὶ θέατρον καὶ πλοῖον καὶ τὰ τοιαῦτα [καλοῖτο, οὐ πόρρω τῆς αὐτοῦ φύσεως σχοίη γ' ἂν τὰ τοιαῦτα] τῶν ὀνομάτων. Οὐ δι' αὐτὰ γὰρ κἀκεῖνα, ἀλλὰ τῷ μὲν δόκιμος εἰ τύχοι χρυσὸς, τῷ δὲ κότινος, τῷ δ' αὖ λιμὴν, ἐκτήθη καὶ τὸ σεσῶσθαι. Ὥςπερ 20 οὖν τῶν ἡδέων ἓν οὐδὲν ἐν ἐκείνοις, οὐδ' ὧν ἄν τις ἕλοιτο δι' αὐτά, εἰ μὴ ὅσα γε πρός τι τῶν εἰρημένων πεπέρασται, οὕτως οὐδ' ἐν τῷ βίῳ τῶν ὄντων οὐδὲν ὅπερ ἔξω τοῦ χοροῦ τῶν δυςχερῶν δι-

1. ἡδέων 2. ἡδέα 3. σμήνεσι τισὶ 5. ἀλάληται 6. ἡδ' 7. φυτῶσι 9. φερόμενον ἐκ τοῦ φερόμενος 10. ἡδέως 11. τ'ἀριθμῶ 12. χρῆ 13 δι' αὐτὸν οἱ κώδικες ΠΒΑ τοῦ Ω: διαυτὸν Ψ 14. τ'ἄλλα 15. ὑγείαν φαρμάκοις ἐκ τοῦ τὸ πρῶτον γραφέντος φάρμακον 16. εἰ Ω: λείπει Ψ 17. πλοῖον ἔγραψα: πλοῖς ΨΩ 17-18. καλοῖτο—τὰ τοιαῦτα προςέθηκα ἐκ τοῦ Ω: λείπουσι Ψ 19 αὐτὰ οἱ κώδικες ΠΒΑ τοῦ Ω: αὐτὰ Ψ καὶ κῶδιξ Ν τοῦ Ω 21. αὐτὰ οἱ κώδικες ΝΒ τοῦ Ω: αὐτὰ Ψ καὶ οἱ κώδικες ΠΑ τοῦ Ω 22. πεπέρασται Ψ: πεπέρανται Ω οὐδ' ἐν οἱ κώδικες ΝΒΑ τοῦ Ω: οὐδὲν Ψ

ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΕΤΑΙΡΕΙΑ ΙΩΑΝΝΙΝΩΝ ΙΣΤΟΡΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΤΟΧΟΣ ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΘΗΝΩΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΠΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

καίως ἑστήξει οὐδ' ὅπερ ὀπωςοῦν ἡδέος μετειληφὸς ἀρχή τις οὐκ ἔσται πάλιν ἀνιαροῦ.

Τί ποτ' οὖν ἡμεῖς, οὑτωςὶ μὲν τοῦ παρόντος ἔχοντος βίου καὶ οἷον ἡμᾶς παίζοντός τε καὶ κύκλῳ τινὶ περιάγοντος, τοσούτων δὲ ὄντων ἀνιαρῶν, ὥςτε μηδ' ἐλεύθερον ἐᾶν ἀναπνεῖν τὸν βιοῦντα μηδ' ἔχειν ἐφ' ὅτῳ μᾶλλον ἂν αὐτὸν ἡδόμενον ἢ ἀνιώμενον αἴσθοιτο, βίον μὲν οὕτω περὶ πολλοῦ καὶ τὴν ἐνταῦθα πλάνην ποιούμεθα, καὶ ταῦτα μήτ' ἀγνοοῦντες μήτε μὴν οὐ παθόντες οἷς ἄν τις γνοίη παθών, ἄνθρωπον δὲ ἀνοιμώζομεν, εἰ πεφευγὼς ἐκεῖνον μυρίων ἀνιαρῶν ἀπαλλάττοιτο, ἔξω γενόμενος κακῶν τε ἄλλων ἁπάντων καὶ δὴ καὶ τοῦ καθ' ἡμέραν δέους, πάσης ἡςτινοςοῦν ἀνίας χαλεπωτέρου τυγχάνοντος; Ἢ πῶς οὐ μέλλομεν αἰσχυνεῖσθαι, εἰ τἆλλα μὲν τῶν δεινῶν πολλάκις ὤφθημεν πεφευγότες καί που καὶ μακαρίους οὐκ ἔξω νενομίκαμεν λόγου τοὺς
φ 153ₐ ὅ τι πλεῖστον ἀφεστηκότας ἀνιαρῶν, || αὐτὸν δὲ τὸν βίον, τὸ πάντων ὡντινωνοῦν κακῶν αἴτιον, αὐτὴν τὴν κορωνίδα τῶν ξυμφορῶν, οὐ μόνον οὐ κακῶν ἔσχατον ἡγησόμεθα, ἀλλ' εἰ μὴ κακῶς τις πέπονθεν ἄλλοτε ἄλλως ὑπ' ἐκείνου φερόμενος, σχετλιάσομέν τε καὶ ἀνοιμώξομεν καὶ κακοδαίμονα νομιοῦμεν, ὃς ἂν τοῦ βίου τὴν ταχίστην ἀπαλλαγεὶς ἔξω δεινῶν αὐτίκα καὶ τῆς ἐκ τούτων ἀνίας γένοιτο; Χωρὶς δὲ ἐκείνων, ἤτοι φαύλως τὰ πράγματα κρίνειν δόξομεν ἢ τὴν τοῦ φθονεῖν, εἴ τῳ παθεῖν εὖ ξυμβέβηκεν, οὐκ ἀποφευξόμεθα δόξαν. Ὅλως δὲ, εἰ μὲν τοῦ βίου τέλος ἓν οὐδὲν ἦν, ἀλλὰ φροῦδα πάντα θανόντος ἀνθρώπου γίγνεται, οὐδ' οὕτως ἂν ἦν τῶν μετρίων ἐπ' ἐκείνῳ δακρύειν καὶ ὀλοφύρεσθαι· ἐξ ἀνάγκης γὰρ ἂν ἦν καὶ οὐκ ἦν ἄνευ ἀνίας ἐν τοῖς τοιούτοις δακρύειν

1. ἑστήξει 2. ἡδέος 5 (καὶ 6). μὴδ' 5. ἐᾶν προςέθηκα ἐκ τοῦ Ω: λείπει Ψ 7. τὴν 8. μήτ' ἀγνοοῦντες Ω: μὴ μεταγνοοῦντες Ψ 10 ἀπαλλάτοιτο 13. τ'ἄλλα 16. ὄντινωνοῦν 18. τίς 20. ἀπαλλαγεὶς 22. εἰ τῷ 4. φρούδα

25-26. ἐξανάγκης 26. ἂν προςέθηκα ἐκ τοῦ Ω: λείπει Ψ ἀνίας Ω: ἀνοίας Ψ

ΕΘΝΙΚΟ ΙΔΡΥΜΑ ΕΡΕΥΝΩΝ ΙΩΑΝΝΙΝΩΝ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΕΠΙΣΤΗΜΟΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΘΗΓΗΤΗ ΙΩΑΝΝΟΥ ΑΝ. ΠΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πλὴν οὐκ ἀπεῖναι λόγου παντὸς, οὐδὲ τῆς τοῦ πρέποντος ἀπάσης ἀφεστηκέναι πάντῃ καὶ τοῦ δικαίου μοίρας ἐδόκει. Τὸ γὰρ ὄντα μηκέτ' εἶναι φθειρόμενον, κἂν ἐξ ἀνάγκης ξυμβαίνῃ, τοσοῦτον εἰκότως ἐς ἀθυμίαν δόξειεν ἂν ὅσον ἐς ἡδονὴν τὸ μηδέποτε τῶν ὄντων εἶναι πεπαῦσθαι. 5

Ἐπεὶ δὲ τέλος μὲν ἀνθρώπου θεὸς καὶ ἡ περὶ αὐτὸν ἀΐδιος ἔλλαμψις, ὁ δὲ βίος ἐς αὐτὴν ἀνθρώπῳ πεπέρασται, ἥκιστα λυπητέα δεῖν οἶμαι, οὐδὲ δακρυτέα τῷ λόγῳ λογισμῷ κρείττονι καὶ τῷ ποτὲ γοῦν ἐλπίζειν ὄψεσθαι τοὺς οἰχομένους χρωμένοις. Ἀγαθὸς γὰρ ὢν ὁ θεὸς καὶ τούτῳ καθάπερ καὶ τοῖς ἄλλοις 10 ἄπειρος ὤν, πρῶτον μὲν τὸν νοερὸν ἐκεῖνον ὅστις ποτέ ἐστιν ἐδημιούργησε κόσμον, ἐκεῖνον μόνον δυνάμενον ὅσον νοῦς τε καὶ βούλησις· τἆλλα γὰρ τῆς ὕλης ἐξῆπται, ἧς ὁ ῥηθεὶς διάκοσμος ἄμοιρος· εἶτα, βουλόμενος δημιουργῆσαι τὸν ἄνθρωπον, πρῶτον μὲν κἀνταῦθα τουτονὶ τὸν αἰσθητὸν παρήγαγε κόσμον, τοιοῦτον 15 ἔξοντα λόγον πρὸς τὸν δημιουργησόμενον ἄνθρωπον, οἷον οἰκία ‡.153ᵃ πρὸς ἐνοικοῦντας ἢ οἷον, εἰ βούλει, πρὸς ἀθλοῦντας || καὶ ἀγωνιζομένους τὸ θέατρον. Οὐδὲ γὰρ μόνον, ὡς ἔοικε, χῶρος γενέσεως ἀνθρώπων ὁ κόσμος γεγένηται τῷ κτίστῃ θεῷ, ἀλλὰ καὶ θέατρον ἀγώνων καὶ στάδιον ὅσα τε ἄλλα τῆς ὁμοίας ἐστὶ δυνάμεως, ἐν ᾧ 20 πένταθλον μὲν οὔ, ψυχῶν δὲ ἀγῶνες καὶ ἆθλοι πολλῷ μείζους ἐκείνου καὶ τιμιώτεροι πεφύκασι γίγνεσθαι. Ἔπειτα δὲ καὶ αὐτὸν ἐκεῖνον δημιουργήσας τὸν ἄνθρωπον, οὗ ἕνεκα κόσμος καὶ πᾶσα κτίσις ἐγκόσμιος, οἷον ἀθλητὴν αὐτὸν ἔθετο καθάπερ ἔν τινι σταδίῳ μέσῳ τῷ γε παντὶ, ἀθλοθέτης μὲν ὢν καὶ ἀγωνοθέτης αὐτὸς, ἆθλον δὲ 25 οὐ κότινον προτιθεὶς οὐδ' ὃς ἐκ δάφνης ἤ τινος τῶν τοιούτων πλέ-

1. τῆς ἐκ τοῖς τοῦ Ω: λείπει Ψ 2. μοίρας ἐκ μόρρας 3. μὴκέτ' κἀν ἐξανάγκης ξυμβαίνῃ ἐκ τοῦ ξυμβαίνει 8. κρεῖττονι 11. ὅστίς 13. τ'ἄλλα 14. τὸν Ω: τὸ Ψ 16. δημιουργησόμενον εἶχε τὸ πρῶτον ὀξεῖαν καὶ ἐπὶ τοῦ δευτέρου ἡ διαγραφεῖσαν Ψ: δημιουργηθησόμενον οἱ κώδικες NBA τοῦ Ω 17. ἐνικοῦντας 19. κτίστῃ ἐκ τοῦ κτίσθῃ θεῷ Ω: θεῶν Ψ 20. ὅσά 21. οὐ ἐξ ὀὰν(;) Ψ 23. δημιουργήσας Ω: δημιουργῆσαί Ψ 24. ἐγκόμιος 26. προτιθεὶς Ω: προστιθεὶς Ψ ἢ τινὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΠΙΤΡΟΠΗ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΑΘΕΣΙΜΟ ΕΠΙΤΡΟΠΙΚΟ ΜΕΛΟΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΜΕΤΣΙΟΣ
Ε.Υ.Δ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

κεται στέφανος, ἀλλ' ὅπερ αὐτὸς ἀπείρῳ μεγαλοπρεπείᾳ κἀνταῦθα χρώμενος τὸ τιμιώτατον τῶν ὄντων καὶ τελεώτατον ἡτοιμάσατο χρῆμα, λέγω δὲ αὖ πάλιν αὐτὸν, τὸ ἄπειρον ὄν, τὸ νῶν ἁπάντων καὶ λογικῆς ἡςτινοςοῦν φύσεως τέλος, τὸ ὑπερκείμενον καὶ κοινὸν
5 τοῖς οὖσιν ἅπασιν ἀγαθόν. Ἐχρῆν γὰρ τῷ ὄντι τὸν ἀπείρῳ ξυμπαθείᾳ περὶ τὴν λογικὴν φύσιν καὶ τὰ ὄντα πάντα κεχρημένον θεὸν τὸν αὐτὸν εἶναι καὶ ἀθλοθέτην καὶ ἀριστεῖον, τὸ μὲν ὅτι μόνος αὐτὸς ἐν οὖσι κοίρανός τε καὶ βασιλεὺς, τὸ δ' ὅτι τῶν ὄντων ἓν οὐδὲν ἐκείνου τελεώτερόν τε καὶ τιμιώτερον, οὐδ' ὅπερ ἂν γέ-
10 νοιτο λογικῆς ποτε φύσεως ἔσχατον τέλος καὶ ἀγαθόν· οὔ τί ἄν τις ἐπινοίᾳ γοῦν ἀναπλάσαιτο παραδοξότερόν τε καὶ ξυμπαθέστερον; Ἐγὼ πολλάκις ἐμαυτοῦ γενόμενος, ὦ παρόντες, καὶ τὴν περὶ ἡμᾶς τοῦ μεγάλου θεοῦ πρόνοιαν ἀναπεμπαζόμενός τε καὶ θεωρῶν, γάννυμαι μὲν καὶ χαίρω καὶ πάσης ἡδονῆς ἐμπίπλαμαι τὴν ψυχὴν,
15 οὐκ ἐκπλήττεσθαι δὲ οὐκ ἔχω, τὴν ἄπειρον ἐκείνου περὶ ἡμᾶς [ὁρῶν] ἀγαθότητα. Ὃς πρὸς τῷ ἐξ οὐκ ὄντων ἡμᾶς ἐπὶ τὸ εἶναι παραγαγεῖν καὶ κατὰ τὴν αὐτοῦ εἰκόνα δημιουργῆσαι τἆλλά τε πάντα καὶ τὸ πᾶν τοῦθ' ἡμῖν διὰ τὴν παροῦσαν ζωὴν καὶ πολιτείαν χαρίσασθαι, ἐῶ λέγειν ὅτι καὶ αὐτὸν ἐκένωσε μέχρι δούλου μορφῆς,
φ.154ᵃ ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος καὶ σχήματι εὑρεθεὶς || ὡς ἄν-
21 θρωπος, ἔπαθέ τε καὶ ἀπέθανε καὶ ἀνέστη, ἵν' ἡμεῖς ἀπαθανατισθῶμεν καὶ τὸ ἀρχαῖον ἀξίωμα κομισώμεθα, προςέτι καὶ τὴν ἀΐδιον ἐκείνην καὶ μακαρίαν ἀπόλαυσιν ἐχαρίσατο, ἑαυτὸν ἡμῖν ἀΐδιον τρυφὴν, ὡς εἴρηται, καὶ ἀπόλαυσιν χαριζόμενος.

25 Τούτων τί γένοιτ' ἂν ἄλλο μεῖζον ἢ καὶ παραδοξότερον, φαίην δ' ἂν καὶ φιλανθρωπότερον; Οὐδὲ γὰρ εὖ παθεῖν ὄντες

2. ἡτοιμάσατο 3. αὐτὸν Ω: αὐτὸν Ψ 4. ἡςτινοςοῦν φύσεως ἐκ τοῦ φεῖσεως 5. οὖσιν τωόντι 6. πάντα Ω: λείπει Ψ 10. ποτὲ 14. τὴν ψυχὴν Ω: τῇ ψυχῇ Ψ 16. ὁρῶν Ω: λείπει Ψ 17 αὐτοῦ ἐκ τοῦ αὐτοῦ τ'ἄλλα τὲ 19. αὐτὸν ἔγραψα: αὐτὸν Ψ: ἑαυτὸν Ω 20. ἀνθρώπου Ω: ἀνω Ψ 24. εἴρηται Ω: εἴ τα Ψ 25. καὶ Ω: λείπει Ψ

ΕΥ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἄξιοι, παρὰ θεοῦ πεπόνθαμεν εὖ, ἀντὶ θνητῶν ἀθάνατοι καὶ ἀντὶ φαύλων σπουδαῖοι γενόμενοι· οὐδ' αὖ ἀξίως διὰ τὰς ἡμετέρας ἀρετάς τε καὶ κατορθώματα τὴν θείαν ἀπόλαυσιν κομιζόμεθα, ὥςπερ τινὰ κότινον ὁ παλαίων ἢ ἆθλον ἤ ὅ τι ἂν εἴποι τις ὅ γ' ἐν Ὀλυμπίᾳ νενικηκώς. Πόσα γὰρ ἂν ἀγωνίσαιτό τις ἐν τῷδε τῷ βίῳ ἢ πόσα κατὰ τῶν πονηρῶν πνευμάτων ἄν τις στήσαιτο τρόπαια, πόσους δ' ἂν ὑποσταίη καὶ κινδύνους καὶ πόνους, φαίην δ' ἂν καὶ θανάτους ὑπὲρ τοῦ τὴν μακαρίαν ἐκείνην ἀπόλαυσιν ἀξίως αὐτοῦ τε καὶ τῶν βεβιωμένων [κομίσασθαι]; Οὐδ' εἰ μυρία μὲν πάθοι δεινά, μυρίους δ' εἰ οἷόν τ' ἦν ὑποσταίη θανάτους, ἀξίως ἄν ποτε διὰ ταῦτα τοῖς ἐλπιζομένοις στεφάνοις στεφανωθείη. Τίς γὰρ λόγος τῶν ἡμετέρων ἐνταῦθα ἄθλων πρὸς τὰ ἑτοιμασθέντα ἡμῖν ἆθλα καὶ ἀγαθά, ὥςπερ τις λόγος ἢ κοινὸν πεπερασμένου πρὸς ἄπειρον. Ἔχει γε μέντοι λόγον ἐν ἄλλοις· ὡς γὰρ ἆθλος ἄθλου καὶ κατόρθωμα κατορθώματος, οὕτω καὶ ἆθλον ἄθλου καὶ στέφανος στεφάνου καὶ ἁπλῶς ἀπόλαυσις ἀπολαύσεως διενήνοχε, τὸ μὲν διὰ τὴν ἄπειρον τοῦ μεγάλου θεοῦ περὶ ἡμᾶς ἀγαθότητα, τὸ δὲ ἵνα τὸ δίκαιον σώζηται κατὰ λόγον τῷ δικαιοτάτῳ κριτῇ τε καὶ ἀθλοθέτῃ, τὰς ἀμοιβὰς τῶν πόνων ὡς πρὸς τρόπου δικαίως οὐκ ἀριθμητικῷ, γεωμετρικῷ δὲ λόγῳ παρέχοντι. Οὕτως ὑπὲρ ἅπαντα νοῦν καὶ λόγον ἡ τῶν ἡμετέρων ἄθλων καὶ ἀγώνων ἀντιμισθία τε καὶ ἀντίδοσις οὐ κατὰ τὸ ὀφείλημα τῶν ἔργων, ὡς ἔφθην εἰπών, ἀποδιδομένη, κατὰ χάριν δὲ τοῦ μεγαλοδώρου θεοῦ τοῖς εἰς αὐτὸν ἠλπικόσι παρεχομένη.

3. κατορθώματα ἐκ τοῦ κατωρθώματα 4. ὥςπέρ τινα ὅτι Ω: ἢ ὅτι Ψ τίς 9. αὐτοῦ Ω: αὐτοῦ Ψ κομίσασθαι Ω: λείπει Ψ 10. δεῖνὰ εἰ Ω: λείπει Ψ οἷον ἄν ποτε Ω: δ' ἂν Ψ 13. ὥςπέρ 14. ἄθλου Ω: ἆθλον Ψ 15. κατώρθωμα 16. ἀπολαύσεως ἐκ τοῦ ἀπολαύσεων μετὰ διπλῶν διορθώσεων διὰ βραχυγραφίας καὶ εἶτα ὁλογράφως 18. δικαιωτάτω 19. πρὸς Ω: πρὸ Ψ δικαίως Ω: δικαίοις Ψ 20. αριθμητικῷ 24. ἠλπικόσι Ω: ἐλπικόσι Ψ

ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΙΩΑΝΝΗΣ ΚΟΡΝΑΡΟΣ ΚΑΘΗΓΗΤΗΣ ΚΛΑΣΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Οὕτως οὐ μόνον τὴν ἡμετέραν περὶ τὸ εὖ παθεῖν ἀξίαν, ἀλλὰ
φ.254ε καὶ πᾶσαν ἡντινοῦν ἔννοιαν || ἡ περὶ ἡμᾶς ὑπεραίρει τοῦ μεγάλου θεοῦ καὶ φιλανθρωπία καὶ ἀγαθότης, τοσαῦτα καὶ οἷα τοῖς νομίμως τὸν ἐνταῦθα διαθλήσασι βίον οὕτω λαμπρῶς, οὕτω μεγαλο-
5 πρεπῶς, οὕτω δαψιλῶς ἄγαν δωρησαμένου. Τοιούτων οὖν ὄντων ἃ θεὸς μετὰ τὴν τοῦ βίου τοῦδε καὶ τῶν ἐνταῦθα δεινῶν ἁπάντων ἀπαλλαγὴν τοῖς ἐς αὐτὸν ἠλπικόσιν οὕτω μεγαλοπρεπῶς, ὡς εἰπόντες ἔφθημεν, ἡτοιμάσατο, εἰ θανών τις ἐξ ἀνάγκης ἀπῆλθε καὶ δεινῶν μεγάλων ἀπήλλακται, πρὸς δὲ καὶ τῆς θείας ἐκείνης
10 ἐπελάβετο μοίρας, ᾗ μόνῃ λογικὴ ψυχὴ τελειοῦται καὶ θεός πως ἕτερος γίγνεται, στυγνάσομέν τε καὶ ἀνοιμώξομεν, σχῆμά τε ἅπαν καὶ ὁντινοῦν ἐρρῶσθαι λόγον εἰπόντες ὅλοι τοῦ πένθους καὶ τῆς ἀνίας ἐσόμεθα, εἶτ' ἐν τῷ τῶν ἁπάντων τοῦ προσήκοντος ἐσόμεθα σχήματος; Ἢ πῶς οὐχ ἅπας ὁστιοῦν ἐν ἡμῖν ἀνατετρά-
15 φθαι λογισμὸς ἐντεῦθεν εἰκότως ἂν νομισθείη, εἰ χαίρειν μὲν ἐφ' οἷς ἀλγεῖν ἔδει, δακρύειν δ' αὖ πάλιν ἐφ' οἷς ἐχρῆν οὐ λυπεῖσθαι δεῖν νομιοῦμεν καὶ τούτῳ καθάπερ ἀρχῇ τινι πεισόμεθα παντὸς οὑτινοσοῦν λόγου καὶ τῆς αὐτῆς ἀποδείξεως κρείττονι;.

Ταῦτ' οὖν εἰδὼς, θειότατε βασιλεῦ, καὶ λογιζόμενος οἷα τις
20 ἦν ἡ θειοτάτη σου μήτηρ ἐκείνη, ἣν ἡ φύσις, ὡς ἔοικεν, οὕτω θεοῦ κινοῦντος καὶ βουλομένου, ἄγαλμα πάντων ὧν ἂν εἰπεῖν ἔχοι τις ἤνεγκεν ἀγαθῶν, φέρε μὲν ἀνδρείως τὸ πάθος, ἐξ ἀνάγκης οὐκ ἔξω φύσεως οὐδὲ παρὰ λόγον ἐπιξυμβὰν, τῆς δ' ἣν ἔσχες ἀνίας, ὅτι περ ἡμᾶς ᾤχετο λιποῦσα, καθάπερ σῶμα ψυχὴ, πολ-

2. ἡντινοῦν Ψ: ἡντιναοῦν Ω 3. τοσαῦτα καὶ καὶ 7. ἐς Ω: εἰς Ψ ἠλπικόσιν Ω: ἠλπικόσι Ψ 8. ἡτοιμάσατο 10. ᾗ Ω: ἡ Ψ 11. σχῆμα τὲ 12. ὅντινουν 14. ὅστισοῦν 15. εἰ Ω: λείπει Ψ 17. δεῖν Ω: δεῖ Ψ ἀρχή πεισθησόμεθα Ψ: πεισόμεθα Ω 18. οὕτινος οὖν 19-20. οἷα τις (κῶδ. οἷα τίς) — ἦν Ψ: οἷος ὁ μέγιστος ἡμῖν βασιλεὺς ἐκεῖνος ὂν Ω 22. τίς 23. ἦν Ω: αὖ Ψ

ΕΡΑΣΙΤΕΧΝΙΚΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ
ΔΙΕΥΘΥΝΤΗΣ ΑΝΑΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Δ. ΠΑΠΑΓΙΑΝΝΟΠΟΥΛΟΣ
Ε.Υ.Δ της Κ.Π.Π
ΙΩΑΝΝΙΝΑ 2007

λῶν τε ἄλλων οὐκ ἀγαθῇ μοίρᾳ καὶ δὴ καὶ τῆς ἐκείνης στερηθέντας οὐκ ἀνευδαίμονος δεξιᾶς, ἀντίθες ἣν ἐκείνη πάντως ἔσχεν εὐδαιμονίαν νυνί, πάντων μὲν ἔξω γεγενημένη τῶν ἐν τῷ βίῳ δεινῶν, τοῦ μακαρίου δὲ τέλους τῆς εὐζωίας ἐκείνης ἐπιλαβομένη δικαίως οἷς ἄριστα καὶ ὡς ἐχρῆν αὐτὴ μὲν ψυχήν τε ἅμα καὶ βασιλείαν ἐκόσμησεν, ἡμεῖς δὲ πεπόνθαμεν εὖ ὑπὸ βασιλικῆς τῷ ὄντι καὶ θείας ψυχῆς. Τί γὰρ τῇ μεγίστῃ δεσποίνῃ τῶν ἀγαθῶν οὐ προσῆν ἢ ποῖον ἀρετῆς εἶδος οὐ μεθ' ὑπερβολῆς ὅσης ἐκτήθη καὶ ὡς οὐδὲ μιᾷ τῶν ἄλλων οὐδέν; || Οὐκ ἔθνος μὲν ἁπάντων, ὡς εἰπεῖν, τὸ σεμνότατον, γένος δὲ βασιλεῖς, ἐκ βασιλέων δ' αὖ καὶ αὐτοί; Οὐ λαμπρῶς μὲν ὑπὸ τῷ μεγάλῳ πατρὶ πᾶν ὅ τι ἂν εἴποι τις τῶν ἀγαθῶν ἐπεπαίδευτο, λαμπρῶς δ' αὖ πάλιν ἐπ' αὐτὴν ἧκε τὴν βασιλίδα τῶν πόλεων, ὁμόζυγος ἀξία τοῦ μεγάλου βασιλέως ἐκείνου, ὃν οὔτ' ἄλλην ἀντ' αὐτῆς ἔδει λαβεῖν ἐς κοινωνίαν ἀρχῆς, οὔτ' ἄλλης ἣν ἂν εἰπεῖν ἔχοι τις ἀξίως ἄνδρα κληθῆναι; Οὐ μήτηρ γέγονε βασιλέων οὓς ἔθρεψεν ἀρεταῖς μᾶλλον ἢ γάλακτι; Οὐ σώφρων ἦν, ὥστε δοκεῖν αὐτὴν σωφροσύνην ἢ ὥσπερ ἀνδριάντα τῆς ἀρετῆς; Οὐ φρονήσει μὲν ἐχρῆτο μετὰ σοφίας, σοφίαν δὲ ἐτίμα μετὰ φρονήσεως; Οὐ δικαιοσύνης ἦν στάθμη καὶ οἷον ἀρετῆς πλάστιγξ καὶ ὀρθή τις γωνία, οὐδετέραν, μήτ' ἐς ἀμβλεῖαν μήτε μὴν ἐς ὀξεῖαν τῶν γωνιῶν ἀποκλίνουσα; Τί δ' αὖ λέγοι τις

φ.155α

1. ἐκείνης Ψ: ἐκείνου Ω 2. ανευδαίμονος ἐκείνη Ψ: ἐκεῖνος Ω 3. γεγενημένη ἔγραψα: γενόμενος Ω: γεγενημένων Ψ εὐζωίας 4. ἐπιλαβομένη Ψ: ἐπιλαβόμενος Ω 5. δικαίως Ψ: λείπει Ω αὐτὴ Ψ: αὐτὸς Ω 6-7. βασιλικῆς τωόντι καὶ θείας Ψ: βασιλέως φιλοσόφου Ω 7. τῇ μεγίστη δεσποίνη Ψ: τῷ μεγίστῳ βασιλεῖ Ω 9. οὐδὲ μιᾷ Ψ: οὐδενὶ Ω (καὶ 11). μὲν Ω: λείπει Ψ 11. αὐτὴ ἔγραψα: αὐτὸς Ω: αὐτοὶ Ψ ότι τίς 12. ἐπεπαίδευτο Ψ: ἐπαιδεύετο Ω

Μετὰ τὴν λέξιν ταύτην τὰ λοιπὰ διάφορα μέχρι τοῦ ἐν σ. 66,7 μυστήριον 13. βασιλείδα 15. τίς κλιθῆναι 17. ὅστε ἐκ τοῦ ὥστε 20. μήτ' ἐς ἐκ τοῦ μήτις 21. μήτε μὴν ἐς (διαγεγραμμένον) μήτε μὴν ἐς τίς

ΕΘΝΙΚΟ ΙΔΡΥΜΑ ΕΡΕΥΝΩΝ ΙΩΑΝΝΙΝΑ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΙΝΣΤΙΤΟΥΤΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΙΩΑΝΝΗΣ ΑΛΑΜΑΝΗΣ ΕΡΕΥΝΗΤΗΣ ΙΩΑΝΝΗΣ ΠΕΤΣΙΟΣ
Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πίστεως πέρι καὶ τῆς ἐλπίδος καὶ ἣν ἴσμεν ἀρετῶν κρείττω, τὴν ἀγάπην φημί, αἷς οὐκ ἔστιν εὑρεῖν τῶν ἐπὶ ταύταις εὐφημουμένων ἢ ἂν ῥᾳδίως παραβληθείη; Οὐ κόσμον μὲν ἀφῆκεν ἐρρῶσθαι, βίον δὲ εἵλετο τὸν μακάριον; Οὐ βασιλείαν μὲν κατέλιπε καὶ ἀρ-
5 χὴν, θεῷ δὲ ἠκολούθησε τῷ νυμφίῳ Χριστῷ, μεθ' οὗ νυνὶ βασιλεύει, τῆς θείας ἐκείνης μακαριότητος ἀπολαβοῦσα, ὑπὲρ ἧς πᾶν ὁτιοῦν ἐν κόσμῳ καὶ ἅπαν μυστήριον;

Τί οὖν ἀνοιμώζειν ἢ ξυνήδεσθαι χρὴ ἢ τί δεῖ δακρύειν ἣν αὐτὸς εὐδαίμονα τῇ μεταστάσει νενόμικας; Ἄφες, ὦ μέγιστε βασι-
10 λεῦ, ἐκεῖνα τοῖς μικρολόγοις καὶ οἱ τὸ φρόνημα γυναιξὶ μᾶλλον ἐοίκασιν, ἐπτοημένοι μὲν μόνοις τοῖς ὁρωμένοις καὶ ὅσα πρὸς αἴσθησιν ἡδέα νενόμισται, πρὸς οὐδὲν δὲ ὑψηλὸν, πρὸς οὐδὲν ὑπὲρ αἴσθησιν, πρὸς οὐδὲν ἀίδιον ἢ βεβηκὸς καὶ μόνιμον ἀφορῶντες, ἀλλὰ χαμαὶ ἕρποντες καὶ τὸ τοῦ νοῦ μετέωρόν τε καὶ ὑψηλὸν βίᾳ τῷ ὄντι καὶ
15 παρ' ἀξίαν καθέλκοντες. Σὺ δ' ὁ τὰ πάντα χρηστός τε καὶ μέτριος τοσοῦτον δακρύσας ὅσον ἐν ὀφθαλμοῖς τὰ δάκρυα στῆσαι, τοσοῦτόν τε αὖ ἀνοιμώξας ὅσον μηδὲ οἰμώζοντι ἐοικέναι, ἐκείνην μὲν εὐδαί-
φ.155ᵃ μονα καὶ μακαρίαν ‖ τῷ ὄντι νόμιζε, τοιούτου τυχοῦσαν τέλους, οὗ πάντες μὴ οὐ τυχεῖν μάλα ἂν εὔξαιντο· τοῦ δ' ἡμετέρου τουτουὶ
20 γένους καὶ τῆς κοινῆς ταύτης τῶν Ἑλλήνων ἑστίας ἀγαθῇ μοίρᾳ δικαίως τὴν βασιλείαν ἐξ αὐτῶν προγόνων καὶ ἀδελφοῦ δεξάμενος

1. ἀρετῶν κρείττω 8. ἢ ἔγραψα: ἢ Ψ: ὦ Ω ἣν Ψ: ὃν Ω
10. Ἀντὶ τοῦ μικρολόγοις εἶχεν ἀρχίσει γράφων μικροσχ
13. ἢ βεβηκὸς καὶ μόνιμον Ψ: καὶ μόνιμον ἢ βεβηκὸς ΝΠΒΑ τοῦ Ω: καὶ μόνιμον ἢ βέβαιον Μ τοῦ Ω 14. ἕρποντες (καὶ 18). τωόντι
17. τε Ψ καὶ οἱ κώδικες ΝΠΒΑ τοῦ Ω: τ' Μ τοῦ Ω 17. μηδὲ οἰμώζοντϊ ἐκείνην Ψ: ἐκεῖνον Ω 18. καὶ μακαρίαν τωόντι νόμιζε Ψ: νόμιζε καὶ μακάριον Ω τοιούτου τυχοῦσαν τέλους Ψ: τοιούτου τυχόντα τέλους ΝΠΒ τοῦ Ω: τοιούτου τέλους τυχόντα Μ τοῦ Ω: τοιούτου τυχόντα Α τοῦ Ω 19. μάλα Ψ καὶ οἱ κώδικες ΝΠΒΑ τοῦ Ω: μάλ' Μ τοῦ Ω 21. δικαίως Ψ: νυνὶ δικαίως οἱ κώδικες ΝΠΒΑ τοῦ Ω: καὶ δικαίως Μ τοῦ Ω
21. αὐτῶν — ἑλλήνων Ψ: δεξάμενος Π

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

καὶ μητρὸς καὶ μόνος ἡμῖν ὢν ἐς ὃν ἔχομεν βλέπειν ἅπαν γένος Ἑλλήνων, γενοῦ περὶ ἡμᾶς ὡς εἰώθεις καὶ οἷος περὶ πάντας ἀνθρώπους ὁ μέγας βασιλεὺς ἐκεῖνος θεὸς, οὗ τὴν βασιλείαν ὅσαι ὧραι μιμούμενος καὶ πρὸς ἐκείνην ὡς οἷόν τε τὴν σὴν παρεξετάζων ἀρχὴν οὐκ ἔστιν ὅτ' οὐ νομίμως ἄγαν ὤφθης διωκηκὼς τὸ ὑπήκοον καὶ οἷον πολιτικῶς. Ὁρᾷς ὅσοι τε τῶν ἐν τέλει καὶ ὅσον ἐν Πόλει σύστημα αὐτήν τε ταύτην τὴν κοινὴν τοῦ γένους ἑστίαν, οὓς ἔχομεν ἀπολωλεκότας κοινοὺς σωτῆράς τε καὶ πρυτάνεις, εἰς σὲ τοὺς ὀφθαλμοὺς τείνειν καὶ μονονοὺ θεὸν ἄλλον ἐπὶ σωτηρίᾳ νυνὶ τῶν ὅλων ἐφεστηκότα νομίζειν. Τούτων ἀγαθῇ τύχῃ καὶ ὡς ἐβούλετο τὸ δαιμόνιον πατήρ τε ἅμα καὶ κυβερνήτης γενόμενος, τοὺς τῆς ἀρχῆς οἴακας βασιλικώτατα στρέφων, σῶζε μὲν ἅπαν ὑπήκοον, ἄλλοτε ἄλλως φερόμενον καὶ ὥςπερ τινὰ ναῦν μάλα δεινῶς χειμαζόμενον κύμασί τε ἅμα καὶ ὅπερ ἔχει πληρώματι, φάνηθι δὲ αὐτὸς σωτὴρ ἁπάντων καὶ κηδεμὼν καὶ οἷον τὸ τῆς Ἀλκμήνης γῆς ἁπάσης ἔφασαν Ἕλληνες. Σοί τε γὰρ ἐντεῦθεν ἁπάσης ὅρος εὐδαιμονίας προςγένοιτ' ἂν, ἡμεῖς τε εὖ ἕξομεν, ὑφ' οὗ παθεῖν ἐχρῆν εὖ παθόντες καλῶς, οὓς οὐδὲ τὴν ἀρχὴν ἔδει κατὰ τὴν κοινὴν τύχην ἀνθρώπων πταῖσαι καὶ δευτέρους βαρβάρων ἐνίων οὕτως ὀφθῆναι. Εἴρηκα.

---

3. βασιλεῖαν ὅραι 7-8. οὓς ἔχωμεν-πρυτάνεις Ψ: ὃν εἴχομεν κοινὸν σωτῆρα καὶ πρύτανιν ἀπολωλεκότας Ω 8. σωτῆρας τὲ 10. νομίζειν Ω: νομίζει Ψ ἀγαθὴ 10-11. καὶ ὡς ἐβούλετο τὸ δαιμόνιον Ψ: λείπουσιν Ω 11. πῆρ τὲ 12. σώζε 13. ὥςπέρ τινα 15. κηδαιμῶν 18. τηναρχὴν 19. πτᾶσαι ἐνίων Ψ: λ ίπει Ω 20. Πρὸ τοῦ Εἴρηκα γεγραμμένα χωρὶς ἐν μέσῳ τῷ τελευταίῳ στίχῳ εὕρηνται διαγεγραμμένα τάδε· Ἔφθη Κωνσταντίνῳ εἰς ἃ ὁ βιβλιογράφος ἔμελλε νὰ προςθέσῃ πιθανώτατα γεγραφὼς παραμυθητικὸν ἐπὶ τῷ θανάτῳ τῆς μητρὸς ἤ τι ἄλλο τοιοῦτο.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΤΟΠΟΓΡΑΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΙΕΠΟΦΗΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΑΠΑΓΙΑΝΝΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ
ΚΥΡ ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ ΚΑΙ ΑΡΧΟΝΤΟΣ ΤΩΝ ΕΚΚΛΗΣΙΩΝ
ΤΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ
ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΓΕΩΡΓΙΟΝ ΤΟΝ ΤΡΑΠΕΖΟΥΝΤΙΟΝ

Ἐκομισάμην ἄν σου τὴν ἐπιστολὴν ἡδέως, θαυμαστὲ Γεώργιε, εἴ γε τὰ τέλη τοῖς προοιμίοις ταύτης σύμφωνα εὗρον, καί σοι τὴν προσήκουσαν ἀποδεδώκειν ἀπόκρισιν καὶ ὥςπερ ἐξ ἔθους ἔχω τοῖς ἐμοῖς ἀποκρίνεσθαι φίλοις. Ἐπεὶ δὲ κἀνταῦθα τὴν σαυτοῦ
5 κακοήθειαν ἐνέφηνας, χρηστὰ μὲν προοιμιασάμενος, φαῦλα δὲ συμπεράνας καὶ τῇ σαυτοῦ γνώμῃ προσήκοντα, ἀλλοπρόςαλλος ὄντως καθάπαξ ἀναφανείς· οὐ γάρ με ἐλελήθεις κἀνταῦθα σεμνῶς δῆθεν διασύρας· τοῖς παραπλησίοις δή σε καὶ αὐτὸς ἀμείψομαι. Τὸν γὰρ ξύοντα ἀντιξύειν καὶ τοῖς ὄνοις ἡ παροιμία δίδωσι· πάν-
10 τως δὲ καὶ Ὁμήρῳ ταύτῃ δοκεῖ· *ὁποῖον γὰρ κ' εἴπῃσθα ἔπος, τοῖον κ' ἐπακούσαις*, ἐκεῖνός φησιν Οὐκοῦν τῆς μὲν ἐπιστολῆς αἰτιᾶσθαί σε νῦν, ὡς μηδ' ὁπωςοῦν γραμματικῆς τε καὶ ῥητορικῆς εὐμουσίας αὐτῇ μέτεστι καὶ ὡς τῆς ἐμῆς συντυχίας καὶ τῆς σῆς οἰήσεώς τε καὶ δόξης, ἣν ἔχεις περὶ σεαυτοῦ, παντελῶς ἀναξίαν,
15 περίεργον οἶμαι. Ἀνδρῶν γὰρ ἂν εἴη τοῦτό γε σμικρολόγων, ἐπεὶ καὶ πρότερον ἂν ἐπεποιήκειν τοῦτο. Πάλαι γάρ σου καὶ ἐξ ἄλλων ὡς ἡμᾶς φθασάντων ἐπιστολῶν, τὴν περὶ ταῦτα ἀγροικίαν

Περιλαμβάνεται ἐν μόνῳ τῷ Ἀμβροσιακῷ C 114 sup., φ. 1ᵃ-17ᵇ, αἰῶνος ιε'.

Ἐν τῇ ἐπιγραφῇ κὺρ 3. ἐξέθους 4. κἀνταῦθα 5. ἐνέφηνας χρηστὰ 6. συμπεράνας ἀλλοπράσαλος ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀλλοπροσάλος 11. ἐκεῖνος αἰτιᾶσθαι 12. μὴδ' 15. τοῦτο 17. φθασάντων ἐγράφη πιθανῶς ὑπ' αὐτοῦ τοῦ Ἀργυροπούλου.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΓΛΩΣΣΟΛΟΓΙΑΣ ΙΔΡΥΘΕΝ ΥΠΟ ΤΟΥ ΑΝΕΠΙΣΤΗΜΟΝΑ ΚΑΘΗΓΗΤΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Θ. ΠΕΤΣΙΟΥ
ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

κατεφωράσαμεν, καίτοι θαυμάσαιτ' ἄν τις, ὅπως τὴν σαυτοῦ φύσιν ταυτὶ τὰ μηδὲ τέχνην ἀξιούμενα καλεῖσθαι παρὰ σοῦ διέφυγε, καὶ ταῦτα περιληπτικήν γε οὖσαν τῆς τῶν ὄντων γνώσεως, ὡς αὐτός τε οἶει καὶ τοὺς ἄλλους οὕτω φρονεῖν ἀξιοῖς περὶ σοῦ. Μέρος γάρ τι καὶ αὐτὰ τῶν ὄντων πάντως. Ἀλλ' ἔστω μὲν καὶ 5 ταῦτα. Ἐκεῖνο δέ σου καὶ λίαν θαυμάζω, ὅπως συνετός || τις εἶναι φ. 1r καὶ ἀγχίνους σπουδάζων δοκεῖν, τἀναντία μᾶλλον τεκμαίρεσθαι δέδωκας περὶ σοῦ οἷς ὡς ἡμᾶς ἐγεγράφεις νῦν. Σκόπει καὶ γὰρ πρὸς θεοῦ, ὅπως αὐτὸς τοῖς σαυτοῦ περιπίπτεις λόγοις, καὶ ὥςπερ τὴν ἀρχὴν μηδὲ εἰδὼς ἃ ἐπιστέλλεις. Ζητεῖς μὲν γὰρ διαλεχθῆναι 10 μετ' ἐμοῦ, καὶ γὰρ δὴ καὶ προβλήματά τινα ἡμῖν προὔτεινας, περὶ ὧν ἡ διάλεξις ἔσται, ὡς ἂν τὰ κατ' ἐμὲ τῇδε μαθὼν, ὅπως δῆλα δὴ περὶ τὰς διαλεκτικὰς ἔχει μεθόδους, μάρτυς ἀξιόπιστος εἴης τῆς περὶ ταῦθ' ἡμῶν ἐπιστήμης, ὡς ἄλλως οὐδέποτέ με τῆς οἱαςοῦν ἐπιστήμης εἰδήμονα καλέσῃς. Ἀφρόνων καὶ γὰρ ἀνδρῶν, 15 ὡς αὐτὸς φῆς, ἃ μὴ ὀρθῶς οἶδασι διαβεβαιοῦσθαι· καὶ ταῦτα λέγων, μαρτυρεῖς δή που γεγωνότερον Στέντορος μήπω εἰδέναι οἷος ἐγὼ περὶ τὰς ἐπιστήμας. Καὶ διὰ τί τοίνυν ἐπ' ἐκκλησίας ἡμῶν κατηγόρεις ὡς μηδὲν εἰδότων πρὶν ἡμᾶς εἰδέναι, καὶ τό γε ζητούμενον ὡς ὁμολογούμενον εἰλήφεις; Τοῦτο γὰρ σοφιστῶν τινων ἔρ- 20 γον, ἀλλ' οὐκ ἀνδρῶν φιλοσόφων καὶ ἐπιστημόνων, οἷος αὐτὸς εἶναι διισχυρίζῃ. Ὥςτε λαμπρῶς φαίνῃ ψευσάμενος τηνικαῦτα, ἐκεῖνα διαβεβαιούμενος καθ' ἡμῶν, ἃ μὴ ἀκριβῶς ᾔδεις. Καὶ μάρτυς τούτων ἀξιόχρεως ὁ καλὸς Γεώργιος ἀναδέδεικται. Ὁρᾷς ὅπως τοῖς σαυτοῦ λόγοις ἑάλως, ᾗπερ ἔφην. Ἀλλὰ μήν, εἴπερ 25 τότε δικαίως ἡμῶν ἀμαθίαν κατηγόρεις, ὡς ἀκριβῶς ἤδη πρότερον ταύτης πειραθείς· καὶ γὰρ δὴ καὶ πεπείρασαι πολλάκις, ἡμῖν, ὡς αὐτὸς φῆς, συνομιλήσας· τί παθὼν, καὶ δευτέραν αὖθις πεῖραν ταύτης ζητεῖς λαβεῖν; Ἤδη γὰρ ἔχεις ταύτην λαβὼν, καὶ ἔχε δή·

1. κατεφοράσαμεν 2 (καὶ 10). μὴδὲ 7. σπαδάζων
9. αὐτοῦ 11. προβλήματα τινὰ 13. δηλαδὴ 14. ταυθ
16 (καὶ 28). φῆς 18. ἐκλησίας 20. τινῶν 26. ἀμαθείαν

ΕΠΑΣ ΠΙΡΙΤΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΙΤΣΙΑΣ
Ε.Υ.Δ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἀλλ' ὡς ἔοικε, διὰ τοῦτό σοι ζητεῖν ἔπεισι τῷ μὴ ἀκριβῶς ἡμῶν τηνικαῦτα ἐστοχάσθαι. Οὐκοῦν κἀνταῦθα δίκαιος ἂν εἴης τὰ τῶν συκοφαντῶν ὑπέχειν, ἐκεῖνα διαβαλὼν ὧν μὴ ἀκριβῆ τὴν πεῖραν εἶχες. Πάλιν γὰρ ὁ λόγος ἡμῖν εἰς τὰς σὰς ὥςπερ ἐν κύκλῳ κατέ-
φ. 2α ληξε συλλαβάς. Καὶ μὴν || κἀκεῖνο γέ σου κάκιστον φάσκειν ἡμᾶς
6 αἰτίους τῆς ἐφ' ἡμᾶς ἀναιδοῦς προπετείας καὶ ταύτῃ δὴ λαμπρῶς ἀπολελογῆσθαι δοκεῖν, ὅτι σοι μηδ' ὁπωςοῦν τῶν παρ' ἡμῖν ἐπεδείξαμεν ἐπιστημῶν, πολλάκις ἡμῖν καὶ ταῦτα συνομιληκότι. Εἰ μὲν γὰρ οὐκ εἰδὼς οὐκ ἐπεδείκνυον, ὥςπερ ἐπαίνων, οὕτω δὴ καὶ
10 κατηγορίας οὐκ ἄξιος, καίτοι καὶ τοῦτο μυριάκις ἐπαινεῖσθαι προςῆκον. Τὸ γὰρ εἰδέναι τινὰ ἑαυτὸν καὶ οὕτω τὴν κατ' αὐτόν, ὅ φασιν, ἐλαύνειν πάμμεγα πᾶς τις ἂν συμφήσειε τῶν νοῦν ἐχόντων. Εἰ δ' εἰδὼς ἐπιδεικνύειν οὐκ ἤθελον, μή τινος κατεπείγοντος, διὰ τί με μᾶλλον οὐκ ἐπαίνων, ἀλλὰ κατηγορίας ἀξιοῖς, ἄνθρω-
15 πον τὸ εἶναι τοῦ δοκεῖν προτιμῶντα καὶ τὸ ἀφιλόκομπον στέργοντα; Τὸ γὰρ ἀκαίρως παρρησιάζεσθαι προπετῶν ἀνδρῶν πάντως σημεῖον καὶ σὺ φήσαις ἂν καὶ οἷς τὸ δοκεῖν, κἂν ἀληθείας ἁπῇ, κρεῖττον, κατ' Εὐριπίδην, οἷοί γε πάντως οἱ κατὰ σὲ χολοβάφινοί τινες σοφισταί, κατ' Ἀριστοτέλην, καὶ ὑπόξυλοι, καθ' Ἑρμογέ-
20 νην. Εἰ δ' ἡμῶν ἐπὶ τούτοις σιωπώντων, σὺ κατηγορεῖν δεῖν ἔκρινας, μὴ κατὰ τὴν σὴν διατεθέντων βούλησιν, ὥρα σοι λοιπὸν καὶ τοὺς ἄλλους ἅπαντας τοὺς ἀρετήν τινα μετιόντας διασύρειν, ὅτι μὴ κατ' ἀγορὰν βαδίζοντες δημοσιεύουσι. Εἰ δὲ τοῦτο μᾶλλον ἐκείνοις ἐπίμωμον, καὶ τὸ ἡμέτερον ἄρα ἀνέγκλητον. Ὁρᾷς ὅπως
25 σου κἀνταῦθα τὸ κομψὸν τῆς ἀπολογίας ἀπελήλεγκται μάλα σαθρῶς ἔχον. Οὐκοῦν ἀντέστραπταί σοι καὶ αὖθις τὰ καθ' ἡμῶν σου βέλη. Ἡμῖν μὲν γὰρ μᾶλλον πάντα σοφῶς πέπρακται, σοὶ δὲ βασκάνως εἴρηται.

1. διατοῦτο 2. ἐστοχᾶσθαι 3. συκοφάντων 7. μὴδ 12. ὅ φασὶν 14. διατὶ 18. οἷοι 18-19. χολοβάφηνοι τἷνὲς 20. σιωπόντων 22. ἀρετὴν τινὰ μετἷόντα 25. κἀνταῦθα ἐκ τοῦ κἀνταῦθα ἀπελήλεκται

ΕΘΝΙΚΟ ΙΔΡΥΜΑ ΕΡΕΥΝΩΝ ΙΩΑΝΝΙΝΩΝ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΤΟΧΗ ΕΘΝΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ ΕΛΛΑΔΟΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΣΤΗΜΟΝΙΚΟ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΠΕΤΥΚ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ἤδη δέ σε καὶ ἄλλως ἐξελέγξω φαῦλον ὄντα. Εἰ μὲν γὰρ ἐγὼ σοφόν τινα ἐμαυτὸν καὶ περιττὸν τὰς ἐπιστήμας ἐπηγγελλόμην, σὺ δέ με οὐχ οὕτως ὕστερον ἔχοντα ἐφωράσω, οὐδ' οὕτως ἐχρῆν σε δημοσίᾳ διελέγχειν πειρᾶσθαι, φίλον ὄντα καὶ ἄλλως φιλοσοφίας ἀντιποιούμενον, ἀλλ' ἰδίᾳ παραλαβόντα νουθετεῖν. φ. 2ᵛ
Ἐπεὶ δ' ἡμῶν οὐδεπώποτε τοιοῦτον || φθεγξαμένων ἠκηκόεις, 6
σὺ δ' ὥςπερ ἀκηκοὼς καὶ ἐλέγξας πρότερον, οὕτω δημοσίᾳ θριαμβεύειν ἐπεχείρησας, πῶς οὐκ Εὐρυβάτου καθ' ἡμῶν ἄντικρυς ἔργον τετήρησαι; Ἀλλὰ γὰρ κείσθω καὶ μηδοτιοῦν εἰδέναι με τῶν ἐπιστημῶν κατὰ σέ. Τί οὖν; Παρὰ τοῦτό σοι δεῖ διε- 10
λέγχεσθαι. Οὐκοῦν οὐκ ἐμὲ μόνον· πάντες γὰρ οἱ ἐν τῇ Πόλει παραπλησίως ἐμοὶ τούτων ἀμύητοι. Ἢ τοίνυν κἀκείνους ἀπελθὼν ἐπ' ἀμαθίᾳ διέλεγχε ἢ μηδ' ἐμέ. Εἰ δ' ἐκείνοις φορτικός τις εἶναι δόξεις καὶ ἰταμός, οὕτω προςφερόμενος, καὶ πληγῶν ἂν τύχῃ πειραθησόμενος τῆς ἀναιδείας, δῆλον ὅτι καὶ ἡμῖν τοιοῦτος εἶναι 15
λελόγισαι οἷς πρὸς ἡμᾶς οὕτω διετέθης. Εἰ δ' ἐμὲ μόνον, ὡς δοκοῦντα μὲν, μὴ ὄντα δὲ, διελέγχειν ᾤου δεῖν, ἀλλ' οὐκ ἐξῆν σοι τοῦτο ποιεῖν· πόθεν; ἀνθρώπῳ πέρυσιν μὲν οὔπω κώπης ἡμμένῳ, ὅσον δ' ἄκροις δακτύλοις μαθημάτων, ὅ φασι, γευσαμένῳ. Οὐ γὰρ δὴ κατά τινα τῶν ποιητῶν αὐτομάτως καὶ αὐτὸς ταῖς Μούσαις 20
σοφισθῆναι κομπάσεις. Οὔκουν τοίνυν σοι τοῦτο δέδοται, ἀλλὰ τοῖς ἐπὶ φιλοσοφίᾳ γνωρίμοις καὶ οἷς τὰ τοιαῦτα ἐξετάζειν παρὰ βασιλέως ἢ τῆς ἐκκλησίας ἐπιτέτραπται. Εἰ δ' οὖν σοὶ καὶ τοῦτο δέδοται· δεδόσθω γάρ· ἀλλ' οὐ σκαιῶς οὕτω καὶ ἀναιδῶς ᾗ σύ γε καὶ τοὺς σωφροσύνην ἢ τινα τῶν ἄλλων ἀρετῶν ὑποκρινομένους 25
δημοσίᾳ διελέγχειν ἀξιώσεις, ὅτι μὴ ὡς ἀληθῶς τοιοῦτοι, ἀλλ' ἀντιστήσεταί σοι πᾶς ἀνὴρ, ἀνοήτως ἀξιοῦντι. Ἔπειτά γε φῆς μηδέν σοι καινὸν ἐξηυρῆσθαι καθ' ἡμῶν, τὰ κάκιστα καὶ ταῦτα

2. ἐπηγγέλόμην 9. τετύρησαι μὴδ' ὁτιοῦν 10. τοῦτο
13. μὴδ' 15. πειραθησόμενος πειρασόμενος δηλονότι 18. πέρισυν
20. δῆ 21. κομπάσεις ἐκ τοῦ κομπάσης 26. δημοσία ἐκ τοῦ δημόσια

ΕΘΝΙΚΗ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΗΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΠΛΩΜΑΤΙΚΗ ΣΥΛΛΟΓΗ ΜΟΕΛΛΕΡΟΥ ΜΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

εἰρηκότων κατὰ σοῦ. Ταῦτα δ' ὅτι πάντα ψευδῆ, ἐντεῦθεν καὶ δὴ πάρεστι σκοπεῖν. Ἃ μὲν γὰρ εἴρηκας σὺ καθ' ἡμῶν, ταῦτα καὶ ἀγοραὶ καὶ πλατεῖαι καὶ τρίοδοι καὶ ἐκκλησίαι διαρρήδην μαρτυρήσουσιν, ἐνταῦθα μὲν μόνος, ἐκεῖ δὲ μετὰ τοῦ σοῦ διδασκάλου
5 τὰ ἀπόφημα καθ' ἡμῶν ἐρευξάμενος. Ἃ δὲ ἡμῖν εἴρηται κατὰ
φ. 3α σοῦ οὐδεὶς ἐμαρτύρησεν, οὐ μικρός, οὐ μείζων· οὐ γὰρ εἴρηται· ‖ ἐπεὶ παρίτω, ἐξελεγχέτω, καὶ πάντα ἐγὼ φαῦλος παραπλησίως σοι διατεθείς. Εἰ γάρ ποτε καὶ εἰρήκαμεν, οὐκ ἀπροσδιορίστως καὶ ἀποφαντικῶς οὕτωςίν, ἀλλ' ἀεὶ τὸν ἂν ἢ τὸν εἰ προστιθέντες
10 σύνδεσμον, εἰ οὕτω φρονεῖν Γεώργιον λέγοντες, ὥςπερ καὶ διείλεκται, ἀνὴρ δυςσεβής. Καὶ διὰ τοῦτο ὅμως ἑκὼν διαβάλλεις, ἵν' εὐλόγως δοκῇς λέγειν ἃ καθ' ἡμῶν λέγεις, ἐοικότα δήπου τοῖς σοφισταῖς, οἱ, τὰ ψευδῆ ὡς ἀληθῆ συμπεραίνειν βουλόμενοι, ἀμφιβόλους τινὰς ἀρχὰς ὡς ὁμολογουμένας ὑποτίθενται. Χάριεν δέ
15 σου καὶ τῷ τὸ γένος ἐθέλειν τιμᾶν φάσκειν μηδὲν καθ' ἡμῶν ἐξευρεῖν ἀνθ' ὧν ἡμεῖς ἐπικεχειρήκαμέν σοι, ὥςπερ οὐκ αὐτὸς ὢν ὁ τό γε ἧκον εἰς σὲ πρότερον μὲν ἐν ἐκκλησίᾳ δι' ἐμοῦ, εἶτα δὴ καὶ ἐπ' ἀγορᾶς λαμπρότερον κήρυκος ἀτιμάσας καὶ μηδὲ τὸ ἄλφα τοὺς Κωνσταντινουπολίτας εἰδέναι ἀποφηνάμενος. Ἐφ' οἷς
20 ἄρα μοι καὶ δακρύειν ἐπῆλθε, τήν τε τοῦ γένους κακοδαιμονίαν λογιζομένῳ καὶ οἵους φεῦ ἐν ὀνείδει γέγονε. Τίνα δὲ καὶ ἅπερ ἡμῖν ἐπισείεις πρὸς θεοῦ οἷς, εἰ ἐβούλου, τὰ μέγιστα βλάψαι ἡμᾶς ἠδυνήθης ἄν; Λεγέσθω γὰρ ἡμῖν, ἵν' εἰδότες ἱκέται γενώμεθά σου, τῶν γονάτων ἐφαψάμενοι, εἰ βούλει δὲ καὶ τοῦ γενείου,
25 ἵν' ἐπὶ τούτοις ἡμῖν ἵλεως γένοιο. Δύςτηνε, ποῖ ποτ' αὐτὰ βλέπων καὶ θροεῖς, ἔφη τις, Τεῦκρος, οἶμαι, πρὸς Ἀγαμέμνονα.

9 ἀεὶ τὸ εἰ 11. διαβάλεις 12. λέγειν ἐκ τοῦ τὸ πρῶτον γραφέντος λέγων 14. τῖνας διαὐποτίθενται 15. τιμᾶν 18. μὴδὲ 19. ἄλφα ἰδέναι ἀποφηνάμενος 21. λογιζωμένω ὀνδει νει 22. ἐπισείης 26. θροοῖς ἐκ τοῦ τὸ πρῶτον γραφέντος θροεῖς τὶς

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ἆρ' οὐκ αἰσχύνῃ μειρακύλλιά τινα καθάπερ ἡμᾶς μορμολύττων; Σὺ βλάψαι ἡμᾶς δύναιο ἂν, καὶ πόθεν ἢ πῶς; Οὐκ οἶδα, εἰ μὴ ξίφει τινὶ λάθρα διαχειρίσασθαι ἡμᾶς ἐπαπειλεῖς. Ἀλλ' εἰ τοῦτο, ποίει ὅταν βούλῃ, καὶ σοῦ τῇ θαυμαστῇ φιλοσοφίᾳ τοῦτο καθάπερ τις κορωνὶς ἐπιτεθείσθω. Τὸ δὲ δὴ καὶ συνεχῶς ἔν τε τοῖς ἄλλοις κἀν τοῖς πρὸς ἐμέ σου δὲ τὰ νῦν ψελλίσμασι ἐπανελίττειν μηδὲν εἰδέναι με πῶς οὐ καταγέλαστον; Δοκεῖς γάρ με τῇδε λυπεῖν· ἐγὼ δὲ τοσοῦτον ἀπέχω τοῦ λυπεῖσθαι, ὥστε καὶ πρὸ σοῦ μηδὲν εἰδέναι με αὐτὸς ὁμολογῶ, κἂν καὶ σύ με ῥητορικὸν μόνον ἴσως καὶ ποιητικὸν χαρίζῃ. Οἶδα δὲ καὶ Σωκράτην ἐκεῖνον τὸν πάνυ οὐ||δέποτε αὐτὸν σοφὸν, ἀλλὰ φιλόσοφον καλοῦντα, τὸ φ. 36 μηδὲν εἰδέναι πάντως ἐντεῦθεν αἰνιττόμενον, καὶ ταῦτα παρὰ τῆς Πυθίας ἀπενεγκάμενον τὴν ψῆφον, ὡς σοφώτατος εἴη ἀνδρῶν· καὶ, ὡς ἔοικεν, ἡ Πυθία, τῆς δόξης ἀγαμένη τὸν ἄνδρα, σοφώτατον αὐτὸν προσείρηκεν, μονονουχὶ τοῦτο βοῶσα, ὡς οὗτος ἀνθρώπων σοφώτατος ὅστις ὥσπερ Σωκράτης ἔγνωκεν, ὅτι οὐδενὸς ἄξιός ἐστι τῇ ἀληθείᾳ πρὸς φιλοσοφίαν. Καὶ μὴν, εἴ μοι βουλομένῳ λέγειν ἦν εἰδέναι, ἔλεγον ἂν ἀληθῶς, καὶ οὐχ ὥσπερ ὑμεῖς, οἱ εἰδέναι μὲν ἐπαγγελλόμενοι, μηδὲν δὲ εἰδότες. Καὶ γάρ καὶ φροντιστηρίοις παιδόθεν ἐφ' ἱκανὸν ἐφοίτησα χρόνον, καὶ διδασκάλων ἠκροασάμην μέγα ἐπὶ σοφίᾳ βεβοημένων καὶ φύσεως ἔτυχον οὐκ ἀγενοῦς καὶ ῥαθύμου καὶ μαθημάτων ἀποχρώντως ἡψάμην καὶ πολλὴν περὶ ταῦτα σπουδὴν εἰσηνεγκάμην, καὶ Ἀριστοτέλει δὲ καὶ Πλάτωνι διαρκῶς συνεγενόμην, κἀπειδὴ καὶ εἰς ἄνδρας ἐτέλεσα,

1. μειρακύλλια τινὰ 3. λάθρα διαχειρίσασθαι ἐκ τοῦ διαχειρήσασθαι 4. βούλει 5. τὶς κορωνὶς δὴ καὶ συνεχῶς 6. κἀν τανῦν ψελίσμασι 7. μηδὲν ἐκ τοῦ μὴδὲν 11 αὐτὸν 16. ἄξιος ἐστὶ 17. εἰ 18. ἡμεῖς ἐκ τοῦ τὸ πρῶ ον γραφέντος ὑμεῖς 19 ἐπαγγελλόμενοι μετὰ τὸ δεύτερον ε διαξεσθέντος γράμματός τινος, ι πιθα·ῶς, ἅτε τοῦ βιβλιογράφου σκοποῦντος ἴσως να γράψῃ τὸ πρῶτον ἐπαγγειλάμενοι μὴδὲν φροντιςηρίων 20. ἐφικανὸν 23. εἰσενεγκάμην

ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΙ ΚΑΤΕΥΘΥΝΤΗΣ ΑΝΑΠΤΥΞΙΑΚΗ ΕΡΓΑΣΙΑ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

διδασκαλείου προστῆναι ἠξιώθην παρὰ βασιλέως, καὶ ταῦτα σοφωτάτου, ἔνθα πολλοὶ καὶ τῶν ἐξ Ἰταλίας σοφῶν ἡμῶν ἀκηκοότες ἐπήνεσάν τε καὶ τὴν περὶ λόγους ἡμῶν ἐπιστήμην ἠγάσαντο, καὶ μάλιστα ἦν περὶ τὰ φυσικὰ καὶ τοὺς συλλογισμοὺς Ἀριστοτέλους
5 ἐπεδείκνυμεν, εἰ καὶ ὕστερον, ἄλλοτε ἄλλαις συμφοραῖς χρησάμενοι, τούτων ὠλιγωρήσαμεν. Καὶ τοιοῦτος ὢν, ὅμως οὐδέποτέ μοι παρέστη διὰ ταῦτα μεγαλοφρονῆσαι καὶ σοφόν τινα ἐμαυτὸν οἰηθῆναι, οὐδὲ τοὺς ἄλλους ἐξελέγχειν πειρᾶσθαι μὴ εἰδέναι, ἐμὲ δὲ μόνον οἴεσθαι εἰδέναι, οὐδὲ σοβαρῶς κατ' ἀγορὰν ἐμβάλλειν
10 καὶ διαλέξεών τινων ἐπιδείξεις ποιεῖσθαι, ὡς ἂν ὑπὸ τῶν ἀνθρώπων θαυμαζοίμην. Ταῦτα γὰρ σπερμολόγων τινῶν καὶ ἀγοραίων καὶ ἔτι γε Κερκώπων, οἱ, ῥημάτιά τινα τρία ἢ τέτταρα τῶν Ἀριστοτέλους ἐκμελετήσαντες, καὶ ταῦτα περικεκομμένως οὕτω καὶ βαρβάρως, ἐπ' ἀγορᾶς ὁσημέραι περιίασι, τούτοις αὐτοὺς εἶναι
15 σοφοὺς ἐπιδειξάμενοι, ἀλλ' ὡς κατὰ Πλάτωνα πολιτικῆς μορίου εἴδωλα. Οὐδὲν οὖν ἐδόκει μοι καλὸν οὕτως ἔχειν, ἀλλ' ἦν συνελε-
φ. 4α ξάμην σοφίαν ἠρέμα κατέχειν, καὶ, ὅταν ἀ||γώνων καλοίη καιρὸς, τηνικαῦτα δεόντως κεχρῆσθαι. Καὶ γὰρ καὶ στρατιωτῶν ἐκεῖνος ἄριστος οὐχ ὃς, ἀπόντων τῶν πολεμίων, κατὰ μέσην τὴν λεω-
20 φόρον περιιὼν μάχεται, ἀλλ' ὅστις, τούτων ἐμβεβληκότων, εἰς μέσους αὐτὸν ἐλάσας, οὕτως αὐτοῦ τὴν στρατιωτικὴν ἐμπειρίαν δείκνυσι. Καὶ ταύτῃ μὲν ἔμοιγε τὸ σιωπᾶν τοῦ λέγειν ἀνάγκης ἄνευ προκέκριται. Σὺ δὲ, τὸν τρόπον εἴθ' ἑκὼν εἴτε καὶ ἄκων ἀγνοῶν τῆς σιωπῆς, ἀμαθίαν τὸ πρᾶγμα καλεῖς. Ἤπου σὺ δὲ καὶ

1. διδασκαλείου ἐκ τοῦ τὸ πρῶτον γραφέντος διδασκαλίου ἠγήσαντο 3. ἐπήνεσαν ἡμῖν ἐθαύμασαν 6. ὀλιγωρήσαμεν οὐδέποτε 7. διαταῦτα 9. καταγορὰν ἐμβάλειν 10. διαλέξεων τινῶν 12. ῥημάτια ἔχει ὀξεῖαν διαγεγραμμένην ἐπὶ τοῦ η, τοῦ βιβλιογράφου σκοποῦντος νὰ γράψῃ τὸ πρῶτον ῥήματα 13. ἐκμελετήσαντα 14. αὐτοὺς 16. συνελλεξάμην 17. ἠρέμα 19. οὐχ' 21. αὐτὸν αὐτοῦ 22. σιωπᾷν 23. ἑκὼν εἴτε καὶ ἄκων εἴτε καὶ ἄκων 24. ἀμαθείαν σὺδε

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τοῖς Πυθαγορείοις ἀμαθίαν ἐνεκάλεις ἂν, ὅτι περ σιωπὴν ἐπὶ πεν-
ταετίαν ἤσκουν, καίτοι πότερος ἀνεπιστήμων πρότριτα ἐπ' ἐκκλη-
σίας, καὶ δὴ λαμπρῶς, ἐξελήλεγκται, ἐκεῖνά σου περὶ θεοῦ δια-
λεχθέντος, ἐφ' οἷς σου πάντες πλατέως κατεγέλασαν, εἰ καὶ μετὰ
ταῦτα, τὴν τῶν ληρηθέντων σοι μεταμαθὼν βλασφημίαν, δοκι- 5
μάζων ἡμᾶς ἔφης ταῦτ' εἰρηκέναι. Καὶ νῦν ἤδη σοι τὴν ἐκεῖθεν
προστριβεῖσαν αἰσχύνην ἀποξῦσαι βουλόμενος, ἡμᾶς μὴ εἰδέναι
λέγεις, ἄνω ποταμῶν κατὰ τὴν παροιμίαν ἄντικρυς, καὶ δὴ καὶ
διαλεχθῆναι ἡμῖν τάχα νῦν προσποιῇ, ἀπόπειραν ληψόμενος δῆθεν
τῆς ἡμῶν περὶ τὰ μαθήματα ἐπιστήμης. Ἀλλ' οὐκ ἔμοιγε χρεία 10
παρὰ σοῦ νῦν δοκιμάζεσθαι· ἤδη γὰρ δεδοκίμασμαι παρ' ὧν ἔδει.
Παραινῶ δή σοι, Γεώργιε, τῆς πρὸς ἐμέ σου προσποιήσεως ἀπο-
στῆναι, καὶ μή μ' ἐρέθιζε, σαώτερος ὥς κεν ναίηαι, ἐπεὶ σφηκιὰν
ἐρεθίζων ἴσθι κατὰ σοῦ· ὑφ' οὗ καὶ δέδοικα, μή, τὴν λεοντῆν
ἀφαιρεθείς, θᾶττον τὸν ὑποκρινόμενον δημοσιεύσῃς, κἀντεῦθεν δὴ 15
καὶ τῶν ῥοπάλων πολλῶν ἐμφορηθείης, εἰ καὶ ἄλλως σοι τὸ
συνδιαλέξεσθαι σοὶ μὲν ἴσως τιμὴν, ἐμοὶ δ' ἀτιμίαν οἴσει.

Ταῦτα καὶ παρ' ἡμῶν ἀπολελόγηται, καὶ ἴσως μετριώτερον
ἤ περ ἔδει. Τῷ γὰρ δὴ σοφῷ πεπεισμένος Σοφοκλεῖ, ἐς τὸ σὸν
δ' ἐχθραντέος εἶναι βούλομαι, ὡς καὶ φιλήσων αὖθις. Εἰ δὲ καὶ 20
σκληρά σοι τὰ λεγόμενα δόξειαν, ἀφεὶς τοὺς κήρυκας, αἰτιῶ τὸν
Ἀγαμέμνονα· ὁ γὰρ τὸ σπέρμα παρασχὼν, ἔφη Δημοσθένης, οὗ-
τος καὶ τῶν φύντων αἴτιος.

---

1. πυθαγορίοις ἀμαθείαν 3. ἐξελήλεκται ἐκεῖνα
7. ἀποξύσαι 9. ἀπὸ πεῖραν 10. οὐκαίμοιγε 13. σφηκίαν
14. ἐρεθίζων λεοντὴν 15. θάττον κἀντεῦθεν
16-17. τὸ σὺν διαλέξεσθαι 19. τὸ γὰρ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ἀνέγνων σου καὶ ταῦτα τὰ γράμματα, σοφώτατε Γεωργιε, ἢ, τό γε ἀληθέστερον εἰπεῖν, τὰ τραύματα, καὶ κατέγνων σου τὰ νοήματα ἢ ληρήματα, ἐξ ἐπηρμένης ἢ μᾶλλον εἰπεῖν σεσημμένης καὶ σαπρᾶς τῆς διανοίας προϊόντα, καταγέλαστά τε ὄντα καὶ πάσης αὐθαδείας ἢ μᾶλλον εἰπεῖν κωμικῆς βωμολοχίας ἀπόζοντα. Τοσοῦτον καὶ γὰρ αὐτοῖς περιῆν ἀπὸ βορᾶς, ὥςτ' ἔμοιγε καὶ λεκάνης ἐδέησεν ἀκούοντι ἵν' ἐμέσω· οὐ γὰρ ἔγωγ' ἠνεσχόμην ἀναγνῶναι. Ἐντεῦθεν τοίνυν καὶ τὴν κεφαλὴν ἀλγήσας, οὐκ ἔσχον ἐπὶ πλέον ἐκτεῖναί σοι τἀντίγραφα, ὡς ἔδει. Δέχου δὴ τὰ παρόντα τό γε νῦν, καθάπερ κήρυκα· μικρὸν γὰρ ὕστερον ἀφίξεται καὶ ὅσα σοι πρὸς ἔπος ἀπολογήσασθαι χρὴ τῇ φιλολοιδόρῳ κεφαλῇ. Πάντως δ' ὁποῖον κ' εἴπησθα ἔπος, τοῖον κ' ἐπακούσαις, Ὅμηρός φησιν, Ἔρρωσο καθ' ὁπότερον ἂν βούλοιο τούτου σημαινόμενον.

---

1. Ἐν τῇ ἐπιγραφῇ τὸν προςεθηκα 2. Εν τῷ κατέγνων τὸ κ προςετέθη κατόπιν μετὰ διάξεσιν 7. ἀκούοντ' Ἐν τῷ ἐμέσω τὸ ἐν ἀρχῇ ε διωρθωμένον ἐκ τοῦ τὸ πρῶτον πιθανῶς γραφέντος α 9. ἐπιπλέον ἐκτεῖναι τ'ἀντίγραφα 11. Ἄνωθεν τοῦ βραχυγραφικῶς γεγραμμένου πάντως γέγραπται : ἀλλ' οὐδὲν προςετέθη ἐν τῇ ᾧᾳ ἀντιστοιχοῦν πρὸς τοῦτο τὸ σημεῖον 12. κεἴπησθα ὅμηρος φησιν 13. καθοπότερον

ΕΘΝΙΚΟ ΙΔΡΥΜΑ ΕΡΕΥΝΩΝ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝΑΚΑΛΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

‖ [ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ] φ. 4ᵇ

Ἐδεξάμην σου, Γεώργιε, καὶ ταύτην τὴν μακρὰν ἀδολεσχίαν· οὐ γὰρ δίκαιον ἐπιστολὴν ταύτην προσειπεῖν, οὕτω μὲν βαρβάρως ἔχουσαν περὶ τὴν φράσιν, οὕτω δ' ἀνόητα καὶ φρενοβλαβῆ διομιλοῦσαν. Ὅμως δ' οὖν ἐπῄειν δεξάμενος· τί γὰρ ἔδει ποιεῖν, ἅπαξ εἰς χεῖρας ἐμπεσοῦσάν μοι; Οὐκοῦν τὰ μὲν ἄλλα τῶν ληρημάτων αὐτῆς, ὅσοις ἐντυχὼν μικροῦ δεῖν ἐμέσαι κεκινδύνευκα, τί χρὴ λέγειν, πάσης ἀηδίας καὶ ἀμουσίας καὶ βαρβαρότητος ἔμπλεα καὶ ὄντως γε κατὰ τὸν κωμικὸν σκαλαθυρμάτι' ἄττα ὄντα; Ἐπεὶ δὲ καὶ πρὸς ἐκεῖνά σου γενοίμην τῆς ἐπιστολῆς τὰ ἀγάλματα, ἐν οἷς δήπου καὶ συλλογισμοῖς τάχα κεχρῆσθαι φαίνῃ καὶ συμπεραίνειν ἐπιχειρεῖς, ἐνταῦθα δή σε καὶ πάνυ τῆς ἀμαθίας ἅμα καὶ εὐηθείας κατέπτυσα ἢ μᾶλλον εἰπεῖν ἠλέησα, ἀγρότην τινὰ περὶ ταῦτα παντάπασι καὶ σκαπανέα καὶ, τὸ πᾶν εἰπεῖν, βάρβαρον κατειληφώς· ἐφ' οἷς ἄρα καθ' Ὅμηρον καὶ λέγειν ἐπικαίρως ἐπῄει ‖ φ. 5ᵃ
μοι· Θερσῖτ' ἀκριτόμυθε λιγύς περ ἐὼν ἀγορητὴς ἴσχεο μηδ' ἔθελ'

1. ἀδολεσχίαν ἐν δὲ τῇ ᾧᾳ τὸ τῆς ἀδολεσχίας ὄνομα ὁμώνυμον ἐστίν· ἐνταῦθα ἀντὶ τῆς φλυαρίας εἴληπται: 5. ἐμπεσοῦσαν 7. ἀηδείας 8. κωμῳκὸν ἐν δὲ τῇ ᾧᾳ : ἤγουν ἀριστοφάνη σκαλαθυρμάττιάττα ἐν δὲ τῇ ᾧᾳ ∴ μικρὰ καὶ εὐτελῆ παίγνια 9. ἐκεῖνα 11. ἅμα 15. θερσίτ' ἀκριτομυθολιγὺς ἐν δὲ τῇ ᾧᾳ ἄνευ παραπεμπτικοῦ σημείου ἀπεραντόλογος ὀξὺς κατὰ τὴν φωνὴν ἀγορητὴς ἐν δὲ τῇ ᾧᾳ :δημηγόρος ἴσχεο ἐν δὲ τῇ ᾧᾳ ἔπεχε σαυτὸν

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

οἷος ἐριζέμεν ἀνδράσιν οἳ σέο φέρτεροί εἰσι. Καίτοι σε πρότερον ἀκούων τὴν ῥητορικὴν κακίζοντα καὶ τέχνην αὐτὴν ἀπαξιοῦντα καλεῖν, ᾤμην εἶναί τινα περὶ ταῦτα· νῦν δέ σε τῆς μὲν ῥητορικῆς ἀκριβῶς ὑπέλαβον κατηγορεῖν τῷ γε μὴ τῆς ἀκριβείας ἐκείνης
5 ἐφικέσθαι δύνασθαι πάχει τοῦ νοῦ, περὶ δὲ ταῦτα ὄνον πρὸς λύραν ἄντικρυς κατὰ τὴν παροιμίαν. Πρὸς γὰρ τοῖς ἄλλοις σου ταυτὶ τὰ τερατώδη ληρήματα, οἷς σὲ αὐτὸν διαλεκτικὸν ἐμφαίνειν ἐπιχειρεῖς κἀποδεικτικόν, καὶ τὸ σοφιστὴν εἶναί σ' ἀφαιρεῖ, καίτοι βουλόμενον μὲν εἶναι τοιοῦτον καὶ μάλα τούτου ἱμείροντα,
10 τυγχάνοντα δ' οὖν ἥκιστα βραχύτητι νοῦ καὶ ἀπορίᾳ τέχνης. Ἀλλὰ γὰρ τὰ περὶ τούτων ἀναβεβλήσθων ἔτι. Ἐκεῖνο δέ πως οὐκ ἐνενόηκας, ὦ βεκκεσέλινε, ὅτι περ οὐ λήσειν ἡμᾶς ἔμελλες κλέπτων τὰ ἡμέτερα καὶ ταῦτα τοῖς σοῖς προστιθεὶς γράμμασι κατὰ τὸν ἐν τοῖς μύθοις κολοιὸν, καίτοι, εἰ μὲν ἄμουσος ἐγώ τις
15 κατὰ σέ, τί τοῖς ἐμοῖς ἐγκαλλωπίζῃ πτεροῖς, εἰ δὲ ταῦτά σοι δοκοῦσι καλά, τί μὴ καὶ ἐμὲ τοιοῦτον εἶναι ὁμολογεῖς; Ἀλλ', ὡς ἔοικε, λόγοις μὲν ἡμῶν ἠβουλήθης τὴν ἐπιστολὴν διασῦραι, ἔργοις δὲ βεβαιοῦν, ὅτι καλὴ, καὶ τούτου χάριν τὰ πλεῖστα τῆςδε συλήσας τοῖς σοῖς ἐνέθηκας γράμμασι. Καὶ δή σοι χάριν εἴσομαι
20 πολλὴν τῆς κομψῆς σου ταυτησὶ μαρτυρίας, δι' ἧς καὶ σεαυτὸν

1. οἷος φέρτεροί ἐν δὲ τῇ ᾧᾳ ἤγουν ἰσχυρότεροί σου κατὰ τὸ λέγειν· ἔστι δὲ τοῦτο τὸ σχῆμα καθ' ἑρμογένην, κόλλησις 5. ὄνον ∴ ἐν δὲ τῇ ᾧᾳ ∴ παροιμία ἐπὶ τῶν μὴ αἰσθανομένων τινῶν πραγμάτων ἢ λόγων· παρόσον οὐδὲ ὁ ὄνος αἰσθάνεται τῆς λύρας μελῳδίας:+ 6. ἄντικρυς ἐν δὲ τῇ ᾧᾳ ἤγουν φανερῶς κατὰ ἀλήθειαν 8. εἶναι 9 +ἱμείροντα ἐν δὲ τῇ ᾧᾳ +ποιητικώτερον καρτερήσθω ⌒ 11. ἀναβεβλήσθων ἐν δὲ τῇ ᾧᾳ ⌒ ἤγουν ἀναβεβλήσθωσαν ἀττικῶς ἤγουν ἀρχαῖε μωρὲ 12. βεκκαισέλινε 15. ταῦτα 17. διασῦραι 20. κομψῆς ἐν δὲ ᾧᾳ ⊹ καὶ τοῦτο ὁμώνυμον· πλὴν ἐνταῦθα ἀντὶ τοῦ κεκομψευμένης καὶ πιθανῆς εἴρηται· ἔστι δὲ ὁ λόγος εἰρωνικός

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΦΙΛΟΣΟΦΙΑΣ ΔΕΠΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΑΝΕΓΝΩΣΜΕΝΟ ΑΝΤΙΤΥΠΟ ΤΗΣ Α.Ν. ΚΑΛΟΓΕΡΟΠΟΥΛΟΥ ΚΑΘΗΓΗΤΗ ΙΩΑΝΝΙΝΩΝ Θ. ΠΕΤΡΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ψεύστην ἀπέφηνας μάλα λαμπρῶς, ἀδίκως ἅπαντα τὰ κατ' αὐτῆς εἰπόντα, καὶ ἔγωγ', εὖ ἴσθι, μυρίους ἂν ηὐξάμην τοιούτους ἔχειν κατηγόρους, παρ' ὧν ἂν τοιούτους ἐδεχόμην τοὺς ἐπαίνους ἐν σχήματι κατηγορίας, ὁποίους ἄρα καὶ παρὰ τῶν σῶν ἠκηκόειν γραμμάτων, ἐπεὶ καὶ τοῖς κατὰ προαίρεσιν ἡμᾶς ἐπαινέσασι πάντως 5 ἄν τις καὶ παρ' ἡμῶν χάρις ὀφείλοιτο. Νῦν δὲ τοῖς κατὰ σὲ οὐδὲ τοῦτ' εἰς ὀφειλὴν καταλείπεται παρὰ τῶν ἐπαινουμένων· πᾶν γὰρ τὸ μὴ κατὰ προαίρεσιν, ὥςπερ ‖ κατηγορίας, οὕτως οὐδ' ἐπαίνων φ. 5ᵇ ἀξιοῦται, εἰ μήπου γέ τις ὀφειλὴν αὐτοῖς εἶναι φήσειε τὸ ἐλεεῖν σφᾶς τῆς εὐηθείας ἅμα καὶ ἠλιθιότητος, ὥςπερ οὖν καὶ αὐτός σοι τὰ 10 νῦν ἀντὶ τοῦ χάριν ἔχειν τῶν ἐπαίνων μᾶλλον ἐλεῶ τῆς εὐηθείας.

Ὡς ἂν δέ σε μὴ καὶ διαβάλλειν δόξωμεν ψευδολογίαις δῆθεν τἀληθὲς παρασύροντες, φέρε καὶ σὲ μάρτυρα τοῖς λεγομένοις παράξωμεν. Λέγω δὲ τὰ πρὸς ἐμέ σου γραφέντα, ὡς ἂν αὐτὸς εἴποις, ῥήματα. Εὐθὺς γὰρ τῆς ἐπιστολῆς ἀρχόμενος οὑτωσί πως προοι- 15 μιάζῃ· *ἀνὰ χεῖράς σου λαβὼν τὴν ἐπιστολὴν μικροῦ δεῖν καὶ τῆς πρότερόν μου περὶ σοῦ δόξης ἐκπέπτωκα παντελῶς*, εἶθ' οὕτω καὶ τὰ πρὸς κατασκευὴν ἐπάγεις τοῦ χωρίου. Σκόπει τοίνυν, ὦ πρὸς θεοῦ, ὅπως οἷς ἐβούλου τἀναντία εἴρηκας, καὶ, κατηγορῆσαι ἡμᾶς προθέμενος, πάνυ λαμπρῶς ἐπήνεσας. *Μικροῦ γὰρ δεῖν*, φῆς, *καὶ* 20 *τῆς πρότερόν μου περὶ σοῦ δόξης ἐκπέπτωκα παντελῶς*, ὡς δῆλα δὴ μὴ πεπτωκὼς, κινδυνεύσας μέντοι τοῦτο παθεῖν· οὕτω γὰρ νοεῖν δίδωσιν ἡμῖν ἡ τοῦ *μικροῦ δεῖν* πρόσθεσις. Ἀλλὰ σοὶ πάντως τοὐναντίον εἰπεῖν προέκειτο· δηλῶσαι γὰρ βουλόμενος ὅπως τῆς πρότερόν σου περὶ ἐμοῦ δόξης ἐκπέπτωκας, αὐτὸς οὐκ 25 οἶδ' ὅπως τῶν φρενῶν ἐκπεπτωκώς, καθάπερ τις νυμφόληπτος,

4. ἠκακόειν τοῦ διορθουμένου α διαγραφέντος 6. ὀφείλετο
10-11. τανῦν 16. χεῖρας 22. δηλαδὴ 26. καθάπέρ
νυμφόλῆπτος ἐν δὲ τῇ ὥᾳ ·· νυμφόληπτοι (ἐκ τοῦ τὸ πρῶτον γραφέντος νυμφόληπτος), παρ' Ἕλλησιν οἱ ὑπὸ τῶν νυμφῶν τῶν θεῶν κατειλημμένοι· οὓς νῦν μαινομένους ἡμεῖς καλοῦμεν ἢ καὶ ἐνθουσιῶντας

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τῇ ἀληθείᾳ, καὶ ἄκων ὡμολόγησας φρονίμους ἡμᾶς καὶ συνετοὺς καὶ δεινοὺς ὡς δεῖ χρῆσθαι τοῖς συμβαίνουσιν ἡγούμενος, ὡς αὐτός γε φής. Ὁρᾷς ᾗ σε τὸ περιττὸν τῆς φιλοσοφίας ἤγαγε, ὦ λῷστε, ὡς ὀλίγου δεῖν μηδὲν τῶν παραπλήγων διαφέρειν. Ἧρκει
5 μὲν οὖν τοῦτο καὶ μόνον εἰς μέσον παρενεχθὲν τὴν τῆς σῆς ἐπιστολῆς ἅπασαν παραστῆσαι ἀγροικίαν, ὡς ἐκ τῆς ἀρχῆς δῆλον εἶναι καὶ τὸ πέρας· ὧν γὰρ ἡ ἀρχὴ ἀδόκιμος, τούτων καὶ τὸ πᾶν ἀπόβλητον.

Νῦν δὲ καὶ ἕτερον εἰς μέσον προθεῖναι βούλομαι, οὐχ ἧττον
φ. 6α τοῦ προτέρου καταβοῶν σου τὴν περὶ λόγους ἀγροικίαν Ἐκεῖνο‖
11 μὲν γὰρ κατὰ διάνοιάν σε καὶ μόνον σολοικίζοντα διελέγχει· τοῦτο δὲ μετ' ἐκείνης καὶ κατὰ τὴν λέξιν. Μικρὸν γὰρ παρακατιὼν, ἔτι τῆς κατασκευῆς ἐχόμενος τῶν θαυμαστῶν σου προοιμίων, φῆς *Νυνὶ δὲ καὶ τουτὶ τὸ δεύτερον τὰ καλά σου παρ' ἡμῶν ἀφῄρηται*
15 *γράμματα*. Ὁρᾷς ὅσον σου κἀνταῦθα τὸ ἁμάρτημα. Ἀττικίσαι γὰρ βουλόμενος καὶ καινοπρεπὲς δῆθεν σχῆμα ἀπεργάσασθαι, σκυθικῶς τὴν λέξιν συντέταχας, ὥστε ἡμᾶς μὲν κἀνταῦθα οὐ τοῖς τυχοῦσιν ἐπῄνεσας, σαυτὸν δὲ τὰ μέγιστα ἔψεξας, ἀνόητον δή
20 τινα καὶ ἀμαθῆ καὶ μηδ' ὁπωσοῦν τῶν καλῶν σου συνιέντα γραμμάτων ἐναργῶς ἀποφήνας· οὔ τοὐναντίον πάντως ἐβούλου. Τὸ

4. λῷ·ε·+· ἐν δὲ τῇ ᾧᾳ ·+· καὶ τοῦτο κατ' εἰρωνείαν ἔστι γὰρ ἡ προσφώνησις αὕτη, φιλοσόφοις μάλιστα χρήσιμος ἀντὶ τοῦ ὦ βέλτιστε ὀλίγον 10. ἐκεῖνο ἐν δὲ τῇ ᾧᾳ ἤγουν τὸ μικροῦ δεῖν 14. τουτο ἐν δὲ τῇ ᾧᾳ : ὃ μέλλω εἰπεῖν δηλαδὴ πταῖσμα 15. ἁμάρτημα ἀττικίσαι ἐν δὲ τῇ ᾧᾳ ἔθος γὰρ τοῖς ἀττικοῖς ἀρσενικοῦ καὶ θηλυκοῦ καὶ οὐδετέρου γε τὰ τρίτα τῶν πληθυντικῶν λέγειν ἀττικῶς (διαγεγραμμένον) ἑνικῶς ἃ καινοπρεπῆ λέγεται ὡς τὸ ἡσιόδειον ἔχει ἐν οὔρεσι δὲ δρύες ἄκρη μέντοι φέρει βαλάνους μέσα δὲ μελήσας (sic) καὶ ὅσα τοιαῦτα 20. μὴδ' 21. ἀποφήνας

ΙΔΡΥΜΑ ΜΕΓΑΛΟΥ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΕΡΕΥΝΩΝ ΙΣΤΟΡΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΙ ΕΠΙΣΤΗΜΩΝ ΕΛΛΗΝΙΚΗΣ ΔΙΑΣΠΟΡΑΣ ΙΩΑΝΝΙΝΑ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

γὰρ *ἀφῄρηται* οὐ πρὸς *τουτὶ τὸ δεύτερον* ἀποδέδοται, ἀλλ' ὅτι παρὰ σοῦ ταῦτ' ἀφῃρέθησαν· οὕτω γὰρ τὸ *ἀφῄρηται* πληθυντικῶς λαμβανόμενον παρὰ τοῖς καὶ ὁπωσοῦν λόγου μετέχουσιν εἴληπται· εἶχε δ' ἂν ἐντελῶς καὶ κατὰ τὸν σὸν ὁ λόγος ἀπέβη σκοπὸν, ὦ μάταιε, εἰ οὕτω πως τὴν λέξιν προήνεγκας· *Νυνὶ δὲ καὶ τουτὶ τὸ δεύτερον τὰ καλά σου παρ' ἡμῶν ἀφῄρηκε γράμματα.* Ταύτῃ γάρ σοι καλῶς καὶ τὸ καινοπρεπὲς ἀπείργαστο σχῆμα καὶ τὸ πρότερον τῇ θέσει κῶλον, ἢ, εἰ βούλει γε, τὸ κόμμα, οὐκ ἀργὸν οὐδ' ἀπρακτον ἔμεινεν ὡς νῦν γε πρὸς τὸν σὸν σκοπὸν, οὐδ' ἡντινοῦν ἀπαρτίσαν φαίνεται διάνοιαν. Ἀλλὰ μὴν καὶ τὸ *παρ' ἡμῶν εἰπεῖν ἀφῄρηται,* δέον *ἀφ' ἡμῶν,* πῶς οὐκ ἀλογώτερον καὶ [τῶν] ἐν τοῖς Καυκασίοις οἰκούντων σε κατηγορεῖ; Ἔτι σε καὶ τοῦτο μάλα λαμπρῶς ἐξελέγχει μάταιον ὡς ἀληθῶς ὄντα καὶ ἀμαθῆ, ἄλλα μὲν βουλόμενον, ἕτερα δὲ λέγοντα. Θεὶς γὰρ καθ' ὑπόθεσιν ὡς *Εἰ μὲν ἔγωγε τούτου χάριν λελύπημαι, ὅτι σε κρεῖττον ἐμοῦ νομίζειν νενόμικα, οὐ σὺν τῷ δικαίῳ λελύπημαι,* ἐπεὶ οὐδέποτ' ἂν αὐτὸς σαυτὸν ἐμοὶ παρέθηκας, μηδὲν τῶν ὄντων εἰδότι, τὸ δὲ κάλλιον ὄντος τινὸς καλοῦ κάλλιον λέγεται, εἶτα ὥςπερ συμπεραίνων ἐπιφέρεις *ἡμᾶς* ‖*μὲν μικρόν τι εἰδέναι, σὲ δὲ οὔ τι τῶν ὄντων.* Σκόπει τοίνυν, ὦ φ. 6ᵉ πρὸς θεοῦ, ὅπως αὐτὸς σαυτῷ πολεμεῖς· οἷς γὰρ λέγεις σαυτὸν μᾶλλον οὐδὲν τῶν ὄντων εἰδέναι ἀποφαίνεις, ἐμὲ δὲ σχεδὸν τὰ πάντα. Ἐξέστω δέ μοι κατὰ σὲ τὴν τῶν λεγομένων ἀπόδειξιν

6. ἀφῄρηκεν (ηκε) 8. κῶλον ἐν δὲ τῇ ᾧᾳ ÷ διαφέρει γὰρ κῶλον καὶ κῶμα (μ)· κῶλον μὲν γὰρ λέγεται ὅταν ὁλόκληροι ὦσιν αἱ συζυγίαι· καὶ ἄλλως, κῶλον ἐστὶ, τὸ ὅλην διάνοιαν ἀπαρτίζον· ἢ μέρος ὅλης ὅλον· καὶ τὸ μὲν ὅλην διάνοιαν ἀπαρτίζον, ὡς τὸ ***ἡροδότου ἁλικαρνασσῆος ἱστορίης ἀπόδειξις ἥδε*** τὸ δὲ μὴ τελείαν ἀπαρτίζον διάνοιαν, ὅλης ὅλον· ***ἀλλ' ὁ τὴν εὔβοιαν ἐκεῖνος σφετεριζόμενος*** καὶ αὖθις κῶλον ἐστὶν ὅταν ὁλόκληροι ὦσιν αἱ συζυγίαι· κόμμα δὲ, ὅταν ἀτελεῖς 13. ἄλλαι 19. οὐ τί

ΕΛΛΗΝΙΚΟ ΙΔΡΥΜΑ ΠΟΛΙΤΙΣΜΟΥ ΙΩΑΝΝΙΝΩΝ ΙΔΡΥΣΗ ΜΙΛΤΟΥ ΚΑΙ ΜΑΡΙΑΣ ΚΟΝΤΑΣΙΟΥ ΕΠΕΤΕΙΟΣ ΙΔΡΥΣΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΕΠΙΤΟΜΗ ΤΗΣ Α.Ν. ΑΘΑΝΑΣΙΑΔΗ-ΝΟΒΑΡΑ ΚΑΙ ΕΥΑΓΓΕΛΙΝΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΑΚΑΤΖΑ
Ε.Υ.Δ τής Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ποιήσασθαι· *ἡμᾶς μὲν γὰρ μικρόν τι εἰδέναι φῆς, σὲ δὲ οὔ τι τῶν ὄντων.* Τὸ δὲ μικρὸν, ὦ οὗτος, ταὐτόν ἐστι πάντως τῷ ὀλίγῳ· μικρὸν γάρ τι ἢ ὀλίγον μικρὸν λέγεται· ταὐτὸν ἄρα τὸ ὀλίγον τῷ μικρῷ. Ἀλλὰ μὴν τὸ ὀλίγον καὶ ἀντὶ τοῦ οὐδαμῶς λέγεται· 5 ταὐτὸν ἄρα τὸ μικρὸν τῷ οὐδαμῶς, εἴπερ τῷ ὀλίγῳ ταὐτόν. Σὺ τοίνυν μικρὰ εἰδέναι λέγων τῶν ὄντων, οὐδὲν τῶν ὄντων οὐδαμῶς εἰδέναι ὁμολογεῖς. Εἴπερ ἄρα τὸ *μικρὸν* ταὐτὸν τῷ οὐδαμῶς, ὡς δέδεικται, ἐμὲ δὲ οὔ τι τῶν ὄντων εἰδέναι λέγων, τὰ πάντα σχεδὸν εἰδέναι ὁμολογεῖς· τὸ γὰρ οὔ τι οὐ μέρος δῆλα δὴ τῶν ὄντων, 10 ἀλλὰ καθόλου τινὰ τῶν ὄντων ἐμφαίνει, κατ' ἔλλειψιν τῆς συντάξεώς σοι γενομένης, ὥςπερ ἂν εἴ τις καταφάσκων ἐρεῖ Τὶς ἄνθρωπος ἀναπνεῖ, ἕτερος ἀποφάσκων ἐρεῖ Οὔ τις ἄνθρωπος ἀναπνεῖ, τὸ μερικὸν μὲν διὰ τῆς ἀποφάσεως ἀνελὼν, εἰςαγαγὼν δὲ τὸ καθόλου· ἐγὼ ἄρα τὰ καθόλου παρὰ σοῦ εἰδέναι ἀποδέδειγμαι, 15 σὺ δὲ οὐδὲν τῶν ὄντων. Ταύτῃ μὲν οὖν καὶ τοῦτο ἐς κεφαλὴν ἀντέστραπταί σου.

Ὁ δὲ σὲ καθάπαξ, τὸ δὴ λεγόμενον, ἀναλφάβητον διαρρήδην ἀποδείκνυσι καὶ ὁ μηδ' Ἑλληνά σε τῷ γένει καθαρῶς ἡμῖν εἰκάζειν δίδωσιν εἶναι, μιξοβάρβαρον δέ τινα καὶ ἐθνικὸν, τοῦτο καὶ 20 δὴ παραλιπεῖν οὐκ ἄξιον. Τοῦτο καὶ γὰρ μόνον προςτεθὲν ἀποχρώντως διελέγξει σου τὴν ἅπασαν ἀλογίαν καὶ βαρβαρότητα, ὡς ἐκ τοῦ κρασπέδου δῆλον εἶναι καὶ τὸ πᾶν ὕφασμα· ἡμᾶς τε πραγμάτων ἀπαλλάξει, ὡς μὴ καθ' ἕκαστα διελέγχειν πειρᾶσθαί σου τὴν ἠλιθιότητα. Προϊὼν γὰρ ἐπὶ τὰ πρόσω καὶ πολλὰ μὲν 25 διὰ μέσου βαρβαρίσας, πολλὰ δὲ σολοικίσας, μᾶλλον δὲ οὐδὲν ὑγιὲς φθεγξάμενος, οὑτωσί πως περὶ τὰ ἀκροτελεύτια τῶν θαυμα-

2 (καὶ 3, 4, 7). ταυτὸν ἐστὶ 8. οὐ τὶ 9. οὐ τὶ δηλαδὴ 12. ἀναπλεῖ οὐ τὶς 13. ἀνελὼν ἐκ τοῦ ἀνελόν τοῦ ω μελανθέντος καὶ γραφέντος καὶ πάλιν ἄνωθεν 18. μὴδ' 23. δι' ἐλέγχειν 25. διαμέσου σολοικίσας 26 Ἐν τῇ ῥφ· τὸ ἀκροτελεύτιον κυρίως τὸ τέλος τοῦ ἐμμέτρου στίχου

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Κ. Θ. ΠΕΤΡΟΥ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ν. ΚΑΡΑΜΑΝΟΛΗΣ
ΔΙΕΥΘΥΝΣΗ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΓΛΩΣΣΑΣ ΚΑΙ ΦΙΛΟΛΟΓΙΑΣ
©ΕΝΙΣΤΙΤΟ ΕΛΛΗΝΙΚΗΣ ΓΛΩΣΣΑΣ ΚΑΙ ΦΙΛΟΛΟΓΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

σίων σου || γραμμάτων φής. *Εἰ γὰρ γραμματικὸς καὶ ῥητορικὸς* φ. 7ᵃ
σὺ καὶ τὴν ἄλφα οἶδας, θηλυκῶς οὕτωσὶ τὴν ἄλφα προενεγκών.
Φεῦ σοι τῆς ἀμαθείας· βαβαί σοι τῆς βαρβαρότητος· ἄγ' εἴπ' ἀπ'
ἀρχῆς πρὸς τῆς φιλοσοφίας αὐτῆς, ὦ λῶστε Γεώργιε, πῶς φής;
Εἰ γὰρ γραμματικὸς καὶ ῥητορικὸς σὺ, καὶ τὴν ἄλφα οἶδας. Ὑπέρ- 5
ευγέ σοι τῆς ἀγχινοίας, ὦ φιλοσοφώτατε. Πόθεν δὲ διδαχθεὶς ἔχεις
τοῦτο πρὸς θεοῦ; Πρὸς Ἀριστοτέλους, φήσεις γε πάντως. Ἀλλ'
οὐδαμοῦ φαίνεται θηλυκῶς Ἀριστοτέλης τὴν ἄλφα προενεγκών,
οὐ μὴν ἀλλ' οὐδ' ἕτερον τῶν λοιπῶν στοιχείων, οὐκ Ἀριστοτέλης
γε μόνον, ἀλλ' οὐδ' ἕτερός τις τῶν ἐκ τοῦ παντὸς αἰῶνος σοφῶν. 10
Ὁρᾷς ὁ τὰ καθόλου μόνα τῶν πραγμάτων περιεργαζόμενος, φιλο-
σοφώτατε σὺ, τὰ δὲ καθ' ἡμᾶς ταῦτα ὡς πολυσχεδῆ καὶ χαμερπῆ
καὶ ἄλλοτε ἄλλως ἔχοντα ὡς τοῦ μηθενὸς ἄξια παρορῶν ὡς ἀρι-
στοτελικῶν συγγραμμάτων ἀμύητος παντελῶς καὶ τῆς ἐκείνου
φιλοσοφίας ἴσα καὶ σκαπανεῦσιν ἀμέθεκτος· εἰ γὰρ φιλόσοφος σὺ, 15
πάντως ἂν καὶ Ἀριστοτέλην ᾔδεις. Ἀριστοτέλην δὲ εἰδὼς, ἐγνώ-
κεις ἂν καὶ ὅπως ἐκεῖνος τὸ *ἄλφα* καὶ τὰ λοιπὰ τῶν στοιχείων
προφέρει καὶ οὐκ ἂν νῦν διηλέγχου βάρβαρος ὢν ἀντὶ φιλοσόφου,
θηλυκῶς *τὴν ἄλφα* ἐκφωνήσας. Ἀριστοτέλης γάρ τοι πανταχοῦ
τῶν ἑαυτοῦ συγγραμμάτων κἀν τοῖς Μετὰ τὰ φυσικὰ κἀν τοῖς 20
Μετεωρολογικοῖς κἀν τοῖς Λογικοῖς, ἄν τε ἀποδεικτικῶς, ἄν τε
διαλεκτικῶς συλλογίζηται, οὕτω κεχρημένος φαίνεται τοῖς στοι-
χείοις ἐν τοῖς ὅροις, ἐπὶ μὲν τοῦ πρώτου σχήματος λέγων Οἷον εἰ
τὸ $\overline{\alpha}$ κατὰ παντὸς τοῦ $\overline{\beta}$ καὶ τὸ $\overline{\beta}$ κατὰ παντὸς τοῦ $\overline{\gamma}$, καὶ τὸ $\overline{\alpha}$
ἀνάγκη κατὰ παντὸς τοῦ $\overline{\gamma}$· ἐν δ' αὖ τῷ δευτέρῳ Οἷον εἰ τὸ μὲν 25
$\overline{\mu}$ οὐδενὶ τῷ $\overline{\nu}$, τῷ δὲ $\overline{\xi}$ παντὶ, ὅτι τὸ $\overline{\nu}$ οὐδενὶ τῷ $\overline{\xi}$· τὸ γὰρ $\overline{\alpha}$
καὶ $\overline{\beta}$ καὶ τὰ λοιπὰ, καθ' ἑαυτὰ ἕκαστον λεγόμενον, συνυπακουό-
μενον ἔχει τὸ στοιχεῖον.

Ἀλλ' οἶδ' ὅτι γε φήσεις βραχέα σοι τῶν λέξεων μέλειν, φι-
λοσόφῳ γε ὄντι, πραγμάτων καὶ || μόνον φροντίζοντι. Ἀλλ', ὦ φ. 7ᵇ

2. (καὶ κατωτέρω) ἄλφα 3-4. ἀπαρχῆς 4. φὴς 8. οὐδαμῶς οὗ
12. χαρμερπῆ 16. εἰδώς ἐκ τοῦ εἰδός 18. διελέγχου
20. φυσικὰ κἀν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΔΑΚΤΟΡΙΚΟ ΔΙΠΛΩΜΑΤΙΚΟ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἑταῖρε, ὡς ἄν σε κατὰ φιλοσόφους προςείπω, ὅρα μὴ, ταπεινὸς ὢν τὴν διάνοιαν, οὐδ' ἵκταρ τούτοις, ὅ φασιν, ἔχῃς, εἶτα δὴ προςποιῇ ὡς εὐτελῶν τινων τούτων ὄντων περιφρονῶν. Καὶ Πλάτων γὰρ καὶ Ἀριστοτέλης οὐχ ἧττον ἢ σὺ φιλόσοφοι, ἀλλ' οὐκ ἠμέλουν τῶν τοιούτων, τοὐναντίον μὲν οὖν καὶ σφόδρα ἐπεμέλοντο καὶ πολύν γε λόγον περὶ τῶν τοιούτων ἐποιῆτον, καὶ πολλὰς ἑκάτερος κατελιπέτην βίβλους, ἃ καὶ εἰςέτι νῦν σώζεται τηρούμενα. Ἔγωγε δὲ κἀν ταῖς Ὁμήρου ἐξηγήσεσι πολλοῖς τῶν Ἀριστοτέλους σχολίοις ἐνέτυχον, ἐν οἷς δήπου καὶ περὶ τῶν τῆς γραμματικῆς πλεῖστα φιλοπονήσας φαίνεται. Καὶ μάλα εἰκότως· τούτοις καὶ γὰρ ὥςπερ τινὶ πορθμείῳ μέχρις ἡμῶν αἱ τούτων ἔφθασαν γλῶσσαι καὶ ἄνευ τούτων νοῦς ὄντως ἀνεκλάλητος ἡ φιλοσοφία. Ταῦτ' ἄρα καὶ τῆς σοφίας ἐκείνων τὰς βίβλους ἐμπιπλῶντα διαπερᾶν ποιεῖ τὸν αἰῶνα μετὰ τῆς μνήμης αὐτῶν. Εἰ δὴ τοῖς εἰς φῶς ἀγαγοῦσι τὴν φιλοσοφίαν ἀνδράσιν ἐκείνοις τοσοῦτον γραμματικῆς μεμέληκεν, σοί γ' ἔσται παροπτέα, τῷ τίνι καὶ ποίῳ καὶ διὰ τί; Ὡς μικρὰ καὶ εὐτελὴς καὶ περὶ λέξεις μόνον καὶ συλλαβὰς καὶ σημαινόμενα καὶ προςῳδίας καὶ ἄλλ' ἄττα τοιαῦτα καταγινομένη; Ἀλλὰ τούτων μᾶλλον ἕνεκα περισπούδαστος σφίσιν ἐδόκει. Οὐ σμικρά τις οὖν κατὰ σὲ καὶ εὐτελής. Ψευδῶς ἄρα σὺ φῆς ὡς μικροπρεποῦς αὐτῆς κατολιγωρεῖν, αἰσχυνόμενος πάντως εἰπεῖν τἀληθὲς, καὶ οὐδέποτε πείσεις ἡμᾶς, κ' εἰ μυριάκις ἀκιῇ καὶ τοὺς αὐτοὺς προςποιήσῃ λόγους, ἀλλὰ μᾶλλον τῆς σῆς ὡς μικρᾶς καὶ χαμερποῦς καταγνωσόμεθα φύσεως, μὴ δυνηθείσης παχύτητι νοῦ καὶ διανοίας σαθρότητι μηδ' ὁπωςοῦν τῇ ταύτης ἐπιβαλεῖν ποικιλίᾳ. Εἶτα σύ γε, τοιοῦτος ὢν, ὦ κάθαρμα, τοῖς φιλοσόφοις σεαυτὸν ἐγκρίνειν τολμᾷς καὶ τἄλφα ἀγνοῶν, τῶν φι-
φ. 8 λοσοφίας ἀπο||ρρήτων σοι μετεῖναι ληρεῖς. Ὦ τῆς ἀναιδείας. Σὺ

1. σοι 2. ἵκταρ ἄνωθεν δὲ νεωτέρᾳ χειρὶ ἐγγὺς 3. τινῶν 6. πόλλὴν ἐποιήτον ἐκ τοῦ ἐποίητον 11. ὥςπέρ τἵνἳ 13. διαπερᾷν 17. διατί 18. ἄλλάττα 22. πείσης κεί 25. μὴδ' 26. ἐπιβαλλεῖν 27. τἄλφα 28. ληρεῖς ἐκ τοῦ ληρῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Α. Ν. Κλεάνθης ΝΕΟΕΛΛΗΝΙΚΗ ΦΙΛΟΛΟΓΙΑ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

φιλόσοφος ὁ μηδ' ὁπωσοῦν εἰς πεῖραν τοῖς Ἀριστοτέλους καὶ Πλάτωνος συγγράμμασιν ἐλθών, ὅσα γε ἡμῖν εἰκάζειν ἔπεισιν ἐκ τῶν πρὸς ἡμᾶς ἀγροικικῶν σου γραμμάτων; Σὺ περὶ ἀστέρων ἡμᾶς ἔχεις διδάσκειν ὁ τὰ ἐν ποσὶν εἰδέναι μὴ δυνάμενος; Πόθεν σοι τοῦτο καὶ πῶς περὶ σοῦ φρονεῖν ἐπῆλθε ταλάντατε; Τίς σοι 5 δαίμων εἰς νοῦν τοῦτο παρέστησεν; Ἆρ' οὐκ αἰσχύνῃ Σαρδανάπαλός τις ὢν ὡς ἀληθῶς, εἶθ' Ἡρακλῆς τις εἶναι καὶ ἱεροφάντης φιλονεικῶν; Οὐκ αἰσχυνθήσῃ, οὐκ ἐρυθριάσεις, οὐ θᾶττον ἐγκαλυψάμενος ἐπὶ τοὺς τράγους καὶ τὰς αἶγας ἀποθρέξεις, οὐ σκαπάνην καὶ δίκελλαν καὶ βούκεντρον καὶ βόας καὶ ἄροτρον ζητήσεις; Τού- 10 των γάρ σοι μᾶλλον προσῆκεν ἢ τῶν φιλοσοφίας δογμάτων. Οὐ τῆς διδασκαλείου προστασίας ἀποστὰς, ἄλλοις τοῦ σεμνοῦ τούτου παραχωρήσεις ἔργου, οἷς γε προσήκει, αὐτὸς δ' ἐπὶ τὰ ὄρη καὶ τὰς ἐρημίας καὶ τὰ βάραθρα τὴν δίαιταν ζητήσεις καὶ μετὰ τῶν θηρίων, θηριώδης ὢν τοὺς τρόπους, συνοικήσεις; Οὐκ ἀπελάτης ἀντὶ 15 διδασκάλου γενήσῃ, οὐ βοηλατήσεις, οὐκ ὀνηλατήσεις; Σὺ διδάσκειν ὅλως ἑλληνικῶς ἐπιχειρεῖς ὁ τὸ ἑλληνίζειν ἴσα τοῖς βαρβάροις ἀγνοῶν; Φεῦ τῆς ματαιοπονίας καὶ τῆς κενῆς διατριβῆς τῶν ὑπὸ σὲ φοιτώντων μειρακίσκων καὶ τῶν ἀδίκως αὐτοὺς εἰσπραττομένων μισθῶν. Ἐλεεῖν γὰρ αὐτοὺς ἔπεισί μοι, λογιζομένῳ οἵων 20 ἄρα τῶν παρὰ σοῦ διδασκαλιῶν ἐπιτυγχάνειν μέλλοιεν, τοῦ τὰς προσῳδίας ἀγνοοῦντος καὶ τὰς βραχείας καὶ μακρὰς τῶν συλλαβῶν μὴ εἰδότος καὶ *τἆλλα* χωρὶς πνευμάτων γράφοντος καὶ *τῇ μοῖρᾳ* περισπῶντος καὶ τὸ *ἵνα δοξάζομεν* ἀνυποτάκτως προφέροντος. Ἀλλὰ μὴν καὶ γράφειν ἡμῖν κατὰ ῥήτορας ὁ γεννάδας φιλοτιμῇ 25 ὁ μηδὲ τοὔνομα τὸ σὸν ὀρθογραφῆσαι δυνάμενος. Τοίνυν ἡμῖν δικαίως ἔξεστι λέγειν περὶ σοῦ Σαοὺλ ἐν προφήταις καὶ Γεώργιος ἐν λογογράφοις. Ἄνθρωπε, μέμηνας ἀτεχνῶς, || τὸν ἐγκέφαλον φ. 8ᵉ

1. μὴδ' 7. τὶς 8. αἰσχυνθείσῃ 12. διδασκαλίου 20. μισθῶν διωρθωμένον ἄνωθεν εἰς ον διαγεγραμμένον 22. βραχέας μακρᾶς 23. μοίρα 25. γενάδας 26. μὴδὲ 28. μέμηνας

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝΑΠΛ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΓΙΤΣΟΥΛΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

προσεσεισμένον ἔχειν δοκεῖς, σεαυτὸν ἀγνοεῖς, ὥςπερ οἱ μαινόμενοι. Οὐκοῦν Ἀσκληπιαδῶν σοι δεῖ ἢ καὶ ἐλλεβόρου. Τί, γήινος ὢν, ἄθλιε, καὶ χαμερπὴς, ὑπερνέφελός τις εἶναι δοκεῖν ἐπιτηδεύεις; Τί κολοιὸν ὄντα σεαυτὸν ἀετῷ παρεικάζεις; Τί, βοῦν ἐπὶ γλώσσης
5 φέρων, κατὰ τοὺς ἐν Λιβύῃ λέοντας βρυχᾶσθαι θέλεις; Οὐκ ἀνανήψεις ὀψὲ γοῦν τῆς ὑπερηφάνου ταυτησὶ δόξης, ὥςπερ οἱ μεθύοντες ἐξ ὕπνου; Οὐκ ἐπιγνώσῃ σαυτὸν ὅςτις εἶ καὶ τὴν σὴν περὶ τοὺς λόγους ἀσθένειαν; Οὐ, τὸ δοκοῦν ἀφεὶς, τὸ εἶναι προτιμήσεις; Ὦ τῆς τῶν φρενῶν εὐκολίας. Οὐκ αἰσχύνῃ καθάπερ τὰ νήπια τὴν
10 τῶν σῶν λόγων ἀσχημοσύνην ἀναφανδὸν ἀνακαλύπτων καὶ τὴν ἐν τούτοις σαθρότητα τοῖς σαπροῖς σου τοῖςδε στηλιτεύων γράμμασιν; Ἓν σου καὶ μόνον ἐπαινεῖν ἔχω, ὅτι περ πᾶσαν ἀηδίαν καὶ ψευδολογίαν καὶ εὐήθειαν συνειλοχὼς ὥςπερ εἰς ὁμηρικήν τινα μισγάγκειαν, βαρβαρίζων τούτοις ἐνέβαλες καὶ πάντα τρόπον
15 σολοικισμοῦ καὶ βαρβαρισμοῦ καὶ πᾶσαν ἄλλην κακοτεχνίαν καὶ ἀμουσίαν ἐν τούτοις συμφορήσας τοὺς νέους ἐξεδίδαξας. Καὶ τοίνυν κείσεταί σοι μισθὸς οὐκ ἀγενὴς τοῦ διδάγματος. Καὶ γὰρ ὁ τοῦ Λουκιανοῦ σολοικιστὴς ἠφάνισταί σοι ἤδη. Τὸ γὰρ *Ταῦτ' ἄρα καὶ χρηστὰ φῆς καὶ βλαπτικὰ καὶ τὸ γὰρ εἴρηταί ποτ' οὐδέποτ' εἴ-*
20 *ρηθ' ἡμῖν καὶ τὸ ἀλλ' ὅτι κρεῖττόν σου εἰδέναι νομίζομεν καὶ τὸ ἀλλὰ τί νῦν καὶ λέγοιμι περὶ τούτου ἀρχῆς οὔσης καὶ τὸ μηδὲν*

6. ταυτι (νσι) 7. ἐπιγνώσει (n) 12. ἀηδείαν 14. μισγάγγειαν 15. σολικϊσμοῦ 18. ταῦτ'[1] ἐν δὲ τῇ ᾧᾳ δέον ταὐτὰ τῇ νεωτέρᾳ χειρὶ τοῦ δεκάτου ἑβδόμου αἰῶνος, ἥτις ἐνέγραψε καὶ εἰς τὸ κείμενον ἐνταῦθα τοὺς ἀραβικοὺς ἀριθμοὺς τοὺς ἀνταποκρινομένους εἰς τὰ ἐν τῇ ᾧᾳ σχόλια 19. χρηστὰ τὸ[2] γὰρ ἐν δὲ τῇ ᾧᾳ καὶ τοῦτο ἀσυνάρτητον καὶ ἀκατάληπτον 20. τὸ[3] ἀλλ' ἐν δὲ τῇ ᾧᾳ δέον· ἀλλ' ὅτι πλείω μαθεῖν ἢ σὺ νομίζομεν, τὸ γὰρ κρεῖττον ἐπ' ἄλλης σημασίας τίθεται κρεῖττον 21. ἀλλὰ[4] ἐν δὲ τῇ ᾧᾳ δέον ἀρχῆς ὄντος μηδὲν[5] ἐν δὲ τῇ ᾧᾳ δέον ἠλέγξαμεν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΕΥΝΗΤΙΚΟ ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΩΝ ΔΙΑΛΕΚΤΩΝ ΚΑΙ ΛΑΟΓΡΑΦΙΑΣ ΔΕΠΟΜΝΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΑ ΤΑΠΕΙΝΟΥ Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

εἰδέναι ἐλέγξαμεν καὶ τὸ *ἐνῶ με τοῖς ἐμοῖς λόγοις* καὶ τὸ *ὁμολογήσοις δὲ καὶ αὐτὸς* καὶ τὸ *εἰ καὶ μάλα σοφὸς ᾖ* καὶ τὸ *καί σου παρ' ἐκείνου ἐρωτηθέντος περὶ τίνος ἐσπούδας* καὶ τὸ *πᾶσα μὲν γὰρ ὡς εἰπεῖν τὸ ὕπουλον ἐλέγξει σου καὶ τὸ διὰ τί εἰς ἀγῶν' ἀπ' ἀρχῆς ἐλθὼν δεῦρο καθῆκες σαυτὸν* καὶ τὸ *ὅτε γὰρ οὐκ οἴει* 5 *ἐκεῖνον δεῖν λέγειν ὅλως εἰδέναι* καὶ τὸ *οὐ γὰρ εὑρήσεις τὸν μαρτυροῦντα* καὶ τὸ *εἰ τῇ δικαιοτάτῃ ἐξουσίᾳ φέρων τις ἐπιδείξῃ* καὶ τὸ *ἐδείχθης λυπούμενος, μᾶλλον δὲ ἀγανακτῶν* καὶ ἕτερα πολλὰ, ἅπερ εἰ καθ' ἕκαστ' ἀπαριθμεῖν βουλήσομαι, ἡ ἡμέρα ἐπιλείψει με, ποῦ τις ἐν || τῷ ἐκείνου διαλόγῳ εὑρήσει; Ὥςθ', ὅπερ ἔφην, φ. 9α πολλή σοι κείσεται χάρις τοῦ διδάγματος. Πάντα γὰρ, ὡς ἔοικεν, 10 ἀπεριμερίμνως ἔξεστι γράφειν μηδὲν ἐξετάζοντας.

1. [6] ἐνῶ ἐν δὲ τῇ ᾧᾳ ὡς ὑποτακτικὸν ἄρθρον δεῖ δασύνεσθαι

1. 2. [7] ὁμολογήσοις ἐν δὲ τῇ ᾧᾳ δέον· ὁμολογήσεις 2. εἰ [8] καὶ ἐν δὲ τῇ ᾧᾳ ὁ εἰ σύνδεσμος οὐδέποτε ὑποτακτικῷ συντάσσεται ἀλλ' ἢ εὐκτικῷ ἢ ὁριστικῷ, εἰ μή που παρὰ ποιηταῖς μετὰ καὶ ἄλλων συνδέσμων ἐκφωνηθείη ὡς παρ' Ὁμήρῳ εἴπερ γὰρ καὶ χόλον τε καὶ αὐτῆμαρ καταπέψῃ [9] καί σου ἐν δὲ τῇ ᾧᾳ δέον· περί τι ἐσπ. Εἰς τὸ ἐσπούδας ἀνταποκρίνονται κάτω ἐν τῇ ᾧᾳ τάδε· καὶ ἀττικῶς ἐσπούδασας, ἐσπούδας· 4. [10] καὶ τὸ ἐν δὲ τῇ ᾧᾳ λείπει τὸ ἀντίστοιχον σχόλιον [11] διατὶ ἐν δὲ τῇ ᾧᾳ λείπει τὸ ἀντίστοιχον σχόλιον 5. ἀπαρχῆς ἐλθὼν ἐκ τοῦ ἐλθῶν [12] ὅτε ἐν δὲ τῇ ᾧᾳ λείπει τὸ ἀντίστοιχον σχόλιον 6 [13] οὐ γὰρ ἐν δὲ τῇ ᾧᾳ καὶ τοῦτο κάκιστον· τὸ γὰρ εὑρήσεις μέλλον ὂν καὶ μέλλοντι συνταχθῆναι ἔδει, τὸν μαρτυρήσαντα γὰρ ἔδει εἰπεῖν

7. [14] καὶ τὸ εἰ ἐν δὲ τῇ ᾧᾳ καὶ ἐνταῦθα τὸν εἰ σύνδεσμον ὑποτακτικῷ ἀπέδωκεν τὶς 8. [15] ἐδείχθης ἐν δὲ τῇ ᾧᾳ ἐνταῦθα οἴεται διαφέρειν, ὡς οἶμαι, τὸ λυπεῖσθαι τοῦ ἀγανακτεῖν ὡς ἐπιπλέον ὄντος τοῦ ἀγανακτεῖν, ἐγὼ δὲ οὐδεμίαν τούτων ἥγημαι διαφοράν· ταὐτολογία οὖν:— 9. τὶς

ΕΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΕΥΝΩΝ ΔΟΕΑ ΗΠΕΙΡΙΚΗ ΦΙΛΟΣΟΦΙΑ ΚΑΘΗΓΗΤΗΣ ΚΩΣΤΑΝΤΙΝΟΣ Θ. ΠΑΠΤΣΙΟΥΝΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ἀλλὰ γὰρ ταῦτα παρεὶς, ἐφ' ἕτερα βαδιοῦμαι. Βούλομαι γάρ σου καὶ ἄλλως ἐξελέγξαι τὸ σαθρὸν καὶ ὑπόκουφον τῶν ληρημάτων, καίτοι κἀνταῦθα καὶ ἐμαυτὸν οὐκ ἐλεύθερον παντελῶς αἰτίας ἀφιεὶς πρὸς τοιοῦτόν σε λέμφον τοὺς λόγους ποιούμενον, καὶ ὥςπερ ἀπολογεῖσθαι ἐθέλειν ὑπὲρ ὧν ἐφ' ἡμᾶς ἀφῆκάς σου σιέλων καὶ διελέγχειν πειρᾶσθαι ὡς σαθρὰ καὶ ἕωλα καὶ τῶν ἀραχνίων ἱστῶν οὐδὲν ἀπεοικότα, ὥςπερ οὐκ οἴκοθεν τούτων ἐχόντων τὸ σαπρὸν καὶ εὐέλεγκτον. Τίς γὰρ ὁ τὴν σὴν περὶ τοὺς λόγους ἀγροικίαν εἰδὼς ἡμᾶς ἐπαινέσεται, πρὸς σὲ διαλεγομένους καὶ ἐρεσχελοῦντας καὶ οὐκ ἐπιτιμήσει πικρῶς καὶ πολλοῖς καθυποβαλεῖ τοῖς ὀνείδεσιν, ὥςπερ ἂν εἰ μετὰ μειρακίων ἴδοι τοῦτο ποιοῦντας, ἐπεὶ καὶ ψελλισμάτων ὡς ἀληθῶς μειρακυλλίων οὐδὲν διενήνοχε ταυτί σου τὰ τερετίσματα, ἀρχαῖά γε καὶ διιπολιώδη καὶ τεττίγων ἀνάμεστα, κατὰ τὴν κωμῳδίαν, καὶ Κηκείδου καὶ Βουφονίων. Ἀλλὰ γὰρ τί πάθω, ὅρκοις ἡμῖν τοῦτ' ἐπιτρέψαντός του τῶν φίλων, ᾧ πειθόμενος καὶ τὸν πόθον ἀφοσιῶν τἀνδρὶ, ἑκὼν ἀέκοντί γε θυμῷ τούτοις ἐμαυτὸν ἐνέδωκα. Ἐπεὶ τοίνυν ἀπορίᾳ λόγων καὶ τῷ τῇ ἀληθείᾳ μηδὲν ἔχειν ἀντιλέγειν πρὸς διαβολὰς ἀπεῖδες καὶ ψευδολογίας καὶ ἄλλ' ἄττα πλασματώδη καὶ ὑπόψυχρα ῥημάτια καὶ τούτοις ἡμᾶς ἀντιλέγειν δοκεῖς, φέρε τινὰ τούτων προχειρισάμενοι καὶ ταῦτα ὡς ἐνὸν διαλέξαντες, οὕτω σε τῳ Σαρδαναπάλου καὶ Μορύχου καὶ Πραξίλλ[ης Ἀδών]ιδος καὶ Βλιτομάμμα θιάσῳ συντάξωμεν.

Ἀλλὰ γὰρ, πολλῶν ὄντων ὅθεν ἂν ἔχοι τις ἐξελέγχειν, ἀπορεῖν ἔπεισιν ὁπόθεν ἄρξηται, ὥςπερ ἐν κύκλῳ, οὕτω μὲν πολλῶν ὄντων, οὕτω δὲ ἀτάκτως καὶ φύρδην καὶ ὡς ἕκαστον ἔτυχε κειμένων καὶ μήτε κεφαλὴν, μήτε μέσσα, μήτε μὴν ἄκρα ἐχόντων, ἀλλ' οἷόν τι τέρας ὄντων, ὧν ἡ ποιητικὴ παραδίδωσιν αὐτονομία.

1. ἀφ' (ε) 4. ἀφιὴς τοιοῦτον 5. ἀφῆκας 6. σϋέλων 7. ἱστῶν 8. τὶς 10. μϊκρῶς 11. μειρακείων 13. τερεττίσματα ἀρχαῖα διιπολλϊώδη 19. ἄλλαττα 20. τίνα 22. πραξίλλιδος καὶ βλιτομάμα 24. ἔχη τὶς 27. μέλσα (σ)

ΕΛΛΗΝΙΚΟ ΙΔΡΥΜΑ ΜΕΛΕΤΩΝ ΚΑΙ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΩΑΝΝΙΝΑ ΕΠΙΣΤΗΜΟΝΙΚΟ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΑΝΑΚΑΙΝΙΣΗ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΛΛΗΝΙΚΗ ΦΙΛΟΣΟΦΙΑ ΑΠΟ ΤΟΥΣ ΑΡΧΑΙΟΥΣ ΕΩΣ ΣΗΜΕΡΑ ΕΠΙΜΕΛΕΙΑ ΚΩΣΤΑΝΤΙΝΟΥ Α. ΠΕΤΣΙΟΥ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ὅμως γε μὴν ἐντεῦθεν || ἀρκτέον. Φὴς μηδ' ὁπωσοῦν με ἀπολε- φ. 9ᵇ
λογῆσθαι περὶ ὧν ἠμφισβητοῦμεν, διαλεκτικῆς δῆλα δὴ πέρι καὶ
ἐπιστημῶν, ἀλλὰ περί τινων οὐκ ἀμφιβαλλομένων. Ἐρήσομαι
τοίνυν σε, περὶ διαλεκτικῆς ἡμῖν καὶ ἐπιστήμης ἡ κατ' ἀρχὰς
ἔρις συνέστη· τοσοῦτον ἀναίσχυντος εἶ καὶ τῇ ἀληθείᾳ σαφῶς 5
πολεμῶν; οὐ περὶ τοῦ μὴ τὸν θεὸν ὑπὸ τὴν οὐσίαν ὡς εἶδος ἀνά-
γεσθαι, σοῦ τὸ τῆς καταφάσεως διαβεβαιουμένου; Ναὶ περὶ τού-
του καὶ αὐτὸς ὁμολογήσεις, κἂν καὶ σφόδρα ἰταμὸς ᾖς. Πῶς οὖν
οὐκ αἰσχύνῃ τἀναντία νῦν λέγων καὶ τοῖς ἐκεῖσε παρατυχοῦσι
μάρτυσιν ἀντιλέγων, τοσούτοις οὖσι τὸ πλῆθος; Εἰ μὲν οὖν τὴν 10
ἀρχὴν περὶ διαλεκτικῆς ἦν ἡ ἀμφισβήτησις, εἶτ' ἐγώ σοι περὶ
ταύτης προκαλούμενος περὶ ἄλλων ἀπελογούμην, ἀφεὶς τὸ περὶ
ταύτης, ἴσως ἂν εἰκότως ἐδόκεις λέγειν. Ἐπεὶ δὲ σὺ περὶ μὲν τῶν
τὴν ἀρχὴν ἀμφισβητηθέντων οὐδὲ γρῦ τι φθεγξάμενος φαίνῃ,
περὶ ἄλλα δὲ ἡμῖν προὐκάλεις, πῶς οὐκ ἐλέγχῃ μᾶλλον αὐτὸς 15
λειποτακτήσας, καθάπερ τις ἀγενὴς στρατιώτης, καὶ ἅπερ ἡμῖν
αὐτὸς ἐγκαλεῖς πεπονθὼς περιφανῶς καὶ μηδὲ ἴχνος γοῦν τι περὶ
ἐκείνων ἀποφηνάμενος, ἀλλ' ἀφωνότερος ἰχθύος διατεθείς; Εἶτ'
ἐγὼ τὸν οὕτως, ὅ φασιν, ἐκ πρώτης ἀφετηρίας ἀμαθῆ καὶ βάρβαρον
ἀναφανέντα περὶ ἄλλων διαλέγεσθαι ἠξίωσ' ἄν; Καὶ τίς οὐκ ἄν σου 20
κατέπτυσε δικαίως; Ὁρᾷς ὅπως σου τὰ καθ' ἡμῶν ἀντέστραπται
βέλη, αὐτὸς μᾶλλον ὡς κακὸς στρατιώτης τὸν ἀνταγωνιστὴν ἐμὲ
φεύγων; Τίς γὰρ ὁ τὸν ἕτερον φεύγων, εἰπὲ πρὸς θεοῦ, ὁ παρὰ τῶν
πρεβεγγιαλίων ἐγώ σοι περὶ τούτων διαλεχθῆναι ζητῶν δημοσίᾳ
ἢ ὁ τοῖς ἄρχουσι προσφεύγων ὥσπερ εἰς κρησφύγετόν τι σὺ καὶ 25
τούτους ἱκετεύων δι' ἀξιώσεως ἀποσοβεῖν με τῆς ὁρμῆς καὶ ἃ
πρότερον εἰρήκεις ἀρνούμενος ἐπὶ θεὸν καὶ πείρας χάριν ταῦτ' εἰ-
ρηκέναι λέγων; Πῶς δέ με καὶ ταὐτὰ φὴς ἡγεῖσθαι τά τε χρηστὰ
καὶ βλαπτικά; Ἆρ' ὅτι σε χρηστὰ προοιμιασάμενος ἔφην καὶ
φαῦλα συμπεράναντα; Ὦ τῆς λεπτότητος τῶν φρενῶν, ἵνα || μὴ φ. 10ᵃ

1. μὴδ' 2. δηλαδὴ 7. διαβεβαιωμένου 8. κἂν ἰταμὸς ἦ
ἐπὶ κακοῦ(;)
14. γρύ τί 17. μὴδὲ 20 (καὶ 23). τὶς 27. ἀρνούμενος ἐπὶ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΜΕΣΑΙΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΑΡΙΣΤΟΤΕΛΕΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΑΝΑΚΑΙΝΙΣΤΗΡΙΑ ΚΩΣΤΑΝΤΙΝΟΥ Θ. ΠΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

λέγω τῆς παχυτῆτος. Οὕτως ἀγροῖκος σὺ καὶ παχύς. Εἰ μὲν γὰρ εἷς ἦν καὶ οἷον εἰπεῖν συνεχὴς ὁ πρὸς ἐμέ σου λόγος, ἅπαξ ἐκφωνηθεὶς, εἶτ' ἐγὼ τὸν αὐτὸν ὁμοῦ χρηστὸν καὶ φαῦλον ἐκάλουν, εἶχεν ἄν σου χώραν ὁ λόγος καί τι λέγειν ἐδόκεις ἄν. Εἰ δὲ πολλοὶ καὶ διωρισμένοι καὶ διαφόρως ἐκφωνηθέντες καὶ ἐν παρατάσει χρόνου καὶ οὐκ ἐν ἑνὶ καὶ ταὐτῷ ὑποκειμένῳ, οὐκ εἰκὸς ἦν ἐνίους μὲν εἶναι χρηστοὺς, ἐνίους δὲ καὶ φαύλους; Πῶς οὖν κατὰ σὲ ταῦτ' ἄρα χρηστὰ καὶ βλαπτικὰ νενόμικα;

Ἀλλὰ γὰρ τοιοῦτόν σου καὶ τὸ *τὴν παρ' Ἕλλησιν γραμματικὴν μηδὲν εἶναι τῶν ὄντων ἐκείνων ἡγῇ, περὶ ὧν ὅ γε φιλόσοφος φροντίζει, τὴν δὲ παρὰ τοῖς Λατίνοις καὶ μάλα.* Ἀλλὰ μὴν οὐδὲν ἀλλήλοιν διεννηνόχατον· ἡ αὐτὴ γὰρ τῇ τῶν Ἑλλήνων ἡ τῶν Λατίνων, ἐπεὶ καὶ παρ' αὐτῆς ἔχει τὰς ἀρχὰς λαβοῦσα, εἰ μή που γέ τις κατὰ διάλεκτον καὶ μόνον διεννηνοχέναι φήσει. Οὐκοῦν ἄρα κατὰ τὴν σὴν ὑπόθεσιν ἔσται καὶ οὐκ ἔσται τῶν ὑποκειμένων ἡ γραμματικὴ τῷ φιλοσόφῳ. Ἀλλ' ἀδύνατον τοῦτο κομιδῇ καὶ ἄτοπον· οὕτω γὰρ τὸ τῆς ἀντιφάσεως ἀξίωμ' ἀναιρεῖται. Θάτερον γὰρ τῶν μερῶν αὐτῆς πάντως ἀληθεύειν δεῖ, θάτερον δὲ ψεύδεσθαι. Ἔδει οὖν ἁπλῶς τὴν γραμματικὴν εἰπεῖν· οὕτω γάρ τι καὶ λέγειν ἐδόκεις, ὦ μάταιε. Ὁρᾷς ὁ τὰς ἀρχὰς τῶν ὄντων ἐπαγγελλόμενος εἰδέναι οἷος σὺ διαλεκτικός. Ἆρ' οὐκ ἐλέγχῃ μάλα σαφῶς ἐκεῖνα σεαυτὸν περιβάλλων, ἃ καθ' ἡμῶν αὐτὸς ἀφῆκας ταὐτὰ ἡγούμενος καὶ ὄντα καὶ μὴ ὄντα καὶ τἀναντία συναληθεύειν οἰόμενος; Ἔπειτα ποῦ παρὰ τῶν ἐμῶν ἀκηκοὼς ἔχεις γραμμάτων, ὥς γε ἐγὼ τὴν γραμματικὴν μέρος εἶναι τῶν ὄντων οὕτως ὑπείληφα, ὡς ἐξ ἀνάγκης καὶ ταύτην ὑποκεῖσθαι τῷ πρώτῳ φιλοσόφῳ; Πότερον ὅτι σου τὴν φύσιν περιληπτικὴν
φ 10ᵇ τῆς τῶν ὄντων φύσεως εἶπον; ‖ Ἀλλ' οὐχ ὡς φιλοσόφῳ σοι τοῦτο

4. χῶραν καὶ τὶ 4-5. πολλοὶ καὶ διορισμένοι 8. Τοῦ ἀλλὰ προηγεῖται ῥ ἀλλ' οὐδὲν πρόσθετον ἀντιστοιχεῖ εἰς τοῦτο τὸ σημεῖον ἐν τῇ ᾧᾳ. τοιοῦτον 12. δι'ἐνηνόχατον 20. ἐπαγγελόμενος 21. ἆρ' 27. οὐχ'

ΕΠΑΣΤΗΡΙΟ ΤΟΥ ΙΩΑΝΝΟΥ ΜΕΝΝΑ ΤΟΥ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΑΝΑΛΗΨΗ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΠΑΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

παρ' ἡμῶν εἴρηται, ἀλλ' ὡς ἴσα καὶ θεῷ δοκοῦντί σοι τὰ πάντ' εἰδέναι. Σὺ δὲ εἴτε τὴν εἰρωνείαν ἀγνοῶν τοῦ λόγου, ἅτε παχὺς ὢν, εἴτε καὶ γνοὺς, εἶτα μὴ δυνάμενος ἀντειπεῖν, πρὸς διαβολὰς ἐχώρησας, καὶ τὴν γραμματικὴν ἐκείνων εἶναί με τῶν ὄντων νομίζειν ὑπέθου, ἃ τῷ φιλοσόφῳ σοι ὑπόκειται· ὅθεν καὶ δὴ συλλογισμούς τινας τάχα καὶ συμπεράσματα ἐπάγων ἐπιχειρεῖς ἐλέγχειν με κακῶς ὑπειληφότα περὶ τούτων. Ἐγὼ δὲ οὐκ ἀγνοῶ τὴν ἐπίνοιαν, δι' ἣν οὕτω τοῖς λόγοις ἐπεχείρησας. Ἐπιδεῖξαι καὶ γὰρ βουλόμενος, ὅτι σοι φιλοσοφίας μέτεστι, καὶ συλλογισμοῖς δή τισι καὶ συμπεράσμασι κεχρῆσθαι οἶδας. Οὕτω τοὺς πρὸς ἡμᾶς σου διήνεγκας λόγους. Ταῦτ' ἄρα καὶ περὶ Ἀκαδημαϊκῶν ἐμνήσθης, ὡς ἄν σε καὶ συναιρεσιώτην ἐκείνων ἡγησώμεθα. Θαυμάζω δὲ, ὅτι μὴ καὶ τῶν λοιπῶν ἐμνήσθης αἱρεσιωτῶν, Περιπατητικῶν φημι καὶ Ἐρετριῶν καὶ Κυρηναϊκῶν καὶ Μεγαρικῶν καὶ ἐφεκτικῶν καὶ Πρωταγορείων καὶ Κυνικῶν καὶ Ἐπικουρείων καὶ Πυθαγορείων, ὅπως σου καὶ μᾶλλον τὴν πολυμάθειαν ἐντεῦθεν κατὰ τὰς ὁμιλίας ποιοῦντος τοῦ Πλάτωνος. Οὐ τὴν σχολὴν γελάσομεν; Ἐπεὶ καὶ μαθηματικὸν σεαυτὸν ἐμφῆναι βουλόμενος καὶ περὶ ἀστέρων ἔχοντά τι λέγειν, ἐπίτηδες ἡμᾶς ἐρωτηθέντας ὑπό του τῶν σοφῶν διαβάλλεις περὶ πρώτην τῆς νυκτὸς ὥραν περί τινος ἀστέρος κατ' ἀνατολὰς φαινομένου, ὅστις ἄρ' ἦν ἐκεῖνος τῶν ἀστέρων εἰπεῖν, Ἀφροδίτην τοῦτον εἶναι ἀποκριθῆναι, ἀμαθῶς δῆλα δή. Ἐντεῦθεν καὶ γὰρ ὥςπερ ἐπιδιορθούμενος καὶ περὶ Ἀφροδίτης ἡμᾶς διδάσκεις καὶ ὡς οὐκ ἐπέκεινα τῶν μη μοιρῶν ἀφίσταται τοῦ ἡλίου. Ἐντεῦθεν πάντως σε καὶ ἀστρονόμον ἡμᾶς οἰηθῆναι

1. δοκοῦντί σοι οὗ διαγραφέντος ἐγράφη ἄνωθεν χειρὶ νεωτέρᾳ σὺ 3 δυναμένων διορθωθὲν ἄνωθεν νεωτέρᾳ χειρὶ εἰς δυνάμενος 4. εἶναι 6 τινὰς 8 τοῖς λόγοις διορθωθὲν ἄνωθεν νεωτέρᾳ χειρὶ εἰς τῶν λόγων ἐπεχείρησας τῶν γραμμάτων ειρ ἀντικαταστησάντων τὸ πρῶτον γραφὲν ω 14 φημὶ Γραπτέον Ἐρετρικῶν; κυριναϊκῶν 15. πρωταγορείων ἐκ τοῦ πρωταγωρείων 17. ὁμοιλίας διαγραφέντος τοῦ ο οὗ γελάσωμεν 19. ἔχοντα τὶ 20. διαβάλεις 22. δηλαδὴ 25. ἀστρονόμων

ΕΡΑΣΙΤΕΧΝΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΕΥΝΩΝ ΝΟΕΡΑΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΠΑΠΤΣΙΟΥ
Ε.Υ.Δ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πειρώμενος ἀπατᾶν καὶ περὶ τὴν τῶν μεταρσίων ἐσχολακέναι τήρησιν. Καίτοι θαυμάζειν παρίσταταί μοι ὅπως, περὶ ἀποστάσεως αὐτῆς τῆς πρὸς τὸν ἥλιον μνησθείς, μὴ καὶ περὶ τῆς εἰς ταὐτὸν ἀποκαταστάσεως αὐτῷ εἰπεῖν ἠθέλησας, ὡς δι' ἡμερῶν πεντακο-
5 σίων πδ̄ αὕτη, ὅπως τε περὶ αὐτῆς ἐπιχειρήσας λέγειν καὶ τῶν
φ.11 ἄλλων αὐτῆς οὐκ ἐ||μνήσθης προσηγοριῶν, ὁπόταν ἐπικαταδύηται τῷ ἡλίῳ Ἕσπερος καλουμένη λέγων, ὁπόταν δὲ αὐτοῦ προανίσχῃ Ἑωσφόρος ἢ καὶ Φωσφόρος καὶ ὡς δι' ἐνιαυτοῦ τὸν οἰκεῖον διέρχεται κύκλον κατὰ τὴν προαιρετικὴν αὐτῆς κίνησιν καὶ ὡς
10 ὑψοῦται μὲν ἐν τοῖς Ἰχθύσιν, ταπεινοῦται δὲ ἐν τῇ Παρθένῳ, ἔτι τε περὶ ὁμαλῆς καὶ ἀνωμάλου κινήσεως αὐτῆς καὶ πότε μὲν προποδίζειν λέγεται, πότε δὲ ὑποποδίζειν, ἔτι τε περὶ στηριγμῶν αὐτῆς καὶ ἀπορροιῶν καὶ συναφῶν καὶ πήξεων καὶ κολλήσεων καὶ ἐπεμβάσεων καὶ τῶν λοιπῶν αὐτῆς σχηματισμῶν, ἔτι τε τίς
15 ἡ δύναμις αὐτῆς καὶ ἡ ποιότης καὶ τίνα τὰ ἐξ αὐτῆς ἀποτελούμενα καὶ τίνα τῶν ζῴων καὶ φυτῶν αὕτη κεκλήρωτο καὶ τἆλλα ὅσα περὶ αὐτῆς, ἵνα μὴ μακρηγορῶ, τοῖς ἀστρολόγοις παρατετήρηται. Οὕτω γάρ σε τῆς ἀστρολογίας καὶ μᾶλλον ἐθαυμάσαμεν. Νῦν δ', ὡς ἔοικε, τοῦτο καὶ μόνον περὶ αὐτῆς ἔχων, καὶ τοῦτ'
20 ἴσως οὐ καλῶς ἐξεῖπες, ἄλλο μηδὲν περὶ αὐτῆς ἐπιστάμενος, ἐπεὶ οὐκ ἂν ἀπέκρυψας, τοσοῦτον τῷ δοκεῖν ἐθέλειν κατειλημμένος. Ὥστ' οὐδέποτέ σε καὶ ὁπωσοῦν ἀστρονομίας μετέχοντα φήσομεν, κἂν διαρραγείης μυριάκις περὶ μοιρῶν διαλεγόμενος, εἰ μὴ καὶ τοὺς χυτρέας ἀστρονόμους δεῖ καλεῖν. Διὰ τί δὲ μὴ καὶ τὸν
25 ἐρωτήσαντα ὀνομαστὶ λέγεις, ὡς ἄν σου καὶ μᾶλλον τὸ ἀληθὲς

1. ἀπατᾷν περὶ τὴν τῶν 3. ʼθ (=ἥλιον) ταυτὸν
5 (καὶ 11, 12, 14) τὲ 6. ἐ ἐν τέλει τοῦ φύλλου, κάτωθεν δὲ ὡς προδηλωτικὸν τῆς ἐν τῷ ἑπομένῳ φύλλῳ συνεχείας (exultans) μνήσθης τοῦθ' ὅπερ καὶ ἐπαναλαμβάνεται ἐν τῇ ἀρχῇ τοῦ ἑπομένου φύλλου
8. φωσφόρως 9 κίνησιν ἀλλ' οὐδὲν ἀνταποκρίνεται ἐν τῇ ὥρᾳ
13. κολήσεων 14. ἀπεμβάσεων τὶς 16. τ'ἄλλα
20. μὴδὲν 22. ὁποσοῦν 24 διατὶ

ΙΔΡΥΜΑ ΙΩΑΝΝΗΣ Ο ΒΕΛΛΙΝΟΣ ΕΡΕΥΝΗΤΙΚΟ ΚΕΝΤΡΟ ΕΛΛΑΔΟΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΕΠΙΣΤΗΜΟΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἀναφανῇ; Ἀλλ' ἢ πάντως ὡς μὴ ἔχων, ἀλλ' αὐτὸς τοῦτον ἀναπλασάμενος ἐσιώπησας. Ἔπειτα παρῆς, ἀποκρινομένου μου τηνικαῦτα ἢ οὔ; Εἰ μὲν οὖν παρῆς, τί με τηνικαῦτα οὐκ ἐξήλεγχες, ἀμαθῶς ἀποκρινόμενον, ἀλλ' εἰς δεῦρο σεσιώπηκας; Εἰ δ' οὐ παρῆς, πῶς τὸν ἐπ' ἀνατολῆς ἐκεῖνον φαινόμενον, 5 ὡς φῆς, ἀστέρα, κατὰ διάμετρον ἀκριβῶς ᾔδεις εἶναι τοῦ ἡλίου, ὡς καὶ π πρὸς ταῖς ρ μοίραις ἀφίστασθαι τοῦ ἡλίου; Οὐ γὰρ δὴ τοῦ ἡλίου καταδυομένου, τὸν ὁρίζοντα ἐκεῖνος εὐθὺς ὑπερήρετο, ἀλλ' ἦν ἂν τυχὼν ἐξηρμένος αὐτοῦ η ἢ καὶ ιε μοίραις, ἐπειδή γε, ὡς αὐτὸς φῆς, ἐφαίνετο ἐπὶ πολὺ δῆλον ὅτι τοῦ ὁρί- 10 ζοντος ὑπεραρθείς. Πῶς οὖν κατὰ διάμετρον καὶ π πρός; Ὀψὲ δέ ποτε || τὴν τούτων καταμαθόντας δυσσέβειαν, ταυτὶ τὰ ῥημάτια φ 11ᵉ προβαλέσθαι, καὶ οὐδέποτε πείσεις ἡμᾶς ἄλλως φρονεῖν περὶ σοῦ, κἂν μυριάκις ἐπικερτομήσῃς ὡς ἀμαθεῖς καὶ μὴ δυνηθέντας σου συνιδεῖν τὴν ἐπίπλαστον, ὡς αὐτὸς φῆς, βλασφημίαν, ἀλλὰ καὶ 15 μᾶλλον καταγελασόμεθά σου τῆς προπετείας, τῶν ἀνεφίκτων ἐπιχειροῦντος καὶ ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν θέλοντος. Πρὶν μαθεῖν, διδάσκειν ἐθέλεις καὶ πρὶν τὸ ἄλφα καλῶς διδαχθῆναι, σπαρτὸς κατὰ τοὺς ἐν τοῖς μύθοις Γίγαντας ἀναφαίνεσθαι θεολόγος καὶ, ὅ φασιν, ἀπὸ θυννοσκοπείου ἐπὶ τὴν ἡγεμονικὴν αἴφνης ἀπήνην 20 ἅλλεσθαι. Τί δ' ὅτι σου τῆς βλασφημίας οὐκ ἐπελαβόμεθα, τούτῳ καὶ δὴ καθάπερ τινὶ σημείῳ χρῇ τοῦ μὴ βλασφημίαν ταύτην ἡμᾶς οἰηθῆναι; Ἀλλ' εἰ μὲν ὥςπερ οὐκ ἐπελαβόμεθα καὶ ἐπηνέσαμεν, εἶχεν ἄν σου τὸ εὔλογον ὁ λόγος καὶ ἡμῖν εἰκότως ἂν ὡς ἀμαθέσιν ἐμέμφου. Εἰ δ' ὥςπερ περὶ τῶν ἄλλων, οὕτω καὶ περὶ 25 ταύτης σιωπᾶν προειλόμεθα, πῶς ἂν ἡμῖν ἐγκαλεῖν ἔχοις δικαίως περὶ ταύτης; Ἔπειτα μέντοι καὶ ἄλλων σοι πολλῶν προβληθέντων

1. ἢ 6 (καὶ 11). καταδιάμετρον 8. ᶜθ (=ἡλίου) 10. ἐπιπολὺ δηλονότι 13. προβαλλέσθαι πείσης 14. ἐπικερτομήσεις ἀμαθὴς 16. πηδᾶν 18. ἄλφα 20. θηνοσκοπείου ἐκ τοῦ τὸ πρῶτον γραφέντος θηνόσκοπείου 21. ἅλλεσθαι ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἅλεσθαι 26. σιωπᾶν ἔχεις

ΔΑΝΕΙΟ ΤΙΜΙΟΥ ΙΩΑΝΝΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΚΑΙ ΚΑΘΗΓΟΥΜΕΝΟΥ ΜΟΝΗΣ ΒΑΤΟΠΕΔΙΟΥ ΑΓΙΟΝΟΡΕΙΤΩΝ ΑΘΩΝΙΤΙΔΟΣ ΧΑΛΚΙΔΟΣ ΕΝ ΕΤΕΙ 1800 ΜΕΤΑΓΡΑΦΕΝ ΝΕΟΕΛΛΗΝΙΣΤΙ ΕΝ ΤΩΙ ΤΥΠΟΓΡΑΦΕΙΩΙ ΑΘΗΝΑΙΣ ΑΝΑΛΩΘΕΝ ΔΑΠΑΝΗΙΣ ΤΟΥ ΟΙΚΟΥ ΑΥΤΟΥ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἀτόπων μετὰ τῆς βλασφημίας ἐκείνης, εἰ μὲν ἐκείνοις ἀντειπεῖν ἅπασιν ᾠήθημεν δεῖν, ταύτην καὶ μόνην ἀνεξέλεγκτον παρέντες, ἣν ἄν σου καὶ οὕτως τὸ εὔλογον ὁ λόγος ἔχων, ἡμᾶς τε ὡς ἀμαθεῖς δικαίως εἶχε διασύρειν, μὴ δυνηθέντας τὸ ἐκεῖσε συνιδεῖν
5 βλάσφημον. Εἰ δ' ὁμοίως ἐφ' ἅπασιν ἀφώνως διετέθημεν, μηδ' ὁπωσοῦν τι φθεγξάμενοι, πόθεν σὺ τὸ πιστὸν ἔχων, ὡς μὴ συνιέντων σου τῆς βλασφημίας ἡμῶν κατηγορεῖς καὶ τὸ ζητούμενον ὡς ὁμολογούμενον ὑποτιθεὶς, οὕτω συμπεραίνειν ἐπεχείρησας, ὡς, ἐπεὶ τὸ δεύτερον βλάσφημον οὐ νομίζομεν, οὐδὲ τὸ πρῶτον ἄρα.
10 Ἀλλ' οἶμαι, καθάπερ καὶ ἀνωτέρω λέλεκται, αἰσχυνόμενος ἐφ' οἷς μεταμεμέλησαι, εἶτ' ἄλλως οὐκ ἔχων τὴν αἰσχύνην ἀποτρίψασθαι, οὕτω σεαυτὸν καθάπαξ ταῖς διαβολαῖς ἐκδέδωκας, κακῷ τὸ κακὸν, ὅ φασιν, ἐξιώμενος. Ἡμεῖς ἄρα καὶ τὸ δεύτερον ἀσεβὲς ἡγούμενοι, καὶ τὸ πρότερον ἀσεβέστερον ὑπολαμβάνομεν· τούτου
ϛ.12α δ' οὕτως ἔχοντος, || μάταια πάντως καὶ ὅσα ἐπὶ τούτοις καθ' ἡμῶν
16 ἀμαθῶς ἐθεολόγησας, ὧν τὰ πλεῖστα διελέγχειν καθ' ἕκαστον ὡς ἀμαθῆ καὶ βάρβαρα καί που καὶ ἀσεβείας ἐχόμενα οὐκ εὔκαιρον, τῆς ὥρας ἡμᾶς ἐπ' ἄλλα κατεπειγούσης Ἓν δέ σου καὶ μόνον ἀπελέγξαντες, ἐντεῦθεν καὶ τὴν τῶν ἄλλων ἀσέβειαν ἀποχρώντως
20 παραστήσομεν. Θεὶς γὰρ καθ' ὑπόθεσιν, ὡς, εἰ μὲν ὁ θεὸς κατηγορία κατ' ἐμὲ, μὴ ἐν κατηγορίᾳ δὲ ἔσται ὂν αὐτὸς οὐκ ἐν ὄντι, εἶτ' ἐπάγεις κατὰ διλήμματον οὑτωσίν· *εἰ μὲν οὖν τῷ οὐκ ἐν ὄντι τοῦτο φήσεις, ὡς μὴ ἐν τοῖς ἄλλοις ὄντι τῶν κτισμάτων, ψευδής. ἐπὶ πᾶσι γὰρ ὁ θεός· εἰ δὲ οὐχ ὡς ἐν αὐτῷ, ἔσται μὴ ὄν· πᾶν γὰρ*
25 *τὸ μὴ ἐν αὐτῷ ἔχον τὸ εἶναι οὐδέν ἐστι παντελῶς*. Οὕτω τοίνυν σοι τοῦ διλημμάτου περανθέντος, τὸ μὲν εἶναι τὸν θεὸν ὄν, ὡς ἑαυτῷ ὄντα, σφόδρ' ἀποδεχόμεθ' ὡς εὐσεβὲς καὶ τοὺς μὴ οὕτω περὶ θεοῦ φρονοῦντας ἀθέους ἡγούμεθα, μετὰ τῆς Ἵππωνος καὶ Ἐπικούρου συμμορίας συντάττοντες. Θάτερον δέ σου τῶν ἐρωτή-
30 σεων σκόπει εἰ μή σε καὶ Μασσαλιανὸν αὐτίκα παραστήσει. Εἰ

3. τὲ 5. μὴδ' 9. ϭ' 13. ἐξϊώμενος ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἐϛϊώμενος 22. καταδιλμματον 30. σκότει μεσαλϊανὸν

ΕΠΑΣ ΠΙΡΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2007

μὲν οὖν τὸ οὐκ ἐν ὄντι τοῦτο φῆς, ὡς μὴ ἐν τοῖς ἄλλοις ὄντι τῶν κτισμάτων, ψευδές· ἐπὶ πᾶσι γὰρ ὁ θεός. Τὸ δὲ ἐπὶ πᾶσι τοῖς κτίσμασιν, ὦ οὗτος, παρεῖναι τὸν θεὸν πότερον προνοητικῶς καὶ κατὰ τὰς αὐτοῦ φιλοδώρους δωρεὰς καθ' ὃ πάντα τὰ ὄντα ἢ ὄντα αὐτοῦ μετέχει· πάντα γὰρ τοῦ εἶναι ἐφίεται· ἢ κατὰ τὴν ἑαυτοῦ φύσιν καὶ οὐσιωδῶς παρεῖναι φῆς; Εἰ μὲν οὖν προνοητικῶς τοῖς κτίσμασι παρεῖναι τὸν θεὸν καὶ ἢ ὡς ὄντα αὐτοῦ μετέχειν λέγεις, διὰ τί μὴ καὶ τοῦτο προσέθηκας, ὡς ἄν σου τὸ δοξάζειν περὶ θεοῦ κατάδηλον γένηται; Εἰ δὲ κατὰ τὴν αὐτοῦ οὐσίαν καὶ φύσιν ἐν τοῖς κτίσμασι τὸν θεὸν παρεῖναι λέγεις, πῶς οὐχ ὑβριστὴς σὺ τοῦ θεοῦ, τὰ τῶν Μασσαλιανῶν ἄντικρυς πρεσβεύων, τὴν κτίσιν θεοποιῶν; Εἰ γὰρ πανταχοῦ πάρεστιν ὁ θεὸς καὶ τὰ πάντα πληροῖ, ἀλλὰ προνοητικῶς δῆλα δὴ καὶ οὐ κατὰ τὴν ἑαυτοῦ φύσιν· ταύτῃ γὰρ ἅπαντ' ἂν ἦ θεὸς τὰ κτίσματα· ἀλλ' ἀσεβὲς τοῦτο καὶ τῆς τῶν Μασσαλιανῶν παραπληξίας δόγμα. Ὅ||τι δὲ κατὰ τὴν ἑαυτοῦ φ.12ᵃ
φύσιν καὶ οὐ προνοητικῶς τοῖς κτίσμασι παρεῖναι τὸν θεὸν φρονεῖς, δῆλον ἐντεῦθεν. Εἰ μὲν γὰρ ὡς κατηγορίαν ἀναγκαίως ἔδει τὸν θεὸν καὶ ἐν τοῖς οὖσι, λέγω δὲ τοῖς κτίσμασιν, εἶναι κατὰ σέ, πᾶσα δὲ κατηγορία, ἄν περ καθόλου λέγηται καὶ μὴ ὡς ἐν ὑποκειμένῳ καὶ κατὰ συμβεβηκὸς, καθ' ὑποκειμένου λέγεται τῶν ὧν κατηγορεῖται, πῶς οὐκ ἐνταῦθα φανερῶς οὐσιωδῶς παρεῖναι δεῖν οἴει τὸν θεὸν τοῖς ὑπ' αὐτοῦ κτισθεῖσιν, ἐν τούτοις τοῦτον κατηγορεῖν θέλων; Δυσσεβὴς ἄρα φαίνῃ σὺ περὶ θεοῦ σκαιῶς οὕτω φρονῶν. Οὕτω μὲν οὖν τὸ διλήμματον ἀντέστραπταί σοι, μᾶλλον δὲ ἡμῖν μὲν διλημμάτων εὐπορῆσαι παραίτιον γέγονε, καὶ δὴ λύμη τις ὡς ἀληθῶς καὶ οἷς ἡμᾶς ὡς ἐν λαβυρίνθοις ἀφύκτους κατασχήσειν ἐνόμισας, τούτοις αὐτὸς μᾶλλον ἑάλως εἰρχθεὶς, καὶ τὰ Σεμιράμιδός σοι τείχη κατ' οὐδὲν τῶν ἀραχνίων ἱστῶν διαφέρειν ἠλέγχθησαν. Εἶεν.

4. καθὸ 8. διατὶ 11 (καὶ 15). μεσαλιανῶν 13. δηλαδὴ
26. τὶς 27. εἰρχθεὶς 28. ἱστῶν

ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΕΠΕΤΗΡΙΣ ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΕΙΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΑΠΟ ΚΑΘΗΓΗΤΗ ΤΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΑΠΑΔΟΠΟΥΛΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ὁ δέ σε καὶ παντελῶς ψεύστην ἀποδείκνυσι μάλα λαμπρᾷ τῇ φωνῇ καὶ ἥκιστα σαυτὸν σαυτῷ συμφωνοῦντα κἀν ταῖς τῶν λόγων μεταβολαῖς πολλῷ τὸν μυθευόμενον Πρωτέα παρεληλυθέναι, τοῦτο καὶ δὴ σκόπει. Ἀνωτέρω μὲν γὰρ τῶν σῶν φῆς γραμμάτων, ὡς τοῦδε χάριν ἐπ' ἐκκλησίας ἡμᾶς μηδὲν εἰδέναι εἴρηκας, ὡς σοῦ μὲν τὸν θεὸν μὴ ἐν ὑποκειμένῳ φάσκοντος, αὐτὸς ἀνθιστάμενος ἐν ὑποκειμένῳ ἔλεγον, εἶτα μικρὸν προϊὼν τοῦ λόγου, ὥςπερ ἐξεστηκὼς σεαυτοῦ καὶ παντελῶς ἐπιλαθόμενος ἐκείνων, τούτου χάριν παροξυνθῆναι καθ' ἡμῶν, καὶ ὡς ἀμαθεῖς ἀποσκῶψαι φῆς, ὅτι τοῦ τὴν διάλεξιν ἐνστησαμένου προκαλοῦντος, εἰ βουλόμεθα λέγειν, ἡμᾶς οὐκ εἰωθέναι φῆς μετὰ παίδων διαλέγεσθαι πρὸς αὐτὸν ἀποκριθῆναι, ἐπὶ φιλοσοφίᾳ γηράσαντας, καὶ διὰ τοῦτο θυμὸν ἐνῆκέ σοι τὸ οὕτωςί πως ἀποκριθῆναι σου τῷ φίλῳ. Ὁρᾷς ὡς παραπλὴξ ἄνθρωπος σὺ
φ.13α καὶ τὸν ἐγκέφαλον τεταραγμένον φορῶν καὶ ἄλλοτε ἄλλα εἰκῇ καὶ ὡς ἔτυχε προβαλλόμενος, ὥςπερ ἐν ἀπορίᾳ ὅπλων ‖ τῷ φανέντι χρώμενος. Πότερον γάρ σου τοῖν λόγοιν ὡς ἀληθῆ δεξόμεθα; Εἰ μὲν γὰρ ὁ πρῶτος ἀληθής, ψευδὴς ὁ δεύτερος· εἰ δ' ὁ δεύτερος ἀληθής, ψευδὴς ὁ πρῶτος Ἀλλὰ μὴν οὐδέτερος ἀληθής, ὡς δειχθήσεται. Εἶτ' οὐ δέδιας, ἄθλιε, ψεύστην σαυτὸν καὶ ἐπίορκον καὶ συκοφάντην φανερῶς οὕτωςὶ καθιστάς; Οὐ φοβῇ τὰ ἐκ τούτων ὁρισθέντα τοῖς πατράσιν ἐπιτίμια; Οὐκ ἤκουσας τοῦ Δαυὶδ λέγοντος Ἀπολύει Κύριος πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος; Οὐ τοῦ Ἰακώβου Μὴ ὀμνύετε μήτε τὸν οὐρανὸν μήτε τὴν γῆν· μᾶλλον δὲ αὐτοῦ τοῦ Κυρίου διαρρήδην ἀπαγορεύοντος τὸν ὅρκον; Οὔκ ἤκουσας τοῦ Δημοσθένους λέγοντος Πονηρὸν, ὦ Ἀθηναῖοι, πονηρὸν ὁ συκοφάντης; Ἀλλὰ γὰρ ὁ τὸν θεὸν ὑπὸ τὴν οὐσίαν ὡς εἶδος ἀνάγειν τολμῶν σχολῇ γ' ἂν εὐλαβηθείη μὴ ἐπιορκῆσαι, ἤτοι ψεύσασθαι, ἢ συκοφαντῆσαι; Ἐγὼ, διαλεχθῆναι προκαλούμενος, οὕτως ἀπεκρινάμην τῷ καλοῦντι; Τίς ἡ ἀπόδειξις; Ἆρ' οὐκ ἐν τοῖς ζῶσιν ὁ τότε τὴν διάλεξιν ἐνστησάμενος; Ἀκούσας ἐκεῖνος

2. κἂν 9. φῆς 12. ἐνῆκε 16. Τὸ πότερον εἶχε τὸ πρῶτον καὶ ἐν τέλει ὀξεῖαν διαγραφεῖσαν ἔπειτα 19 εἶτ' 24. ὅρκον 29. τὶς 30. οὐκούσας

ΕΡΓΑΣΤΗΡΙΟ ΙΣΤΟΡΙΑΣ ΝΕΩΤΕΡΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΩΑΝΝΗΣ ΣΙΜΩΝ ΠΑΝΑΓΟΠΟΥΛΟΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Γ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὴν διαβολὴν ἐνεὸς ἐγεγόνει, τὴν συκοφαντίαν ἐκπληττόμενος. Οὐκ ἐλέγξει σου καὶ παραστήσει κατὰ πρόσωπον οὗτος τὴν ἁμαρτίαν; Πῶς δὲ καὶ ἐν ὑποκειμένῳ μὲν ἡμᾶς τηνικαῦτα λέγειν τὸν θεὸν φῆς, σὺ δὲ μὴ ἐν ὑποκειμένῳ; Οὕτω σεαυτὸν καθάπαξ τῷ διαβόλῳ παραδέδωκας, ὡς μηδ' ὁπωσοῦν σοι καὶ ἀληθείας μέλειν; Πότερον ἐγώ τε καὶ σὺ μόνω καὶ ἐν παραβύστῳ καὶ γωνίᾳ παρῆμεν, ὅτε διηλέγμεθα, οὐκ ἐπὶ πλέον ἢ μάρτυσιν ἑκατόν; Εἶτ' εἰ τὸν θεὸν οὐ φοβῇ, τοὺς ἀνθρώπους οὐκ αἰσχύνῃ, οὕτω κατὰ τῆς ἀληθείας ὀμόσε χωρῶν; Οὐ σὺ μὲν τὴν οὐσίαν τοῦ θεοῦ μηδὲν τῆς τῶν ἀγγέλων καὶ τῶν ψυχῶν καὶ τῶν ἀνθρώπων καὶ τῶν λοιπῶν κτισμάτων διαφέρειν ἐφληνάφεις, ἐγὼ δὲ ὑπερτέραν ὅσον οὐκ ἔνι λόγῳ εἰπεῖν τῶν τε νοητῶν καὶ τῶν αἰσθητῶν κτισμάτων ἀπέφαινον καὶ μηδ' ὁπωσοῦν παραβληθῆναι φύσιν ἔχειν τῇ οἱαδήτινι οὐσίᾳ || τὴν ὑπὲρ πάντα λόγον καὶ πᾶσαν ἔννοιαν ἀπόρρητον ἐκείνην φ. 13ᵃ
οὐσίαν; Οὐ σὺ μὲν τὸν θεὸν ὑπὸ μίαν τῶν δέκα κατηγοριῶν ἀνάγεσθαι, ἐγὼ δὲ ὑπ' οὐδεμίαν ἀντέλεγον; Ἀλλ' ὅτι μὲν ταῦθ' οὕτως ἔχει καὶ οὐκ ἄλλως, μαρτυρήσουσι μὲν οἱ ἐκεῖσε παρατυχόντες ἅπαντες, μαρτυρήσεις δὲ καὶ αὐτός, μᾶλλον δὲ ἤδη μαρτυρεῖς καὶ ἄκων, τῇ ἀληθείᾳ συνελαυνόμενος. Φῆς γὰρ οὕτωσί· *πρότερον γὰρ εἰ ἐν κατηγορίᾳ ὁ θεὸς ἐζητεῖτο καὶ ὅτι ἐν κατηγορίᾳ ἐλέγετο παρ' ἐμοῦ* καὶ τὰ ἑξῆς. Τὸ δὲ ἐν κατηγορίᾳ σε λέγειν, ὦ οὗτος, τὸν θεὸν ταὐτόν ἐστι τῷ ὡς ἐν γένει τῇ οὐσίᾳ τὸν θεὸν ὡς εἶδος εἶναι. Τοῦτο δὲ τί ἄλλο ἢ τὸν θεὸν ὑπὸ τὴν οὐσίαν ἀνάγεσθαι λέγειν ἐστὶν ἀριδήλως; Οὐκοῦν σὺ μὲν ἐν κατηγορίᾳ τῆς οὐσίας τὸν θεὸν ἔλεγες, ἐγὼ δὲ οὔ. Τὸ δὲ μὴ ἐν κατηγορίᾳ λέγειν με τὸν θεὸν τὸ μὴ τὸν θεὸν εἶδός ἐστιν [εἶναι] τῆς οὐσίας. Τοῦτο δὲ τί ἕτερον ἢ τὸν θεὸν μὴ ὡς εἶδος ὑπὸ τὴν οὐσίαν ἀνάγεσθαι;

Τούτων τοίνυν οὕτως ἐχόντων καὶ μηδενὸς ἀντειπεῖν πρὸς ταῦτα ἔχοντος, τίς εὐσεβέστερον ἐδόκει λέγειν, ὁ τὸν θεὸν εἶδος

5. μὴδ' 6. μόνῳ 11. ὅσον ὅσον 13. μὴδ'
15. τῶν ἵ 22. ταυτόν 23. τὶ 26. εἶδος ἐστὶ τὶ
29. τὶς

ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΕΠΕΤΗΡΙΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΟΛΥΤΕΧΝΙΚΗ ΣΧΟΛΗ ΑΡΙΣΤΟΤΕΛΕΙΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΚΟΣΜΗΤΗΣ ΑΠΘ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τῆς οὐσίας καταφάσκων ἢ ὁ τὸν θεὸν εἶδος τῆς οὐσίας ἀποφάσκων; Πάντως ὁ τῇ ἀποφάσει χρώμενος ἐγώ. Οὐκοῦν δυςσεβῶς ἐδόκεις σὺ τότε λέγειν περὶ θεοῦ. Δικαίως ἄρα ἡμεῖς μέν σε τηνικαῦτα δυςσεβῆ κεκλήκαμεν, οὕτω περὶ θεοῦ διαλεγόμενον, σὺ δὲ ἡμᾶς ἀδίκως ὡς ἀμαθεῖς διέβαλες, οὕτω περὶ θεοῦ φρονοῦντας. Σκόπει καὶ γὰρ ἡλίκοις ἀτόποις ἐκ τῆς δυςσεβοῦς σου ταυτησὶ θέσεως, εἰ οὕτω χρὴ φάναι, τὸν θεὸν ὑπάγεσθαι ἀκολουθεῖ· δι' ἃ σου καὶ τὴν γλῶτταν ἀφελεῖν δίκαιον ἦν, ὡς ἐγῶμαι, εἰ μή γε μεταμεμέλησαι. Εἰ γὰρ ὁ θεὸς, ὧ οὗτος, κατὰ σὲ ὑπὸ τὴν οὐσίαν ἀνάγεται, εὑρεθήσεται μὲν ὁ θεὸς εἶδος, ἡ δὲ οὐσία γένος αὐτοῦ. Οὐκοῦν ἀπαιτήσομεν τάς τε εἰδοποιοὺς αὐτοῦ διαφορὰς, τάς τε διαιρετικὰς, καθ' ἃς εἰδοποιηθήσεταί τε καὶ τῶν ἄλλων εἰδῶν τῶν ὁμογενῶν διακριθήσεται. Ἀλλ' ἄτοπον κομιδῇ καὶ ἀσεβὲς ἐπὶ θεοῦ διαφορὰς ὅλως ἐννοεῖν εἰδοποιούς. Οὕτω γὰρ πρὸς τοῖς ἄλλοις ἀτοπήμασι καὶ σύνθετός τις ἔσοιτ' ἂν ὁ ὑπὲρ πᾶσαν ἁπλότητα θεός.

φ.14α ‖Οὐκ ἄρα ὁ θεὸς εἶδος, ὅτι, εἰ ὁ θεὸς ὑπὸ τὴν οὐσίαν ἀναχθήσεται, ἔσται ἐν τῷ εἶναι ὁ θεὸς ὡς περιεχόμενον ὑπὸ περιέχοντος καὶ οὐχὶ τὸ εἶναι ἐν τῷ θεῷ. Ἀλλ' οἱ θεολόγοι οὐχ οὕτω βούλονται. Φησὶ γὰρ ὁ μακάριος Διονύσιος *Καὶ τὸ εἶναι ἐν αὐτῷ καὶ οὐκ αὐτὸς ἐν τῷ εἶναι.* Καὶ ὁ Θεολόγος δὲ Γρηγόριος *Ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὼν ἔχει τὸ εἶναι,* φησὶν, *μήτε ἀρξάμενον μήτε παυσάμενον* καὶ τὰ ἑξῆς. Οὐκ ἄρα ὁ θεὸς ὑπὸ τὴν οὐσίαν ἀνάγεται, ὅτι πάντα τὰ ὑπὸ τὴν οὐσίαν ὡς εἰς γένος ἀναγόμενα εἴδη κατὰ μὲν τὸ ὑποκείμενον οὐδὲν ἀλλήλων διαφέρουσιν, ὡς φέρε εἰπεῖν ἄνθρωπος καὶ βοῦς καὶ ἵππος τῇ οὐσίᾳ μὲν οὐ διαφέρουσιν ἀλλήλων, κατὰ δὲ τὰς παρούσας ἑκάστῳ διαφορὰς ἀλλήλων διενηνόχασι. Καὶ ὁ ἀπρόςιτος τοίνυν θεὸς, ὑπὸ τὴν οὐσίαν κατὰ σὲ ἀναγόμενος, ταῖς μὲν διαφοραῖς διοίσει τῶν ὁμογενῶν αὐτῷ, κοινωνήσει δὲ τούτοις τὴν φύσιν. Καὶ λοιπὸν ὁ ἀμέθεκτος ἔσται μεθεκτὸς ἐν μέρει καὶ μετέχων καὶ μετεχόμενος, καὶ ὁ ἄκτιστος κτιστὸς καὶ ὁ ποιητὴς οὐδὲν τῶν ποιημάτων διαφορὰν

7. γλώτταν 8. ἐγῶμαι 16. ἐν τῇ ᾧᾳ 6' 17. τὸ ἐκ τοῦ τὸ πρῶτον γραφέντος τῷ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἕξει. Ἀλλ' ἀσεβοῦς διανοίας γε τοῦτο καὶ μὴ ὅτι γε εἰπεῖν, ἀλλ' οὐδ' ἐνθυμηθῆναι φορητόν. Οὐκ ἄρα ὁ θεὸς ὑπὸ τὴν οὐσίαν ἀναχθήσεται. Ἡ γὰρ μακαρία καὶ ἀκήρατος φύσις θεοῦ ἀμέθεκτός ἐστι πάντῃ κατὰ τὴν οὐσίαν αὐτῆς. Τῆς γὰρ οὐσίας αὐτῆς οὐδὲν τῶν ὄντων μετέχει. Ὑπὲρ τὰ ὄντα γάρ ἐστι κατὰ τὴν ἰδίαν φύσιν, εἰ δέ ποτε καὶ μεθεκτὸς λέγοιτο, κατὰ τὰς φιλοδώρους αὐτοῦ μεταδόσεις καὶ δωρεάς, καθ' ὃ πάντα τὰ ὄντα αὐτοῦ μετέχει καὶ δι' αὐτοῦ συνέστηκε· τὸ γὰρ μὴ μετέχον αὐτοῦ οὔτε ἐστὶν οὔτε ἔσται οὔτε ἦν κατὰ τὸν μέγαν Διονύσιον.

Ὅτι εἰ ὡς εἶδος ὁ θεὸς ὑπὸ τὴν οὐσίαν ὡς εἰς γένος ἀναχθήσεται, ἔσται ὁ θεὸς φύσει παραχθεὶς ἅμα τοῖς ἄλλοις εἴδεσιν, τοῖς ἐκ τοῦ αὐτοῦ γένους ἀντιδιῃρημένοις, ὥςπερ καὶ Ἀριστοτέλης ἐν τῇ περὶ τοῦ ἅμα διδασκαλίᾳ φησίν, οἷον *Τό τε ἔνυδρον καὶ τὸ πεζὸν καὶ τὸ πτηνὸν ἐκ τοῦ αὐτοῦ διαιρεθέντα γένους, τοῦ ζῴου, ἀντιδιαιρούμενα λέγεται καὶ οὐδέν γε* || *τούτων πρότερον ἢ ὕστερόν ἐστιν,* φ.14ᵉ *ἀλλ' ἅμα τῇ φύσει τὰ τοιαῦτα δοκεῖ εἶναι.* Οὐκοῦν καὶ ὁ θεὸς, εἴπερ καθ' ἡμᾶς εἶδος τῆς οὐσίας, ἅμα τοῖς ἐξ αὐτῆς ἀντιδιῃρημένοις εἴδεσιν ἔσται. Καὶ τί λοιπὸν πλέον ἔσται τῷ θεῷ, κτιστῷ γε ὄντι καὶ γεννητῷ καὶ ἰσοτίμῳ τοῖς κτίσμασι καὶ ἐν χρόνῳ ἀρξαμένῳ τοῦ εἶναι; Τοιαῦτα γὰρ τὰ ἀντιδιαιρούμενα. Ταύτῃ γὰρ οὐδὲ θεὸς ἂν εἴη καλεῖσθαι ἄξιος, οὐδὲ δημιουργὸς, οὐδὲ παραγωγεύς. Πῶς γὰρ ὁ ὑπ' ἄλλου παραχθεὶς οὐδὲ ἄχρονος, οὐδὲ ἄπειρος, οὐδὲ ἀγέννητος, οὐδέ τι τῶν ἄλλων, ὅσα περὶ θεοῦ καταφατικῶς ἢ ἀποφατικῶς θεολογεῖται; Ἀλλ' ἕτερόν τινα ζητήσωμεν θεὸν, ᾧ ταῦτα πρέπει καὶ δι' οὗ ὁ κατὰ σὲ καὶ τὴν σὴν καινοτομίαν καὶ ἀσέβειαν παραχθεὶς ἔσται ὑλικός τε καὶ χρονικὸς θεός; Ἐκεῖνος γὰρ μᾶλλον ἂν εἴη θεός. Εἰ δὲ ταῦτα πάντα ἀσεβῆ καὶ ἄθεα καὶ πάσαις ἀκοαῖς ἀνθρώπων ἀφόρητα, παῦσον ποτὲ γοῦν, ὦ κενὲ, κενῶν

2. οὐδενθυμηθῆναι 6. μεθεκτὸς (ἐκ τοῦ τὸ πρῶτον γραφέντος μέθεκτος) λέγοιτο 7. μεταδώσεις καθὸ 10. Ἐν τῇ ᾧ δ' 13. φησὶ 15. ὕστερον ἐστὶν 18. τὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΤΜΗΜΑ ΚΛΑΣΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΠΙΜΕΛΕΙΑ ΕΡΓΩΝ ΝΙΚΟΛΑΗΣ ΚΩΣΤΑΝΤΙΝΟΣ Θ. ΜΕΤΣΙΟΥ ΑΦΟΣΙΩΣΗ ΕΠΙΤΗΔΕΙΟΤΗΤΑΣ ΚΑΙ ΔΙΑΔΟΣΗ ΕΛΕΥΘΕΡΗ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ληρημάτων, τὸν θεὸν ὡς εἶδος ὑπὸ τὴν οὐσίαν ἀνάγων, ἵνα μὴ μᾶλλον αὐτὸς σὺ πρὸς τὸν τῆς ἀπωλείας καταχθείης βόθρον.

Ὅτι εἰ ὁ θεὸς ὑπὸ τὴν οὐσίαν ἀνάγεται, εἴη γ' ἂν ὁ θεὸς εἶδος, ἡ δὲ οὐσία γένος αὐτῷ. Ἀλλὰ τὰ μὲν γένη πρότερα φύσει τῶν εἰδῶν καὶ συναναιροῦντα, ἀλλ' οὐ συναναιρούμενα. Οὐκοῦν καὶ τῆς οὐσίας, ἥτις καθ' ἡμᾶς, ἀναιρεθείσης, γένος τῷ θεῷ, ἀναιρεθήσεται πάντως καὶ ὁ θεός. Τοῦ θεοῦ δὲ ἀναιρεθέντος, οὐ πάντως ἀναιρεθήσεται καὶ ἡ οὐσία· ἕξει γὰρ τὸ εἶναι ἐν τοῖς ἄλλοις εἴδεσιν. Ἔστι γὰρ καὶ τοῦτο τοῖς γένεσιν ἴδιον, τὸ πλεονάζειν τῇ τῶν ὑπ' αὐτὰ εἰδῶν περιοχῇ. Εἰ δὲ ταῦτα πάντα ἀσεβείας ἀνάμεστα καὶ παραπλήγων ἀνθρώπων ληρήματα, μάταιος ὄντως σὺ ὑπὸ τὴν οὐσίαν τὸν θεὸν ὡς εἶδος ἀνάγων· τοῦ γὰρ θεοῦ πρεσβύτερον οὐδὲν, οὐδ' αἴτιον. Οὐδεὶς γὰρ εἰπεῖν ἔχει θεοῦ αἰτίαν, εἰ τοῦτο ἂν εἴη θεὸς κατὰ τὸν ἐν θεολογίᾳ Γρηγόριον. Ἀλλὰ καὶ πάντα γένη καὶ πάντα εἴδη καὶ πᾶσαι οὐσίαι καὶ πάντα ἄτομα καὶ ὅλως
φ·15α πάντα νοητὰ, πάντα αἰσθητὰ ποιήματα καὶ ἔργα τῆς || δυνάμεως αὐτοῦ εἰσιν, ἐν χρόνῳ παρ' αὐτοῦ ἐκ μὲν ὄντων εἰς τὸ εἶναι παραχθέντα, φθαρτά τε τῇ ἑαυτῶν φύσει, εἰ καί τινα τούτων χάριτι αὐτοῦ ἔσονται ἄφθαρτα. Αὐτὸς δέ ἐστιν ἄχραντος καὶ ἄναρχος καὶ ἀκήρατος καὶ ἀπαθὴς καὶ ἀναλλοίωτος καὶ εἰς ἀεὶ διαμένων ὡςαύτως, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. Οὐκ ἄρα ἡ οὐσία γένος αὐτῷ.

Ὅτι πάντα τὰ ὑπό τι ἀναγόμενα γένος ὡς εἴδη, ἄν τε ὑπὸ τὴν οὐσίαν, ἄν τε ὑπὸ τὸ ποσὸν, ἄν τε ὑπὸ τὸ ποιὸν, ἄν τε ὑπὸ τὰ πρός τι, ἄν τε ὑπ' ἄλλο ὁτιοῦν τῶν λοιπῶν γενικωτάτων γενῶν εἴποις, ἀναγκαίως ὑπόκεινται ὅροις. Οὕτω γὰρ τήν τε ἀρετὴν καὶ τὴν ἐπιστήμην καὶ τὴν ἕξιν καὶ διάθεσιν, καὶ τὸ τρίγωνον δὲ καὶ τετράγωνον ὑπὸ τὴν ποιότητα ἀνάγοντες, εἴδη ταύτης φαμὲν, καὶ ἑκάστῳ τούτων τὸν οἰκεῖον ἀποδιδόαμεν λόγον, διάθεσιν λέγοντες εἶναι τὸ καὶ τὸ

3. Ἐν τῇ ᾧᾳ ἔ 10. αὐτῶν 11. μάταιον 17. εἰσὶν

18 φθαρτάς ε οὐδενὸς ἀνταποκρινομένου εἰς τὸ σημεῖον τοῦτο ἐν τῇ ᾧᾳ 20. ᾀεὶ 23. Ἐν τῇ ᾧᾳ ς

ΕΥΓΑΔ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

καὶ ἐπὶ τῶν λοιπῶν ὡςαύτως. Ὁμοίως καὶ διπλᾶ καὶ ἥμισυ ὑπὸ τὰ πρός τι ἀνάγοντες, ἑκάτερον τούτοιν ὁριζόμεθα καὶ ἀριθμὸν καὶ λόγον καὶ γραμμὴν καὶ ἐπιφάνειαν καὶ τόπον καὶ χρόνον, τὰ μὲν ὑπὸ τὸ διωρισμένον ποσὸν ἀνάγοντες, τὰ δ' ὑπὸ τὸ συνεχὲς, ἑκάστῳ τὸν οἰκεῖον ὅρον ἀποδίδομεν. Καὶ ἵππος δὲ καὶ λέων καὶ ζῷον καὶ ἐλαία καὶ συκῆ καὶ ὅσα ὑπὸ τὴν οὐσίαν τελεῖ ὅροις ὑπόκεινται. Ἐντεῦθεν γὰρ ἑκάστου τὴν φύσιν, ἥτις ποτέ ἐστι καὶ ὁποία τίς ἐστι, διδασκόμεθα. Εἰ τοίνυν καθ' ὑμᾶς καὶ ὁ θεὸς εἶδος, ὅρον ἕξει πάντως. Τί γὰρ ὂν εἶδος ἔσται; Εἰ δὲ ὅρον, πάντως καὶ ὁριστὸς ἔσται· οἱ γὰρ ὅροι ὁριστῶν· τῶν γὰρ πρός τι εἰσίν. Εἰ δὲ ὁριστὸς, καὶ ἐπιστητὸς πάντως· τὰ γὰρ ὁριστὰ ἐπιστητά. Εἰ δὲ ἐπιστητὸς, καὶ καταληπτός· καταληπτὰ γὰρ τὰ ἐπιστητά. Εἰ δὲ καταληπτὸς, καὶ πεπερασμένος ἐξ ἀνάγκης. Καὶ οὕτως, ἑνὸς ἀτόπου δοθέντος, πολλὰ τὰ ἄτοπα περὶ θεοῦ λέγειν ἕψεται, καὶ τὸ θεῖον οὐδὲν τῶν λοιπῶν διοίσει πραγμάτων καθ' ὑμᾶς. Ἀλλ' οὔτε τις τῶν θύραθεν ἢ τῶν καθ' ἡμᾶς θεολόγων εἰς το||σοῦτον ἀπονοίας φ.15ᵇ καὶ παραπληξίας ἐλήλυθέ ποτε, ὥςτε τινὰ ὅρον θεοῦ ἀποδοῦναι τολμῆσαι, ὡς καὶ τοῖς ἐντεῦθεν ἑπομένοις ἀτοπήμασιν αὐτὸν ὑπάγεσθαι. Τἀναντία μὲν οὖν μᾶλλον ἀποφαινόμενοι περὶ θεοῦ φαίνονται, ἄπειρον αὐτὸν καὶ ἀόριστον, πᾶσαν ὑπερεκπίπτοντα καὶ χρόνου καὶ φύσεως ἔννοιαν καὶ ὑπὲρ πᾶσαν κατάληψιν ὄντα.

Οὐκ ἄρα ὁ θεὸς εἶδος τῆς οὐσίας, ὅτι, εἰ ὁ θεὸς εἶδος, ὁριστὸς ἔσται, ὥςπερ καὶ ἀνωτέρω μικρὸν δέδεικται, τὸ δὲ ὁριστὸν ὅρῳ ἐστὶν ὁριστόν· οἱ δὲ ὅροι λόγοι σύντομοι δηλωτικοὶ τῆς φύσεως τῶν ὑποκειμένων αὐτοῖς πραγμάτων. Οὐκοῦν ἄρα ἡ τοῦ θεοῦ φύσις καταληπτὴ καθ' ἡμᾶς ἔσται, εἴ γε ὅρῳ ὑποπεσεῖται, ἀλλὰ χαλεπὸν καὶ ἐννοῆσαι, μὴ ὅτι γε εἰπεῖν. Θεοῦ γὰρ φύσεως δηλωτικὸν τῶν ὄντων οὐδέν. Ἔστι γὰρ ὑπὲρ πᾶσαν κατάληψιν καὶ γνῶσιν ἀγγέλων τε καὶ ἀνθρώπων, καὶ τοῦτο παρ' αὐτῆς τῆς

4. διορισμένον 7. ἥτίς ποτε ἐστὶ 8. ὁποῖα 9. τὶ
10. εἰσὶν 15. ὑμᾶς οὔτέ 16. ἀπωνίας 17. ὥςτέ τινα
22. Ἐν τῇ ᾧᾳ ζ̃ 23 ἀνωτέρῳ 27. ἐνοῆσαι 29. τὲ

ΕΓΑΣ ΕΠΙΣΤΗΜΟΝΙΚΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΠΕΟΛΕΜΙΚΗ ΦΙΛΟΣΟΦΙΑ ΑΠΟΘΗΚΗ ΑΛΗΘΗΣ ΚΩΣΤΑΝΤΙΝΟΣ Ο. ΓΗΤΣΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

θείας καὶ μακαρίας φύσεως μεμαθήκαμεν. Φησὶ γὰρ αὐτὴ περὶ ἑαυτῆς τῷ Μωϋσῇ διαλεγομένη *Οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου καὶ ζήσεται εἰς τὸν αἰῶνα,* τὸ ἀκατάληπτον αὐτῆς ἐντεῦθεν αἰνιττομένη. Οὐκ ἄρα ὁ θεὸς ὁριστός· οὐκοῦν οὐδὲ εἶδος.

5 Ὅτι εἰ ὁ θεὸς ὑπὸ τὴν οὐσίαν ὡς εἶδος ἀναχθήσεται, ὅρον ἕξει πάντως, ὡς δέδεικται· οἱ δὲ ὅροι περιληπτικοὶ γενῶν τε καὶ διαφορῶν· ἐκ τούτων γὰρ συνίστανται. Οὐκοῦν εἴη ἂν ὁ θεὸς ὡς ὁριστὸς γένος ἔχων καὶ διαφοράς· καὶ ἔσται ὁ θεὸς ἐν γένει τινί. Εἰ δὲ τοῦτο, καὶ ἐν μετοχῇ αὐτοῦ δῆλα δὴ καὶ ὕστερον αὐτοῦ καὶ πολλοῖς ἑτέ-
10 ροις κοινωνῶν κατὰ τὴν οὐσίαν τοῦ γένους, πρὸς δὲ καὶ σύνθετος καὶ ὑπ' ἀρχήν, κἀντεῦθεν οὐ κυρίως ἀρχή, οὐδὲ κυρίως αἴτιος, ἀρχὴν ἔχων τὰ πράγματα, ὧν οἱ λόγοι ἀρχὴ καὶ αἰτία τῶν περὶ αὐτοῦ λόγων εἰσίν· Ὡς γὰρ οἱ λόγοι πρὸς τοὺς λόγους, οὕτω τὰ πράγματα πρὸς τὰ πράγματα. Εἰ δὲ ταῦτα πάντα πάσης ἀσεβείας
15 καὶ βλασφημίας ἀνάπλεα καὶ τοῦ ἐνοικοῦντός σοι πονηροῦ πνεύματος ἀναπλάσματα καὶ οἷα οἱ περὶ τὸν Ἄρειον οὐκ ἂν ἐφρυάξαντο εἰπεῖν, οὐκ ἂν εἴη ὁ θεὸς εἶδος γένος ἔχων καὶ διαφοράς.

φ. 16α Ἔστι γὰρ ὑπὲρ πᾶσαν ἁπλότητα καὶ ἀόριστος || καὶ ἀμέθεκτος πάσῃ γεννητῇ φύσει καὶ οὐδενὶ τῆς ἑαυτοῦ φύσεως κοινωνεῖ τῶν
20 ὑπ' αὐτοῦ κτισθέντων, καὶ ἄναρχος καὶ ἀρχὴ καὶ αἰτία πάντων τῶν ὄντων· ποιητὴς γὰρ χρόνων, οὐχ ὑπὸ χρόνον. Οὐκ ἄρα ὁ θεὸς εἶδος.

Ὅτι πάντα ὑπὸ γένη τινὰ ἀναγόμενα εἴδη ὀνόματα ἔχει· ἐντεῦθεν γὰρ εἰς ἔννοιαν ἐρχόμεθα ὅτῳ γενῶν εἰσιν ὡρισμένως εἴδη.
25 Οἷον, θέσιν ἀκούοντες καὶ ὅμοιον καὶ κλίσιν καὶ στάσιν καὶ καθέδραν καὶ ἀρετὴν, τῶν πρός τι φαμὲν εἶναι εἴδη· καὶ δίπηχυ δὲ καὶ τρίπηχυ καὶ γραμμὴν καὶ ἐπίπεδον ἀκούοντες, ὑπὸ τὸ ποσὸν ταῦτά φαμεν ἀνάγεσθαι καὶ εἴδη εἶναι τούτου. Ὁμοίως καὶ ψυχρό-

3. αὐτῆς 5 Ἐν τῇ ᾧᾳ η̃ 6 τὲ 9. δηλαδὴ πολλεῖς 13. εἰσὶ 15. ἐνοικοῦντος 19. γεννητῇ κοινωνεῖν

23 Ἐν τῇ ᾧᾳ θ̃ 24. ὅτῳ οὐδενὸς ἀνταποκρινομένου εἰς τοῦτο τὸ σημεῖον ἐν τῇ ᾧᾳ εἰσὶν 28. ταῦτα φαμὲν

ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΕΠΙΤΡΟΠΗ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΜΕ ΤΟ ΤΜΗΜΑ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΚΑΙ ΤΗΣ ΚΟΝΤΑΡΙΤΕΙΟΥ ΟΙΚΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τητα καὶ θερμότητα καὶ νόσον καὶ ὠχρίασιν καὶ μελανίαν καὶ γλυκύτητα ἀκούοντες, ὑπὸ τὴν ποιότητα ἀνάγοντες, εἴδη ταύτης φαμὲν εἶναι. Καὶ ἐνεστῶτα δὲ καὶ μέλλοντα καὶ παρεληλυθότα ἀκούοντες, τοῦ πότε εἴδη φαμὲν εἶναι. Καὶ ἄνω δὲ καὶ κάτω καὶ δεξιὸν καὶ ἀριστερὸν ἀκούοντες, ὑπὸ τὸ ποῦ ἀνάγοντες, εἴδη τούτου φαμέν. Ὡσαύτως δὲ καὶ σῶμα καὶ ζῷον καὶ φυτὸν καὶ τὰ λοιπὰ ἀκούοντες, εἴδη τῆς οὐσίας εἶναι ταῦτα λογιζόμεθα καὶ ὑπὸ ταύτην ἀνάγομεν. Καὶ ἐπὶ τῶν λοιπῶν δὲ ὡςαύτως. Οὐκοῦν καὶ ἐπὶ θεοῦ, εἴπερ ὅλως καθ' ὑμᾶς ὡς εἶδος ὑπὸ τὴν οὐσίαν ἀνάγεται, ὄνομα κύριον εἶναι δεῖ, ὅπερ αὐτὸν τῶν ἄλλων ὁμογενῶν διαστήσει καὶ ὑπὸ τὸ τῶν αὐτῶν εἰδῶν γένος ἀνάξει, ὡς, ἕως ἂν αὐτὸν ἀνώνυμον εἰδῶμεν, οὐδέποτ' ἂν ὑμῖν πεισθείημεν οὔθ' ὑπὸ τὴν οὐσίαν οὔθ' ὑπ' ἄλλην τῶν γενικωτάτων ἀρχῶν ἀνάγεσθαι· τὸ γὰρ ἀνώνυμον τυχὸν οὐδὲ ὄν. Τί τοίνυν ὄνομα κύριον αὐτῷ, εἴπατε· τῆς σῆς γὰρ πάντως σοφίας, ἐῶ γὰρ εἰπεῖν ἀπονοίας ἢ ἀναιδείας, τοῦτο λέγειν, οἱ, τὸν ἀπερίληπτον θεὸν ἐντὸς τῆς ὑμῶν γνώσεως ποιοῦντες, ἐν γένει τοῦτον περιορίζετε, οὐδὲν ταπεινότερον Ἀρείου περὶ τούτου φρονοῦντες. Ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν, κἂν ὁπόσα μοχθήσας ζητήσῃς. Τὸ γὰρ θεῖον ἀνώνυμον πάντῃ καὶ οὐδὲν αὐτῷ κύριον ὄνομα· ἔστι γὰρ ὑπὲρ πᾶν ὄνομα κατὰ τὸ λόγιον, ὡς καὶ ἐξ αὐτῆς τῆς ὑπερωνύμου οὐσίας μαθεῖν ἔξεστι. Φησὶ γὰρ αὐτὴ περὶ ἑαυτῆς *Καὶ τὸ ὄνομά μου οὐκ εἶπον αὐτοῖς*· καὶ αὖθις ἐπιπλήττουσα ὥςπερ || ἐν μιᾷ τῶν μυστικῶν ὁράσεων τῷ φήσαντι. φ.16ᵉ Τί τὸ ὄνομά σου, φησὶ *Καὶ ἵνα τί ἐρωτᾷς τὸ ὄνομά μου;* Καὶ τοῦτό ἐστι θαυμαστὸν, ὡς δῆλα δὴ παντὸς ὑπεριδρυμένον ὀνόματος ὀνομαζομένου εἴτε ἐν τῷ αἰῶνι τούτῳ, εἴτε ἐν τῷ μέλλοντι κατὰ τὸν θεόληπτον καὶ μέγαν Διονύσιον. Οὐκ ἄρα ὁ θεὸς ὄνομα κύριον ἔχει· οὐκοῦν οὐδὲ εἶδός ἐστιν. Εἰ δ' ἡμῖν εἴποις, ὡς πολλὰ μὲν καὶ ἄλλα τῶν ὄντων ἄγνωστα καὶ διὰ τοῦτο ἀνώνυμα,

12. οὔτ' ἡμῖν 13. ἄλλου τὶ 15. ἀπωνίας
17. περιορίζεται 18. ἔχῃς 21. αὐτὴ ἐκ τοῦ αὐτῆ
25. τοῦτο ἐστὶ δηλαδὴ 28. εἶδος ἐστὶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΤΟΧΟΝ ΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΣΤΕΦΑΝΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἄλλων ἄλλοις τόποις γινομένων· πολλὰ γὰρ ζῴων εἴδη καὶ φυτῶν καὶ μετάλλων ἡμῖν ἄγνωστα, ἀλλ' ὅμως οὐχ ἧττόν εἰσιν εἴδη καὶ ὑπὸ τὸ οἰκεῖον ἕκαστον τελεῖ γένος· οὐκ ἀναγκαῖος ὁ λόγος. Ἐκεῖνα μὲν γάρ, εἰ καὶ τέως ἀνώνυμα ὡς ἄγνωστα, ἀλλ' οὖν φύσιν ἔχει καὶ γνωσθῆναί ποτε καὶ ὀνομασθῆναι, ὁπόταν ἡμῖν εἰς πεῖραν ἥκοιεν, καὶ δυνάμει μεθ' ἑαυτῶν ἔχουσι ταῦτα, εἰ καὶ μήπω ἐνεργείᾳ, ὁ δὲ θεὸς πάντῃ ἀμήχανον ἢ δυνάμει ἢ ἐνεργείᾳ γνωσθῆναί ποτε ἢ ὀνομασθῆναι κατὰ τὴν ἑαυτοῦ φύσιν τοῖς ὑπ' αὐτοῦ γνωσθεῖσιν. *Θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε, καὶ οὐδεὶς γινώσκει τὸν πατέρα εἰ μὴ ὁ υἱός*, αὐτὸς ὁ ἀκατάληπτος ἔφη θεός. Καὶ εἰκότως· εἰ γὰρ αἱ γνώσεις πᾶσαι τῶν ὄντων εἰσὶν καὶ εἰς τὰ ὄντα τὸ πέρας ἔχουσιν κατὰ τὸν μέγαν Διονύσιον, ἡ πάσης οὐσίας ἐπέκεινα καὶ πάσης γνώσεώς ἐστιν ἐξῃρημένη. Καὶ μήν, εἰ κρείττων ἐστὶ παντὸς λόγου καὶ πάσης γνώσεως, καὶ ὑπὲρ νοῦν καθόλου καὶ οὐσίαν ἵδρυται, πάντων μὲν οὖσα περιληπτικὴ, πᾶσι δὲ αὐτοκαθόλου ἄληπτος.

Ὅτι ἐπεὶ ὁ θεὸς εἶδος, ὑπὸ τὴν οὐσίαν ὡς εἰς γένος ἀναγόμενον, ἕξει πάντως, οὐσιώδεις δὲ, διαφοράς. Εἰ τοίνυν τὸ μὲν γένος ἀναλογεῖ τῇ ὕλῃ, αἱ διαφοραὶ δὲ τῷ εἴδει, Πλάτων δὲ τὸ ἀγαθὸν καὶ κακὸν ἀρχὰς ἐτίθει καὶ στοιχεῖα, κακὸν μὲν τὴν ὕλην λέγων, ἀγαθὸν δὲ τὸ εἶδος, ἔσται ὁ θεὸς ἐξ ὕλης καὶ εἴδους συγκείμενος ἀναλόγου, τοῦτ' ἔστιν ἐξ ἀγαθοῦ καὶ κακοῦ. Εἰ δὲ ταῦτα ἀσεβῆ καὶ ἄθεα καὶ τῆς Οὐαλεντίνου δυσσεβείας ληρήματα, οὐκ ἄρα ὁ θεὸς εἶδος γένος ἔχων τὴν οὐσίαν.

Ὅτι τὸν θεὸν ὑπὸ τὴν οὐσίαν ἀνάγων, πότερον ὡς εἶδος εἰδικώτατον ἢ ὑπάλληλον ἀνάγεσθαι || τοῦτον φῄς; Εἰ μὲν γὰρ ὡς εἰδικώτατον, πολλὰ καὶ ἄλλα γένη κατὰ ἀνάλυσιν διαιρούμενος ἕξει, ἕως ἂν εἰς τὸ ἀνώτατον φθάσῃς γένος, καὶ οὕτως μὴ μόνον τὴν οὐσίαν, ἀλλὰ καὶ ἄλλας ἀρχὰς καὶ αἰτίας ὁ ἄναρχος καὶ ἀναί-

φ 17α

2. οὐχ' ἧττον εἰσὶν 13. γνώσεως ἐστίν 17. Ἐν τῇ ᾧᾳ ῖ
18. οὐσιώδεις ἐν τέλει τοῦ στίχου (προστεθέντος ἀμέσως κατόπιν) :δὲ 25. Ἐν τῇ ᾧᾳ ῖα

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΙΔΡΥΜΑ ΜΕΛΕΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΟΥ ΠΟΛΙΤΙΣΜΟΥ ΙΩΑΝΝΟΥ Κ. ΤΣΑΚΑΛΟΥ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τιος θεὸς ἕξει καὶ μερικώτατος ἔσται καὶ ἄτομος ὁ πανταχοῦ παρρὼν καὶ τὰ πάντα πληρῶν. Εἰ δ' ὡς ὑπάλληλον φήσεις, πότερον ὡς προσεχὲς τοῦτο ἢ πόρρω τῆς οὐσίας; Εἰ μὲν γὰρ ὡς προσεχὲς, μίαν μὲν ἴσως ἕξει τὴν ἀρχὴν, ὑφ' ἣν περιληφθήσεται, θεῶν, κἀκεῖνα αὖθις ἑτέρων καὶ ταῦτα πάλιν πάντως ἄλλων καὶ οὕτω κατὰ τὴν ὑπόθεσιν ὑμῶν ἐπ' ἄπειρον ἡ τῶν θεῶν πρόοδος ἔσται, ὑφειμένων τε καὶ ὑπερκειμένων, ἕως ἂν εἰς τὸ εἰδικώτατον καταντήσῃ. Εἰ δ' ὡς πόρρω, καὶ οὕτως ὑπὸ πολλῶν μὲν ἀρχθήσεται καὶ περισχεθήσεται γενῶν, ὅμως δ' οὖν καὶ αὐτὸς ἄρξει καὶ περιέξει ἄλλων εἰδῶν. Καὶ τίνα ταῦτα καὶ ποῖα, εἰ ἔστι σοι λόγος συνέσεως, ἀποκρίθητι. Σοῦ γὰρ τοῦ ἐμβροντήτου ταῦτα λέγειν, ὡς ἂν, ταῦτα εἰδότες, ὡς θεοὺς καὶ ταῦτα λατρεύσωμεν, καὶ οὕτω μηδὲν τῶν Ἑλλήνων κατὰ τὴν πολλῶν θεῶν λατρείαν διαφέρωμεν. Ἀλλὰ ποῦ τοίνυν θήσομεν τὸ *Οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν πληρῶ*, λέγει Κύριος, *καὶ ποῖος τόπος τῆς καταπαύσεώς μου;* καὶ τὸ *Ἐγὼ θεὸς πρῶτος, ἐγὼ καὶ μετὰ ταῦτα καὶ πρὸ ἐμοῦ οὐκ ἔστιν ἄλλος*, καὶ τὸ παρὰ τοῦ Ἀποστόλου ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ ἐπιστολῇ *Οἴδαμεν ὅτι οὐδεὶς θεὸς ἕτερος εἰ μὴ εἷς* καὶ *Εἴπερ εἰσὶ λεγόμενοι θεοὶ, εἴτε ἐν οὐρανῷ εἴτε ἐν γῇ, ὥσπερ εἰσὶ θεοὶ πολλοὶ, ἀλλ' ἡμῖν εἷς θεὸς ἐξ οὗ τὰ πάντα*, καὶ τὰ ἑξῆς; Ὥστε μετὰ τῆς ἀφορήτου βλασφημίας καὶ τὸ μάταιον καὶ σαθρὸν καὶ εὐέλεγκτον ὁ λόγος ὑμῶν ἔχει. Οὐκ ἄρα τοίνυν ὁ θεὸς ὑπὸ τὴν οὐσίαν ὡς εἶδος ἀνάγεται.

Ὅτι εἰ ὁ θεὸς ὑπὸ τὴν οὐσίαν ἀναχθήσεται, καὶ ἰδιαίτατα διαφορὰς ἕξει πάντως, ὡς καὶ ἀνωτέρω λέλεκται, καθ' ἃς εἰδοποιηθήσεταί τε καὶ τῶν ὁμογενῶν εἰδῶν αὐτῷ διακριθήσεται. Ἀλλ' αἱ μὲν διαφοραὶ φύσει τῶν εἰδῶν πρότεραι καὶ οὐσίαι· αὗται γάρ εἰσιν ‖ αἱ τὸν ἑκάστου τῶν εἰδῶν λόγον συμπληροῦσαι καὶ αὐτὸ τοῦθ' φ.17ᵃ

2. ὑπ' ἄλληλον 4. ἧς 7. ἰδικώτατον 9. δοῦν
11. ἐμβροτήτου 13. διαφέρομεν 14. θήσωμεν 18. οἴδαμεν 19. εἴπέρ εἰσί 22. εὐέλεκτον 24 Ἐν τῇ ᾧᾳ ιϐ
25. ἀνωτέρῳ 28 αἱ τῶν αὐτο

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΑΚΑΙΝΙΣΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΕΤΣΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ὅπερ ἐστὶ συνιστῶσαι. Οὐκοῦν οὐ μόνον συγκείσεται μὲν ὁ θεὸς ἐκ πολλῶν οὐσιῶν καὶ σύνθετός τις ὁ ὑπεραπλούστατος ἔσται θεὸς, ἀλλὰ καὶ ὕστερος εὑρεθήσεται μὴ μόνον τοῦ γένους, ἀλλὰ καὶ τῶν διαφορῶν, καὶ προςέτι γε μὴ μόνον ἐν τῷ τί ἐστιν, ἀλλὰ
5 καὶ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορηθήσεται. Εἰ δὲ ταῦτα πάντα ψεῦδος καὶ βλασφημία ἀφόρητος, καὶ ὕβρις σαφὴς καὶ ἀδοξία τῷ ὑπεραπλουστάτῳ καὶ ἀγεννήτῳ καὶ ὑπὲρ πᾶσαν τιμὴν ὄντι θεῷ καὶ ἃ μηδ' ἂν Μουνταυὸς ἐκεῖνος ἐτόλμησεν εἰπεῖν ὁ καὶ θεὸν σύνθετον ἐκ τῶν κδ στοιχείων ἀναπλασάμενος. Οὐκ ἄρα ὁ θεὸς εἶδος.
10 Ἀρκεῖ μὲν οὖν καὶ ταῦτα ὡς ἀπὸ πολλῶν εἰπεῖν ὀλίγα. Τὰ γὰρ λοιπὰ καὶ πλείω ἐν ἑτέρῳ σοι τεταμίευται βιβλίῳ. Σὺ δὲ, εἰ μὲν, σωφρονήσας τοῖς παροῦσι, μετρίως ἁψαμένοις τῶν τε κατὰ σοῦ καὶ τῶν περὶ θεοῦ, μετριώτερος γένῃ, τό τε σαυτὸν γινώσκειν καὶ τὸ περὶ θεοῦ φρονεῖν εὖ ἂν ἔχοι, καὶ ἡμεῖς ὑπὲρ τούτου χάριν
15 ὁμολογήσομεν τῷ κρείττονι καί σε τοῖς ὑστέροις εὐφρανοῦμεν, εἰ καί που τοῖς πρότερον λελυπήκαμεν, δευτέρων, ὅ φασιν, ἀμεινόνων. Εἰ δ' ὁ Αἰθίοψ Αἰθίοψ ἔτι μενεῖ καὶ ὁ καρκίνος ὀρθὰ βαδίζειν οὐδέποτε εἴσεται, καὶ τὰ τέως ἀφανῆ κατάδηλα καὶ οἷον εἰπεῖν ἐπὶ δωμάτων προὔπτα τοῖς τε νῦν περιοῦσι τοῖς τ' ἐσομένοις
20 τῶν Κρητῶν ἀνακαλύψομεν καὶ οἷον στηλογραφίαν τινὰ τῆς σῆς τερατολογίας καὶ βλασφημίας καὶ ἀμαθίας καὶ βαρβαρότητος αὐτοῖς τοῦ λοιποῦ καταλείψομεν, ὡς ἂν ἐντεῦθεν εἰδέναι ἔχοιεν μὴ μόνον ἄρα τὸν Μινώταυρον, ἀλλ' ἤδη πρὸς τούτῳ καὶ ἕτερον αὐτοῖς ἡ πατρὶς ἀνέφηνε τέρας, Γεώργιόν τινα ἀναλφαβητοθεολόγον.
25 + Δώῃ σοι Κύριος ὁ θεὸς ἐπιστροφὴν ἀπὸ τῆς ματαίας σου ταύτης καὶ πεπλανημένης οἰήσεως πρὸς τὸ καὶ μετρίως σαυτὸν γνῶναι : +

---

5. ὁποῖον εἶ 8. μὴδ' 10. Ἐν τῇ ᾧᾳ ἐπίλογος 12. σοφρονήσας 17. καρκῖνος 18. ἴσεται 19. ἐπιδωμάτων 24. ἀνέφηνε ἀναλφαβητοθεόλογον

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΠΙΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΤΩ ΛΑΜΠΡΟΤΑΤΩ ΚΑΙ ΠΕΡΙΦΑΝΕΣΤΑΤΩ
ΜΕΓΑΛΩ ΔΟΥΚΙ
ΙΩΑΝΝΗΣ ΔΙΔΑΣΚΑΛΟΣ Ο ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Συνοπτικώτατον περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως, ἐν ᾧ καὶ ἀνάπτυξις τοῦ Ὅρου τοῦ ἐν Φλωρεντίᾳ γεγενημένου.

Πᾶσι μὲν ἄλλοις ἐγὼ σε τῶν εὐδαιμόνων νενόμικα, λαμπρό-

Περιλαμβάνεται ἐν τῷ Παρισιακῷ 1191, φ. 49ᵇ - 53ᵃ, αἰῶνος ιε' (N), Παρισιακῷ 949, φ. 110ᵃ - 118ᵃ, αἰῶνος ις' (Π), Μαδριτείῳ 115 (4636), φ. 120ᵃ - 126ᵇ, αἰῶνος ιε' (M), Ἀμβροσιακῷ M 41 sup., φ 36ᵃ - 46ᵃ, αἰῶνος ιε' (A) καὶ Ἀμβροσιακῷ Q 84 sup., φ. 13ᵃ - 21ᵇ, αἰῶνος... (B). Ἐξεδόθη δὲ τὸ πρῶτον ἐκ κώδικος ἡμῖν ἀγνώστου ὑπὸ τοῦ Λέοντος Ἀλλατίου (Graeciae orthodoxae Tomus primus. Ἐν Ῥώμῃ. 1652 σ. 400 - 418). Τῆς ἐκδόσεως δὲ ταύτης, ἧς αἱ διάφοροι γραφαὶ δηλοῦνται ἐνταῦθα διὰ τοῦ στοιχείου Γ, ἁπλοῦν ἀπότυπον εἶνε ἡ ἔκδοσις παρὰ τῷ Migne ἐν Ἑλληνικῆς Πατρολογίας Τόμῳ PNH' σ. 991-1008 πλὴν ἐν ἐλαχίστοις, οἷον ὥςπερ ἀντὶ ὥςπέρ, κἀκεῖνο ἀντὶ κἀκεῖνο, οἷός τε ἀντὶ οἷος τε, ὅ τι ἀντὶ ὅτι κτλ Σπανιώτατα δ' ὑπάρχουσί τινες καιριώτεραι διαφοραὶ δηλωθεῖσαι ἐν ταῖς κριτικαῖς σημειώσεσιν ἐνταῦθα διὰ τῆς λέξεως *Migne*. Περιττὸν δ' ἐθεώρησα νὰ σημειώσω ἰδίᾳ τὰς οὐκ ὀλίγας ἐν τῇ ἐμῇ ἐκδόσει ταύτῃ διαφορὰς περὶ τὴν στίξιν ἀπὸ τῶν ἐκδόσεων τοῦ Ἀλλατίου καὶ τοῦ Migne.

Ξ = ἅπαντες οἱ κώδικες.

Ἐπιγραφὴ Τῷ (ᾧ A) λαμπροτάτῳ - συνοπτικώτατον (συνοπτικότατον B) - ἐκπορεύσεως (εὐπορεύσεως διαγραφέντος τοῦ εὐ ἀνθ' οὗ ἐκ ἐν τῇ ᾧᾳ B) - γεγενημένου (γενομένου Γ) ΠΜΒΓ: Τῷ λαμπροτάτῳ καὶ περιφανεστάτῳ μεγάλῳ δουκὶ ἰωάννης διδάσκαλος ὁ ἀργυρόπουλος N: Τῷ λαμπροτάτω καὶ περιφανεστάτῳ ἀνδρὶ, κυρίῳ λουκᾷ διερμηνευτῇ τῷ μεγάλῳ δουκὶ ἰωάννης ὁ ἀργυρόπουλος M

1. Πᾶσι ΝΠΒΓ: ᾶσι A: Ἅπασι M ἐγώ σε ἐν συνεχείᾳ τοῦ κειμένου ΝΠΜΒ: ἄνωθεν A σε ΝΠΑΜΓ: σε ἐν δὲ τῇ ᾧᾳ σοι B

ΕΘΝΙΚΟ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΙ ΕΠΙΣΤΗΜΩΝ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΩΑΝΝΗΣ ΚΑΙ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τατε καὶ περιφανέστατε μέγα δοῦξ, ὧν ἕκαστον ἀμήχανον ἐξειπεῖν, οὐ μόνον κατὰ τὸν ἐνεστηκότα χρόνον, ὃς ἡμῖν ἄγαν βραχύτατος ξυγκεχώρηται, ἀλλ' οὐδ' ὅτε καιρὸς τῶν σῶν ἐγκωμίων, ὅθ' ὑπόθεσιν λαμπροτάτην, οἶμαι, τὰ σὰ ποιησόμεθα, οὐχ ἧττον
5 δὲ καὶ τῇ ἣν ἔχεις περὶ τοὺς λόγους σπουδὴν, οὓς τῶν ἐν ἡμῖν ἁπάντων νομίζων τὸ τιμιώτατον νῦν μὲν ἱστορίαις χαίρεις καὶ ἅπερ ἐν ξυγγραφαῖς περιέχεται, νῦν δὲ φιλοσοφεῖς ἀκριβῶς, ὥςπερ τις ἐν Ἀκαδημίᾳ τραφεὶς ἢ πλοκὰς εἰδὼς λόγων, οὓς αὐτὸς ἔπλεξεν ὁ Περίπατος, μάλιστα δ' ὅτι, μόνος σχεδὸν τὰ δημόσια πλάττων
10 καὶ τοῦθ' ὑπάρχων ἐν Πόλει, ὅπερ ἐν σώματι δήπου ψυχὴ καὶ ὅπερ νοῦς ἐν παντὶ, οὐδὲ τῶν θεολογικῶν ἄμοιρος ἐγένου δογμάτων, ἀλλ' οὕτω τοι καλῶς καὶ τούτων τὸ πλεῖστον ἐξήσκησας, ὥςτε μηδένα ῥᾳδίως πιστεύειν, ὅτι σοι καὶ περὶ ἄλλων γέγονε λόγος. Σημεῖον δὲ, ὅτι πᾶς ὁςτιςοῦν θεολογίαν εὖ ἠσκηκὼς, πεῖραν
15 διδοὺς καὶ λαμβάνων, ἄπεισι μᾶλλον θαυμάζων ἢ θαυμαζόμενος.

3. ξυγκεχώρηται ΠΜΑΓ: ξυγκεχωρῆται Ν: συγκεχώρηται Β οὐδ' ΝΠΜΑΓ: εἰδ' ἐν δὲ τῇ ᾧᾳ οὐ Β 4. ὅθ ΠΜΑΒΓ: ὁθ' Ν τὰ σὰ ΠΜΑΒΓ: τασὰ Ν ποιησόμεθα ΠΜΑΒΓ: ποιησώμεθα Ν οὐχ' ΠΜΑΒΓ: οὐχ' Ν 5. τῇ ΝΠΑΓ: τὴν ΜΒ περὶ τοὺς λόγους ἐν τῷ κειμένῳ ΝΠΜΑΓ: ἐν τῇ ᾧᾳ Β σπουδὴν Ξ. Δὲν εἶνε ἀνάγκη νὰ γραφῇ σπουδῇ 6 τιμιώτατον ΝΜΑΒΓ: τιμιώτατον Π ἱστορίαις ΝΠΜΑΓ: ἱστορία ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ᾧᾳ ἱστορίαις Β χαίρεις ΝΠΜΑΓ: χαίρεις Β
7. ξυγγραφαῖς ΝΜΑΓ: συγγραφαῖς Π: υγγραφαῖς Β φιλοσοφεῖς ἀκριβῶς ΝΠΜΑΓ: ἀκριβῶς φιλοσοφεῖς Β ὥςπερ Μ: ὥςπέρ ΝΠΑΒΓ 11. ἐγένου ΝΠΜΑΒ: ἐγίνου Γ 12. καὶ ΝΜΑΒΓ: και Π τούτων ΝΠΑΒΓ: τούτων ἐκ τοῦ τὸ πρῶτον γραφέντος τοῦτον Μ 13. καὶ ΝΠΑΒΓ: λείπει Μ 14. ὅτι πᾶς ἐν τῷ κειμένῳ ΝΠΜΑΓ: ἐν τῇ ᾧᾳ Β 15 ἄπεισι ΝΓ: ἄπισι Π: ἅπασι ΜΑΒ μᾶλλον ΝΜΑΒΓ: μᾶμον Π θαυμάζων ἢ θαυμαζόμενος ΝΜΒΓ: θαυμαζόμενος ἢ θαυμάζων Α: θαυμαζόμενος ἢ θαυμάζων Π

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΤΟΜΕΑΣ ΒΙΒΛΙΟΘΗΚΟΝΟΜΙΑΣ ΑΙΕΠΙΣΤΗΜΟΝΙΚΗ ΕΠΕΤΗΡΙΣ ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ ΘΥΝΤΑΓΜΑΤΙΝΟΥ ΣΟΦΙΑΝΟΥ ΕΛΛΗΝΙΚΗ ΕΚΔΟΣΗ ΕΠΙΜΕΛΕΙΑ ΙΩΑΝΝΟΥ Ν. ΚΑΡΑΜΑΝΟΥ ΚΑΘΗΓΗΤΗ ΤΗΣ ΕΚΔΟΤΗΣ ΕΠΙΜΕΛΕΙΑ ΙΩΑΝΝΟΥ Ν. ΚΑΡΑΜΑΝΟΥ ΚΑΘΗΓΗΤΗ ΤΗΣ ΕΚΔΟΤΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Οὕτω περίεστί σοι μελέτης, καὶ ταῦτα τῆς τῶν κοινῶν φροντίδος ἐχόμενος καὶ ἃ σώζειν ἐθέλει τὴν ἡμετέραν, ἄλλοτε ἄλλαις τύχαις οὐκ ἔξω πραγμάτων οὖσαν, ἀλλ' αἰεὶ θνήσκουσαν τῷ δέει τοὺς αὐτῇ πολεμίους. Χάριεν δέ σου κἀκεῖνο, ὅτι, μόνος αὐτὸς οἷός τε ὢν τοῖς δόγμασιν ἐφιστάνειν, οὐδὲ τὴν σὴν ἡμῖν ἀπαξιοῖς θεωρίαν, ἀλλὰ λέγεις μὲν αὐτὸς ἅ σοι περὶ ἐνίων δοκεῖ, ἀκούεις δὲ καὶ ἡμῶν ὅ τι φρονοῦμεν περὶ αὐτῶν, ὡς οὐχ οἷόν τε ὂν τὴν περὶ αὐτῶν δόξαν ἐρρῶσθαι, ἂν μὴ καὶ τοῖς εἰδόσι ταὐτὰ δοκῇ. Αὐτὸς μὲν μηδέποτε παύσαιο τοιούτοις συζῶν ἀγαθοῖς ἅ τε οἰκεῖά φασιν ἀνθρώπῳ καὶ οἷς ἐθέλει τὸ μακάριον περιγίγνεσθαι. Ἡμεῖς δὲ, διττὰς εἰδότες σοι διὰ ταῦτα τὰς χάριτας ὧν τε ἡμᾶς ἀξιοῖς καὶ ὧν ἐντεῦθεν κοινῇ χρηστῶν ἀπολαύομεν, περιεργότερον μὲν

1. περίεστί ΝΛΒΓ: περίέστι ΜΠ σοι ΝΜΑΒΓ: σοὶ Π ταῦτα ΝΠΜΑΓ: πάντα Β 2. σώζειν ΝΠΜΑΓ: σώζειν ἐκ τοῦ τὸ πρῶτον γραφέντος σώσειν Β ἐθέλει ἐν τῷ κειμένῳ ΝΠΑΒΓ: ἐν τῇ ὥᾳ πρόςθετον διὰ σημείου ^ Μ τὴν ἡμετέραν ΝΠΑΒΓ: τῶν ἡμετέρων Μ ἄλλοτε ΝΜΑΒ: ἄλλοτε Γ: ἄλλοται Π
4. κἀκεῖνο ΝΠΜΑΒ: κἀκεῖνο Γ 5. οἷός Π: οἷος ΝΜΑΒΓ σὴν ΜΑΒΓ: σὺν ΝΠ 7. ὅ τι Ξ: ὅτι Γ οἷόν ΝΓ: οἷον ΠΜΑΒΓ ὂν ΝΜΑΒΓ: λείπει Π 8. ταὐτὰ ἔγραψα: ταῦτα ΞΓ
9. μηδέποτε ΝΠΑΒΓ: μηδέποτε ἐκ τοῦ τὸ πρῶτον γραφέντος μὴδέποτε Μ παύσαιο ΠΜΑΒΓ: σαιο Ν τε ΠΑΒΓ: τὲ ΝΜ
9-10. οἰκεῖά φασιν ἔγραψα: οἰκεῖα φασὶν ΠΜΑΒΓ: οἰκεῖοι φασὶν Ν
10. περιγίγνεσθαι ΠΝΜΑ: περιγίνεσθαι ΒΓ ἡμεῖς ΝΜΑΒΓ: ἡμεὶς Π 11. δὲ ΠΜΑΒΓ: δὲν Ν διὰ ταῦτα ΝΠΑΓ: διαταῦτα Μ: διὰ ταῦτας Β ὧν ΝΜΑΒΓ: ὡς Π τε ΝΠΑΒΓ: τὲ Μ
12. κοινῇ ΝΠΜΑΓ: κοινῇ ἐκ τοῦ τὸ πρῶτον γραφέντος κοινὴ Β χρηστῶν ΝΠΜΑΓ: χρηστῶν ἐκ τοῦ τὸ πρῶτον γραφέντος χρητῶν Β ἀπολαύομεν ΝΜΒΓ: ἀπολαύομεν ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀπολαύωμεν Α: ἀπάνομεν Π περιεργότερον ΝΠΜΑΓ: περιεργότερον ἐκ τοῦ τὸ πρῶτον γραφέντος περιεργώρον Β

ΕΘΝΙΚΟ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΡΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΓΕΡΑΝΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἐν ἄλλοις, σοῦ ξυνεφαπτομένου, θεολογήσομεν πολλῶν τε ἄλλων πέρι καὶ δὴ καὶ περὶ οὗ λόγος ἡμῖν ἐγένετο πρότριτα. Νῦν δὲ ὀλίγ' ἄττα σὴν χάριν περὶ τῆς τοῦ ἁγίου Πνεύματος προόδου φιλοσοφήσομεν. Ἐκέλευσας γὰρ, καὶ οὐκ ἦν ἀπειθεῖν τοιαύτῃ
5 δυνάμει.

Τριῶν οὖν ὄντων ἐν τοῖς θείοις προσώπων κατὰ τὰς θεολογικὰς ὑποτυπώσεις τε καὶ ἀρχὰς, πατρὸς, υἱοῦ τε καὶ θείου Πνεύματος, ἡνωμένων μὲν τῇ οὐσίᾳ, διακρινομένων δὲ ταῖς ἰδιότησι, χρήμασι παράγει μὲν τὸ ἓν ὁ πατὴρ, παράγεται δὲ τὰ δύο, υἱός
10 τε καὶ Πνεῦμα ἅγιον. Οὔτε γὰρ ἀφ' ἑαυτῶν ἔδει ταῦτ' εἶναι, ἵνα μὴ ἑτερότης γένοιτο φύσεως, οὔτ' ἐξ ἀλλήλων παράγεσθαι οἷς αὐτὸ ἑαυτό τι παράγειν ἀμήχανον. Ἓν οὖν διὰ τοῦτο τό γε παρά·

1. σοῦ ΝΠΒΓ: σου ΜΑ θεολογήσομεν ΝΠΜΑΓ: θεολογήσωμεν μετὰ ὀξείας καὶ ἐν τῷ δευτέρῳ ο διαγραφείσης Β τε ΝΠΑΓ: λείπει ΜΒ 2. πέρι ΝΜΑΒ: περὶ ΠΓ περὶ ΝΠΜΑΒ: πέρι Γ πρότριτα ΝΠΜΑΓ: πρότριτα ἐκ τοῦ τὸ πρῶτον γραφέντος πρώτριτα Β 3. ὀλίγ' ΠΜΑ: ὀλίγα ΒΓ: ὀλίγά Π ἄττα ΝΜΑΒΓ: ἄττε Π σὴν ΝΜΑΒΓ: νὴν Π 4. φιλοσοφήσομεν ΝΠΜΒΓ: φιλοσοφήσωμεν Α οὐκ ἦν ΝΠΜΑΓ: οὐκοῦν ἐν δὲ τῇ ᾧᾳ Γρ. οὐκ ἦν Β 7. ὑποτυπώσεις ΝΜΑΒΓ: ὑποτῦπωσεῖς Π τε ΝΠΑΒΓ: τὲ Μ 8. διακρινομένων ΝΜΑΒΓ: διακρὶνομὲνων Π δὲ ΠΜΑΒΓ: δὲν Ν 9. χρήμασι ΜΑΒΓ: χρήματι ΝΠ παράγει ΠΜΑΒΓ: παράγη Ν παράγεται ΝΠΜΑΓ: παράγει Β 10. ταῦτ' εἶναι ΝΜΑΒΓ: ταυτεῖναι Π 11. γένοιτο ΝΠΜΑΓ: γένητο ἐκ τοῦ τὸ πρῶτον γραφέντος γένητω ἐν δὲ τῇ ᾧᾳ γένοιτο Β οὔτ' ΝΠΜΑΒ: οὔτε Γ παράγεσθαι ΝΠΑΒΓ: παράγεται Μ 12. αὐτὸ ΝΠΜΑΓ: ἐξ ἑαυτοῦ Β ἑαυτὸ ΝΜΑΒΓ: ἑαυτὸ Π διὰ τοῦτο ΝΠΜΒΓ: διατοῦτο Α τό γε ΝΠΜΑΓ: τότε ἐν δὲ τῇ ᾧᾳ τό γε Β παράγον ΝΠΜΑΓ: παράγων Β

ΙΩΑΝΝΙΝΑ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΙΣΤΟΡΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΕΤΗΡΙΣ ΤΟΥ ΚΕΝΤΡΟΥ ΝΕΟΕΛΛΗΝΙΚΩΝ ΕΡΕΥΝΩΝ ΕΠΕΤΗΡΙΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

γον, τὰ δὲ λοιπὰ παραγόμενα· παράγων δὲ ὁ πατὴρ παρακτικὰς δήπουθεν ἕξει δυνάμεις, διακρινομένας πως καὶ αὐτὰς οἷς δι' αὐτῶν διακρινόμενα παράγεται πρόσωπα, τὴν μὲν ᾗ τὸν υἱὸν, τὴν δ' αὖ πάλιν ᾗ παράγει τὸ Πνεῦμα τὸ ἅγιον, ἀρχὰς οὔσας τε καὶ δυνάμεις καὶ γονιμότητας αἷς μήτε παράγούσας μήτε μὴν παρα- 5
γομένας αὐτάς· ἑκάτερον γὰρ ὑποστάσεως ἴδιον· οὐ τελειοτήτων οὐδὲ δυνάμεων· ἐν ὑποστάσει γὰρ τὰ τοιαῦτα καὶ ἐνυπόστατα. Καλεῖται δὲ πρὸς τῶν θεολογούντων αὐτῶν ἡ μέν τις γεννητικὴ, ἡ δ' αὖ προβλητικὴ δύναμις· διὸ καὶ τῶν παραγομένων τὸ μὲν γέννημα καὶ υἱὸς, τὸ δὲ πρόβλημα καὶ πνεῦμα προσαγορεύεται. 10
Δεῖ γὰρ τὰ ἐκ τῶν ἀρχῶν ἐν τοῖς τοῦ αὐτοῦ εἴδους ταῖς σφῶν αὐτῶν πως ἀρχαῖς ἐοικέναι καὶ ἐξ ἐκείνων ἔχειν καὶ τοὔνομα.

Ἐπεὶ δὲ τοῖν παραγομένοιν ἑκάτερον ἐκ τῆς οὐσίας λέγεται τοῦ πατρὸς, αὐτὴ δὲ οὔτε γεννᾷ οὔτε γεννᾶται, οὔτε μὴν προβάλ-

1. τὰ δὲ ΠΜΑΒ: ταδὲ Γ: τὰ δὲν Ν παραγόμενα ΝΜΑΓ: παράγόμενα Π: παραγόμενα ἐκ τοῦ τὸ πρῶτον γραφέντος παραγομένα Β. Τελευτῶντος δ' ἐν ταύτῃ τῇ λέξει τοῦ στίχου ἐν τῷ Β, ἕπεται ἐν συνεχείᾳ Γρ. ὀλίγον δὲ περαιτέρω ἐν τῇ ᾧᾳ παράγων διαγεγραμμένον 2. πως ΝΠΜΑΓ: πῶς Β 3. ἢ ΝΠΑΒ: ἢ ΜΓ: ᾗ Γ: ἢ ΝΠΑΒ: ἢ Μ 4. οὔσας ΝΠΜΑΓ: οὖσας Β τε ΠΜΑΒΓ: τὲ Ν 5. γονιμότητας ΝΜΑΒΓ: γονημότητας Π αἷς ΝΜΑΒΓ: αἷς Π 6. ἑκάτερον ΝΜΑΒΓ: ἑκάτερον Π ἴδιον ΝΜΑΒΓ: ἴδιον Π τελειοτήτων ΝΜΑΒΓ: ταιλεῖοτήτων Π 7. ὑποστάσει ΝΜΑΒΓ: ὑπὸστάσει Π ἐνυπόστατα ΠΜΑΒΓ: ἐνὑπόστατα Ν 9. ἡ δ' αὖ ΜΑΓ: ἡ δ' ἦν Β: ἢ δ' ἦν ΝΠ διὸ ΝΜΑΒΓ: δυὸ Π 11. αὐτοῦ ἐν τῷ κειμένῳ ΝΠΜΑΓ: ἐν τῇ ᾧᾳ Β 12. αὐτῶν ΝΜΑΒΓ: αυτῶν Π πως ΠΜΑΒΓ: πῶς Ν ἐοικέναι ΝΠΜΑΓ: ἐοικέναι Β ἔχειν ΝΠΜΑΓ: ἔχει Β καὶ ΝΠΑΒΓ: λείπει Π 13. παραγομένοιν ΠΜΑΒΓ: παραμένοιν μένοντος ἐν τῷ μεταξὺ κενοῦ δύο γραμμάτων Ν 14. οὔτε γεννᾶται οὔτε ΝΜΑΒΓ: οὔται γεννᾶται οὔτε Π μὴν ΝΠΜΑΓ: μὴν μετὰ διόρθωσιν Β

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΓΘΥΝΤΗΣ: Α. Ν. ΜΑΘΗΤΗΣ ΟΜΟΤΑΚΤΙΚΟΣ ΕΠΙΤΡΟΠΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

λει οὔτε προβάλλεται, καθάπερ οἱ θεολογοῦντές φασιν, ἀνάγκη τὴν οὐσίαν ἀρχὴν ἑκατέρων εἶναι τοιαύτην ἣ παράγει πατὴρ ἑκάτερον, υἱόν τε καὶ Πνεῦμα ἅγιον· ἄλλως τε καὶ τῆς αὐτῆς οὐσίας ὄντα τά τε παραγόμενα τῷ παράγοντι καὶ ἀλλήλοις τὰ παραγόμενα οὐκ ἂν ἄλλως εἶεν ἢ ἐκ τῆς τοῦ πατρὸς οὐσίας ὡς ἀρχῆς καὶ δυνάμεως, ἣ οὔτε παράγει οὔτε παράγεται οὔτ' ἐν τῷ ἐξ οὗ οὔτ' ἐν τῷ πρὸς ὃν ὅρῳ, ἐν τῷ πατρὶ δῆλα δὴ οὖσα καὶ ἐν τῷ υἱῷ καὶ τῷ Πνεύματι καὶ ὡς ἀρχὴ καὶ ὡς εἶδος τό γε διδόμενον. Ἀλλὰ μὴν, τῆς τοῦ πατρὸς ὑποστάσεως τῆς αὐτῆς οὔσης, ὅτε παράγει τὰ πρόςωπα, καὶ τῆς οὐσίας μιᾶς καὶ τῆς αὐτῆς αὖ πάλιν οὔσης ἀρχῆς καὶ δυνάμεως, τὰ παραγόμενα τὰ αὐτὰ ἂν ἦν πάντῃ πάντως, μᾶλλον δὲ ἓν ἂν ἦν τῷ ὄντι τὸ παραγόμενον πρόςωπον, εἰ μὴ τῇ οὐσίᾳ καὶ ἄλλ' ἄττα ξυνῆν, δι' ὧν διάφοροί πως γένοιντ' ἂν αἱ δυνάμεις, αἷς υἱὸς καὶ Πνεῦμα παράγεται· τὰ δὲ ἄρα νοῦς ἂν εἶεν καὶ βούλησις, ὁ μὲν ἅμα τῇ οὐσίᾳ ἀρχὴ καὶ δύναμις ὢν δι' ἐνεργείας τῆς γεννήσεως παρακτικὴ τοῦ υἱοῦ, διὸ καὶ Λόγος ὁ τοῦ θεοῦ υἱὸς ὑπὸ τῆς θεολόγου βροντῆς ὠνόμασται· νοῦ γὰρ γέννημα λόγος· ἡ δ' αὖ συνάμα τῇ αὐτῇ οὐσίᾳ, ἡ βού-

1. οὔτε ΝΜΑΒΓ: οὔτε Π θεολογοῦντές ΜΑ: θεολογοῦντες ΝΠΒΓ φασιν ΜΑ: φασὶν ΝΠΓ: φησὶν Β 6. ἣ ΝΠΜΑΓ: ἣ ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἢ Β οὔτ' ἐν ΝΜΑΒΓ: οὔτεν Π δῆλα δὴ ΜΑ(;) δηλαδὴ ΝΠΒΓ υἱῷ καὶ τῷ ΝΜΑΒΓ: λείπουσι Π 9. ὅτε ΝΠΜΑΓ: ὅτε ἐκ τοῦ τὸ πρῶτον γραφέντος οὔτε Β 10. αὖ ΝΠΑΒΓ: οὔσης (διαγεγραμμένον) αὖ Μ 11. δυνάμεως ΝΜΑΒΓ: δύνάμεως Π 12. ἓν ΝΜΑΒΓ: ἓν Π τῷ ὄντι ΑΒΓ: τωόντι Μ: τωόντι ΝΠ τὸ ΝΠΜΑΓ: λείπει Β 13. εἰ μὴ ΝΠΜΑΒ: εἰμὴ Γ ἄλλ' ἄττα ΜΒΓ: ἄλλάττα Α: ἄλλαττα ΝΠ ξυνῆν ΝΠΜΑΓ: ξυνεῖν Β δι' ΠΜΑΒΓ: δι Ν διάφοροι ΠΜΑΒΓ: διαφοροι Π 14. γένοιντ' ΝΜΑΓ: γένοιντ Π: γένοιτ' Β 16. ὧν ΝΜΑΒΓ: ὡς Π 17. ὠνόμασται ΝΠΜΑΓ: ὠνόμασθαι Β 18. γέννημα ΝΜΑΒΓ: γένημα Π ἡ ΝΠΑΓ: ἢ ΜΒ δ' ΝΜΑΒΓ: δ Π συνάμα ΠΜΑΓ: συνάμ Ν: σὺν ἅμα Β τῇ αὐτῇ οὐσία ΝΠΑΒΓ: τῇ αὐτῇ οὐσία Μ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

λησις, ἀρχὴ καὶ δύναμις οὖσα δι' ἐνεργείας τῆς προβολῆς ἢ πνεύσεως παρακτικὴ τῆς τοῦ ἁγίου Πνεύματος ὑποστάσεως οὐχ ὡς ἀρχὴ αὐτεξούσιος, ἀλλ' ὡς ἀναγκαία καὶ φυσική τις δύναμις καὶ ἀρχή. Διὸ πρὸς τῶν θεολογούντων ἀγάπη τὸ θεῖον κέκληται Πνεῦμα· τῆς γὰρ ἀγάπης ἡ δύναμις βούλησις. 5

Ξυνάδει δὲ τὰ λεγόμενα ταῖς τῶν θεολογούντων φωναῖς, οὐχ ἧττον δὲ τοῖς εἰρημένοις ὑπὸ τοῦ ἱεροῦ Αὐγουστίνου ἐν τῷ Περὶ τριάδος βιβλίῳ, ἐν οἷς καὶ μνήμην μὲν τὴν γεννητικὴν, βούλησιν δὲ τὴν πνευστικὴν ἐκάλεσε δύναμιν.

Φανερὸν οὖν ἐκ τῶν εἰρημένων, ὅτι ὁ πατὴρ πηγαία θεότης 10 καὶ μόνος αἴτιος καὶ πηγὴ μόνη τῆς ὑπερουσίου θεότητος καὶ μόνος γεννήτωρ ἅμα καὶ προβολεὺς ὅσα τε ἄλλα πρὸς τῶν θεολογούντων ὠνόμασται, οὐ μόνον τῷ παρὰ μηδενὸς ἔχειν τὰς εἰρημένας δυνάμεις καὶ γονιμότητας, ἀλλὰ καὶ τῷ μόνον αὐτὸν ἐν τοῖς θείοις εἶναι τὸν μόνον παράγοντα. Αὐτὸς γὰρ μόνος ἐστὶν ὁ 15 παράγων ταῖς εἰρημέναις δυνάμεσιν ὡς πηγὴ καὶ ἀρχὴ καὶ αἰτία καὶ ὅ τι ἂν εἴποι τις τῶν ὁμοίων. Φανερὸν δὲ καὶ ὅτι αἱ εἰρημέναι

2. οὐχ ὡς ΝΜΑΒΓ: οὐχὼς Π 3. ὡς ΝΜΑΒΓ: ὁς Π ἀναγκαία ΠΑΒ: ἀναγκαία ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀναγκαῖα ΝΜ: ἀναγκαῖα Γ φυσική τις ΝΠΜΑΓ: φυσικὴ τίς Β 6. ξυνάδει ΝΠΜΑΓ: συνάδει Β τὰ λεγόμενα ΝΜΑΒΓ: τάλλεγόμενα Π οὐχ ΠΜΑΒΓ: οὐχ' Ν 7. εἰρημένεις ΝΠΜΑΓ: ἠρημένοις ἐκ τοῦ τὸ πρῶτον γραφέντος εἰρημένοις Β 8. μνήμην ΝΠΜΑΓ: μνή$^{\mu}$ Β 10. ὁ ἐν συνεχείᾳ τοῦ κειμένου ΝΠΜΓ: ὁ ἐν συνεχείᾳ τοῦ κειμένου μετὰ διόρθωσιν Β: ὁ ἄνωθεν Α πηγαία ΜΒ: πηγαῖα ΝΠΑΓ 11. μόνος ἔγραψα: μόνον ΞΓ μόνη ΝΠΜΑΓ: μόνης Β 12. γεννήτωρ ΜΒΓ: γενήτωρ ΠΑ: γένητωρ Ν τε ΝΠΜΑΒ: τ' Γ ἄλλα ΝΜΑΒΓ: ἄλλα Π τῶν ΝΜΑΒΓ: των Π 13. τῷ ΝΠΜΑΓ: τὸ Β παρὰ μηδενὸς ΠΜΒΓ: παρὰ μηδενὸς (τὸ πρῶτον μὴδενὸς) Ν: παραμηδενὸς Α: 14. τῷ ΝΠΜΑΓ: τ^{ὸ}ῷ Β αὐτὸν ΝΠΜΑΒ: αὐτῷ Γ 16. ταῖς ΝΜΑΒΓ: ταὶς Π 17. ὅ τι ΝΠΜΑΒ: ὅτι Γ τις ΝΜΒΓ: τίς Π: τὶς Α

ΕΠΙΣΤΗΜΟΝΙΚΟ ΙΩΑΝΝΙΝΑ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΑΘΗΤΗΣ ΙΩΑΝΝΟΥ ΤΑΤΑΚΗ ΠΤΥΧ. ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΤΡΟΠΗ ΕΚΔΟΣΕΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

δύο δυνάμεις ἡ θεία οὐσία πάντως ἐστὶ καὶ τὰ ἀποδιδόμενα τῷ θεῷ, νοῦς τε καὶ βούλησις. Νοῦς δὲ ἄρα καὶ βούλησις τελειότητες. Δυοῖν δὲ ὄντοιν τοῖν παραγομένοιν προσώποιν, υἱοῦ τε καὶ θείου Πνεύματος, ὁ μὲν πρόεισιν ἐκ τοῦ πατρὸς ᾗ πατὴρ, διὸ καὶ πρὸς
5 αὐτὸν ἀναφέρεται τῇ υἱότητι· υἱὸς γὰρ πατρὸς ὥσπερ καὶ πατὴρ ὁ πατὴρ υἱοῦ λέγεται· τὸ δ' αὖ πάλιν ἐκ τοῦ αὐτοῦ πατρὸς ἐκπορεύεται οὐχ ᾗ πατὴρ, ἀλλ' ᾗ προβολεὺς δήπου καὶ προβάλλων καὶ πνέων καὶ ὅσα τῆς ὁμοίας ὄντα τυγχάνει δυνάμεως, διὸ καὶ πρὸς αὐτὸν τὸ θεῖον ἀναφέρεται Πνεῦμα τῇ προβολῇ· προβολέως
10 γὰρ πρόβλημα λέγεται, καθάπερ καὶ προβολεὺς αὖ προβλήματος προβολεύς. Ὥσπερ οὖν τοῦ προβολέως ὁ πατὴρ προεπινοεῖται κατὰ μὲν τὸ ἀΐδιον οὔ· ἅμα γὰρ κατ' ἐκεῖνο πατήρ τε καὶ προβολεὺς, συναϊδίως τοιοῦτος ὤν· κατὰ δὲ τὸ δύνασθαι καὶ προάγειν· πρότερον γὰρ τὸν υἱὸν παράγει τοῦ Πνεύματος, ἤδη νοούμενος ὑφε-
15 στηκέναι τῇ πρὸς τὸν υἱὸν ἰδιότητι, τῇ πατρότητι· οὕτω καὶ ὁ υἱὸς αὖ πάλιν προεπινοεῖται τοῦ Πνεύματος, οὐχ ὅτι οὐχ ἅμα

1. θεία ΠΜΑΒΓ: θεῖα Ν ἐστὶ ΝΠΜΑΓ: ἐστι Β 2. δὲ ΝΠΑΒΓ: τε Μ 3. τοῖν ἐν συνεχείᾳ τοῦ κειμένου ΝΜΑΒΓ: ἄνωθεν Π παραγομένοιν ΝΠΜΑΓ: παραγομένηνιν διορθωθέντος καὶ αὐτοῦ τοῦ τὸ πρῶτον ἐν τῇ συνεχείᾳ τοῦ κειμένου γραφέντος η εἰς ο· ἤτοι ἔγραψε μὲν πρῶτον παραγομένην, εἶτα δὲ διέγραψε διὰ τῆς κάτω γραμμῆς τὸ ην καὶ διόρθωσεν εἰς οιν προσθεὶς μὲν τὸ ο ἄνωθεν, διορθώσας δὲ τὸ η εἰς ο καὶ προσθεὶς ἐν τέλει τὸ ιν Β προσώποιν ΝΠΒΓ: λείπει ΜΑ 4. ἐκ τοῦ ΠΑΒ: αὐτοῦ ΝΜΓ ᾗ ΝΜΑΒΓ: ἢ Π πατὴρ ΝΠΜΑΓ: ὁ πατὴρ Β 6. ὁ ΝΠΜΑΓ: λείπει Β 7. οὐχ ΝΠΜΒΓ: οὐχ' Α (καὶ 9). προβολεὺς ΠΜΑΒΓ: προβολὲς Ν 9 (καὶ 11). προβολέως ΝΠΜΑΓ: βολέως προτασσομένου προ συνεσφιγμένου Β 10. πρόβλημα ΝΑΒΓ: πρόβλημα Π: πρόβλημα σοι Μ προβλήματος ΠΜΑΒΓ: προβολήματος Μ 11. προεπινοεῖται ΝΠΜΑΓ: ^ἐπινοεῖται ἐν δὲ τῇ ᾧᾳ προ Β 12. ἀΐδιον ΝΜΑΒΓ: ἀΐδιον Π οὔ ΝΠΜΑΒ: οὐ Γ 13. Ἐν τῇ ᾧᾳ + Ὅρα κάνταῦθα φλυαρίαν πολλοῦ γέλωτος ἀξίαν Ν

ΕΠΙΣΤΗΜΟΝΙΚΟ ΙΔΡΥΜΑ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΣΤΟΡΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΓΙΕΡΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἀλλήλοις συναϊδίως ἐστίν· οὕτω γὰρ τὰ τρία πρόςωπα ἅμα πάντῃ ξυναΐδια καὶ οὐδαμῶς ἄλλο ἄλλου γε πρότερον· ἀλλ' ὅτι τὸ γεννᾶσθαι πρότερον ἐκ τῆς τοῦ χρήματος φύσεως τοῦ προβάλλεσθαι καὶ τὸ γεννᾶν τοῦ προβάλλειν οἷς προεπινοεῖται πατὴρ τοῦ προβάλλοντος. Καὶ αὕτη πάντως ἐστὶν ἡ τῶν θείων ὑποστάσεων τάξις, ἐκ τῆς πηγαίας ἀρχῆς καὶ αὐτὴ ἀνίσχουσα, τοῦ πατρὸς, καθ' ἣν ὁ πατὴρ μὲν τοῖν δυοῖν, ὁ δὲ υἱὸς τοῦ θείου πνεύματος πρότερος, καὶ ταῦτα κατὰ τὸ αὐτὸ τῆς ἀϊδιότητος, ἅμα πατρός τε ὄντος, υἱοῦ τε καὶ θείου Πνεύματος.

Ἀλλὰ μὴν κἀκεῖνο τοῖς εἰρημένοις προςθεῖναι δίκαιον, θεολογικώτατον ὄν, ὅτι ὁ πατὴρ ἑκάτερον τῶν θείων παράγει προςώπων ἴσον ἑαυτῷ πάντῃ πάντως καὶ ὅμοιον ταῖς αὐταῖς τῷ ἀριθμῷ τελειότησι. Πάντα γὰρ ὅσα πρόςεστι τῷ πατρὶ ἄνευ πατρότητος καὶ ὅσα περ ἐφαρμόττει τῇ θείᾳ πατρότητι καὶ ἄνευ πατρότητος ἅμα καὶ πνεύσεως καὶ ὅσα περ αὐταῖς κοινῶς ἐφαρμόττει κοινὰ καὶ τοῖς ἐκ πατρὸς εἶναι ὁ θεολογικὸς παραδίδωσι λόγος. Αὐτὰ μὲν γὰρ, ἤτοι πατρότης καὶ πατρότης ἅμα καὶ πνεῦσις καὶ ὅσα

1. συναϊδίως ΝΠΑΒΓ: συναιδίως Μ 2. ξυναΐδια ΠΜΑΓ: συναΐδια ΝΒ ἀλλ' Ξ: καὶ Γ 4. γεννᾶν ΝΜΑΒΓ: γεννὰν Α προεπινοεῖται ΝΠΜΑΓ: προεπινοεῖται ἐκ τοῦ τὸ πρῶτον γραφέντος πρὸεπινοεῖται Β 7. πατὴρ μὲν ΝΠΑΒΓ: μὲν πατὴρ Μ 8. αὐτὸ ΝΠΒΓ: ἀεὶ ΜΑ πατρός τε ΠΜΑΒΓ: πατρὸς τὲ Ν 9 ὄντος ΝΜΑΒΓ: όντος Π 10. ἀλλὰ μὴν ΠΜΑΒΓ: ἀλλαμὴν Ν εἰρημένοις ΝΜΒΓ: προειρημένοις ΠΑ προςθεῖναι ΝΠΑΒΓ: προσθεῖναι ἐκ τοῦ τὸ πρῶτον γραφέντος προσθῆναι Μ δίκαιον ΝΜΑΒΓ: δίκεον Π θεολογικώτατον ΝΠΜΑΓ: θεολογικότατον Β 11. ὅτι ΝΠΜΑΓ: καὶ ὅτι Β ὁ ΝΠΜΑΓ: λείπει Β ἑκάτερον ΝΜΑΒΓ: ἑκάτερον Π θείων ΝΜΑΒΓ: θεῖων Π 12. ἴσον ΝΠΜΑ: ἶσον Β πάντῃ ΝΜΑΒΓ: πᾶντη Π πάντως ΠΜΑΒΓ: πάντ Π 14. ἐφαρμόττει ΝΜΑΒΓ: ἐφαρμόζει Π καὶ ἄνευ (ἄνευ Π) - πνεύσεως ΝΠΜΑΓ: λείπουσι Β 15. περ ΝΠΑΜΓ: πὲρ Β 17. καὶ πατρότης ΝΠΜΑΓ: καὶ υἱότης ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ᾧᾳ καὶ πατρότης Β

ΕΡΓΑΣΤΗΡΙΟ ΤΗΜΟΙΟΑΝΝΙΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΜΕΤΑΒΥΖΑΝΤΙΝΟΥ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΙΔΡΥΘΕΝ ΤΟ ΠΑΛΑΙΟΝ ΕΠΙΣΚΟΠΕΙΟΝ ΜΕΤΣΟΒΟΥ ΚΑΙ ΔΙΔΥΜΟΤΕΙΧΟΥ ΙΔΡΥΜΑ ΑΝΔΡΕΑΣ ΚΑΙ ΕΛΕΝΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Ο ΠΕΤΣΙΟΥ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

παρέπεται τῇ πατρότητι καὶ αὖ πάλιν πατρότητί τε καὶ πνεύσει, σχέσεις εἰσὶ μόνον, οὐ τελειότητες, ὥςπερ καὶ ἡ υἱότης καὶ ἡ ἐν τῷ Πνεύματι πνεῦσις· διὸ καὶ ἰδιότητες ταῦτα, ἑνὶ μόνῳ τῶν προςώπων ἑκάστου προςόντος ἥκιστα κινουμένου καὶ μεταπίπτον-
5 τος. Τὰ δὲ παρὰ ταῦτα πάντα τὰ αὐτὰ τῷ ἀριθμῷ κοινὰ τοῖς τρισὶν, ἵν' εἴη τοῖς αὐτοῖς ἴσος καὶ ὅμοιος θεὸς ὁ υἱὸς θεῷ τῷ πατρὶ καὶ θεὸς τὸ Πνεῦμα θεῷ πατρί τε καὶ τῷ υἱῷ· καὶ διὰ ταῦτα θεὸς εἷς τὰ τρία τῇ αὐτῇ καὶ μιᾷ οὐσίᾳ καὶ ταῖς αὐταῖς τελειότησι, τοῦ τρόπου μόνου πως ἐναλλάττοντος, οἷς ἐν πατρὶ
10 μὲν πηγαίως ταῦτα καὶ ἀνάρχως καὶ ἀναιτίως καὶ μὴ παρ' ἄλλου του διδόμενα, ἐν δὲ τῷ υἱῷ καὶ πνεύματι παρ' ἄλλου τε διδόμενα τοῦ πατρὸς οὐκ ἀνάρχως, οὐ πηγαίως, οὐδ' ἀναιτίως. Μόνη γὰρ πηγὴ τῆς ὑπερουσίου θεότητος ὁ πατὴρ καὶ μόνος αὐτὸς αἰτία καὶ αἴτιος, ὅτι καὶ μόνος ἀναίτιός τε καὶ ἄναρχος·
15 οὐδὲ γὰρ ἔκ τινος καὶ αὐτὸς, ἵν' εἴη καὶ αὐτός πως αἰτιατὸν καὶ

1. παρέπεται M: περ ἕπεται ΝΠΑΒΓ: τῇ πατρότητι-πάλιν ΠΜΑΒΓ: τῇ N πατρότητί ΝΜΑΒΓ: πατρότητι Π πνεύσει ΝΠΜΑΓ: πνεῦσις ἐκ τοῦ τὸ πρῶτον γραφέντος πνεύσεως B 2. οὐ ΝΠΜΑΓ: οὔτε B ἡ ΝΠΑΒΓ: λείπει M ἡ ΝΠΑΒΓ: λείπει M 3. πνεῦσις ΝΠΑΒΓ: πνεῦσῖς ἐκ τοῦ τὸ πρῶτον γραφέντος πνεύσεως M 4. προσώπων ἑκάστου ΝΜΑΓ: προσώντων ἑκάστου ἐν δὲ τῇ ᾧᾳ Γρ. προσώπων B: ἑκάστου προσώπων Π προσόντος ΝΜΒΓ: πεσόντος ΠΑ κινουμένου ΝΜΑΒΓ: νουμένου Π 5. παρὰ ταῦτα ΝΠΑΒΓ: μεταταῦτα M 6. ἴσος ΝΠΜΑΓ: ἶσος B 7. τῷ ΝΠΜΑΓ: λείπει B 8. διὰ ταῦτα ΝΠΒΓ: διαταῦτα MA μιᾷ Γ: μιᾷ ΝΠΜΑ: μία B 9. πως ΠΜΑΓ: πῶς NB 10. ἄλλου M: ἄλλοῦ ΝΠΑΒΓ διδόμενα ΝΠΜΑΓ: δεόμενα· ἐν δὲ τῷ υἱῷ καὶ πνεύματι διαγεγραμμένα, ἐν δὲ τῇ ᾧᾳ Γρ. διδόμενα B 10-11. ἐν δὲ-ἄλλοῦ-διδόμενα ΠΑΒΓ: λείπουσι NM 11. οὐκ ΝΜΑΒΓ: λείπει Π 12. ἀναιτίως ΠΜΑΒΓ: ἀναιτίως N 15. ἵν' ΝΠΑΒΓ: ἵνα ἀρχόμενον τὸ πρῶτον ἀπὸ γράμματος ο εἶτα διορθωθέντος M

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΗΣΗ: ΑΝΑΓΝΩΣΤΟΠΟΥΛΟΣ Ο ΠΕΤΡΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὰ αὐτῷ προςόντα παρ' ἄλλου του καὶ μὴ ἀνάρχως μηδὲ πηγαίως. Αὐτὸς γὰρ μόνος υἱοῦ καὶ Πνεύματος ἀρχὴ ἄναρχος καὶ ἀναίτιος, ὡς ἐλέγομεν.

Παράγων τοίνυν ὁ πατὴρ τὸν υἱὸν, δίδωσιν αὐτῷ τὴν θείαν οὐσίαν καὶ ὅσαι περ αὐτῆς τελειότητες, ὥςτε καὶ τὴν γεννητικὴν καὶ προβλητικὴν ἅμα δύναμιν. Τῆς γὰρ αὐτῆς οὐσίας τὰ πρόςωπα καὶ τὰς αὐτὰς ἔχει δήπουθεν τελειότητας, ὡς ἐδέδεικτο. Καὶ νοῦς δὲ καὶ βούλησις τελειότητες. Ἄλλως τε τίς οὐκ οἶδε νοῦν τε καὶ βούλησιν τὰ αὐτὰ πάντη πάντως ἐν πατρὶ καὶ υἱῷ καὶ τῷ Πνεύματι; Ἀλλὰ μὴν ὅθ' ὁ υἱὸς παρήγετο ἐκ πατρὸς ὡς πατρὸς, οὐ νοεῖται τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς ὡς προβολέως παράγεσθαι· προεπινοεῖται γὰρ ὁ πατὴρ ᾗ πατὴρ τοῦ προβολέως ᾗ προβολεὺς, ὡς ἐλέγετο, ἄλλως τε καὶ τῆς πατρότητος ὑφεστώσης, μιᾶς ἰδιότητος οὔσης, τὴν πατρικὴν ὑπόστασιν, καθάπερ καὶ τὸν υἱὸν ἡ υἱότης, καὶ τὸ Πνεῦμα, ἡ προβολὴ, οὐκ ἂν ἅμα εἴη πατρότης καὶ ἡ ἐν τῷ πατρὶ προβολή. Προεπινοηθήσεται γὰρ

1. αὐτῷ Γ: αὐτῶ ΝΠΜΑ: αὐτὰ Β παρ' ΝΜΑΒΓ: παρ Π ἄλλου Ν: ἄλλού ΠΜΑΒΓ ἀνάρχως ΝΜΑΒΓ: ανάρχως Π μηδὲ ΠΓ: μὴδὲ ΝΜΑΒ 3. ἐλέγομεν ΝΜΑΒΓ: λέγομεν Β 4. παράγων ΝΠΜΑΓ: παράγων μετὰ ἕτερον παράγων διαγεγραμμένον Β 5. περ ΝΠΑΓ: παρ' Μ ὥστε καὶ τὴν γεννητικὴν συνεχῶς ἐν τῷ κειμένῳ ΝΠΜΑΓ: ὥστε ∧ ἐν δὲ τῇ ὥρᾳ καὶ τὴν γεννητικὴν Β 6. προβλητικὴν ΝΠΜΑΓ: τὴν προβλητικὴν Β οὐσίας ΝΜΑΒΓ: οὐσίας Π 7. αὐτὰς ΝΠΜΑΓ: ἀρχὰς διαγεγραμμένον ἐν τῷ κειμένῳ. ἐν δὲ τῇ ὥρᾳ αὐτὰς Β ἔχει ἐν τῷ κειμένῳ ΝΠΑΓ: πρόςθετον ἐν τῇ ὥρᾳ Β: λείπει Μ ἐδέδεικτο ΠΜΑΒΓ: ἐδέδεκτο Ν 8. τελειότητος ΝΜΑΒΓ: ταιλειότητες Π τίς ΝΠ: τὶς ΜΑΒΓ 9. πάντη ΝΜΑΒΓ: παντὴ Β 10. ἀλλὰ μὴν ΠΜΑΓ: ἀλλαμὴν Ν: ἀλλ' ὁ μὴν Β ὅθ' ΠΜΑΒΓ: ὁθ Ν ὁ ΝΠΜΑΓ: λείπει Α ἐκ πατρὸς ΝΜΑΒΓ: ἐκ τοῦ πατρὸς Π 11. πνεῦμα τὸ ἅγιον ΝΠΜΑΒ: τὸ ἅγιον πνεῦμα Γ τοῦ ΝΜΑΒΓ: λείπει Β 13. προβολεὺς ΠΜΑΒΓ: προβολὲς Ν ὑφεστώσης ΠΓ: ὑφιστώσης ΝΜΑΒ

ΕΓΑΣΑΗΡΟ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΘΝΤΗΣΑΝ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Ο ΓΙΑΝΝΟΥΛΗ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πατρότης τῆς ἐν πατρὶ, ταὐτὸν δὲ εἰπεῖν τῆς ἐνεργητικῆς προβολῆς. Οὐκοῦν καὶ ὁ υἱὸς, ὅθ' ὁ πατὴρ ὡς προβολεὺς παράγει τὸ Πνεῦμα τὸ ἅγιον, τὴν αὐτὴν ἔχων παρὰ τοῦ πατρὸς διὰ γεννήσεως δύναμιν, τὴν προβλητικὴν δῆλα δὴ, ξυνεπινοηθήσεται τῷ πατρὶ πρὸς τὴν τοῦ Πνεύματος πρόοδον, μίαν οὖσαν ἐκ πατρὸς δι' υἱοῦ, μιᾷ δῆλα δὴ δυνάμει τε καὶ ἀρχῇ, τῇ ἐν πατρὶ καὶ υἱῷ, ἐν μὲν ἐκείνῳ πηγαίως οὔσῃ καὶ ἀνάρχως καὶ μὴ παρ' ἄλλου, ἐν δὲ τῷ υἱῷ διδομένῃ διὰ γεννήσεως ἐκ πατρὸς, ὡς ἐξ ἀρχῆς ἀνάρχου καὶ πηγῆς καὶ αἰτίας, ἐξ ἧς ἑκάτερα πρόεισιν, υἱός τε καὶ Πνεῦμα ἅγιον. Ὥςτε τὸ Πνεῦμα τὸ ἅγιον εἰκότως ἐκ πατρὸς ἐκπορεύεσθαι λέγεται δι' υἱοῦ κατὰ τὴν ξυνεπτυγμένην θεολογίαν. Οὐδὲ γὰρ ἐκ μόνου πατρὸς, ἵνα μὴ νομίζοιτο ὁ υἱὸς αὐτῷ ἀνόμοιος, μὴ τὰς αὐτὰς ἔχων τελειότητας τῷ πατρὶ καὶ διὰ τοῦτο μηδ' ὁμοούσιος, ὅπερ οὐδαμῶς ἀπέοικε τῇ τοῦ Ἀρείου αἱρέσει, τὸν υἱὸν ἀλλοτριούσῃ τῆς θείας φύσεως τοῦ πατρός· ὧν γὰρ αἱ δυνάμεις διάφοροι καὶ αὐτὰ ἂν εἶεν ταῖς οὐσίαις διάφορα· οὐδ' αὖ ἐξ υἱοῦ, ἵνα μὴ πάλιν ὁ υἱὸς ἀρχὴ νομίζοιτο ἄναρχος καντεῦθεν πάλιν ἀλλότριος τῆς πατρικῆς οὐσίας καὶ φύσεως, πρὸς δὲ καὶ ἵνα μὴ υἱωνὸς νομίζοιτο τὸ Πνεῦμα τὸ ἅγιον τοῦ πατρὸς καὶ υἱὸς αὖ πάλιν τοῦ

1. ταὐτὸν Β: ταυτὸν ΝΠΜΑΓ: δὲ ΝΜΑΒΓ: δ' Π 2. προβολεὺς ΠΜΑΒΓ: προβολὲς Ν 3 διὰ γεννήσεως ΝΑΒΓ: διὰ γενήσεως Π: διαγεννήσεως Μ 4 (καὶ 6). δῆλα δὴ Β: δηλαδὴ ΝΠΜΑΓ: ξυνεπινοηθήσεται ΠΜΑΒΓ: ὑνεπινοηθήσεται Ν 6. μιᾷ Γ: μιᾶ ΝΜΑΒΓ: μιᾶ Ν τε ΠΑΒΓ: τὲ ΝΜ ἀρχῇ Ξ: ἀρχὴ Γ 7. οὔσῃ Ξ: οὔσης Γ 8. διδομένῃ ἔγραψα: διδομένη ΞΓ ἐξ ἀρχῆς ΝΠΒΓ: ἐξαρχῆς ΜΠ 11. ξυνεπτυγμένην ΠΜΑΒΓ: ὑνεπτυγμένην Ν 13. διὰ τοῦτο ΝΠΒΓ: διατοῦτο Α: διὰ τοῦτο Μ μηδ' ΝΠΒΓ: μὴδ' ΜΑ ὅπερ ΠΜΑΒΓ: ὁπερ Ν 14. τοῦ ΝΜΑΒΓ: λείπει Π ἀρείου ΝΜΑΒΓ: ἄρείου Π ἀλλοτριούσῃ ΝΜΑΒΓ: ἀλλοτριούσης Π 15. φύσεως ΝΠΑΒΓ: φύσεως μετὰ διαγεγραμμένον οὐσίας Μ 16. ἂν ΝΜΑΒΓ: ἂν Π οὐδ' ΝΜΑΒΓ: οὐδ Π 17. πάλιν ΠΜΑΒΓ: πάλλιν Ν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΑΝΤΙΓΡΑΦΟ ΠΡΕΠΙΩΝ ΜΕΤΑΠΤΥΧΙΑΚΩΝ ΣΠΟΥΔΩΝ ΠΕΡΙΟΧΗΣ Ν. ΑΘΑΝΑΣΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

υἱοῦ τοῦ θεοῦ· ἦν γὰρ ἂν καὶ ὁ υἱὸς αὖ πάλιν πατήρ· πρὸς δὲ καὶ ἵνα μὴ νομίζοιτό τι τῷ υἱῷ προσεῖναι ὡς παρακτικὴ δύναμις τοῦ ἁγίου Πνεύματος, μὴ τὸ αὐτὸ ὂν τῷ ἀριθμῷ κἀν τῷ θεῷ καὶ πατρί. Ἐπεισάγεται γὰρ καὶ τούτῳ πάλιν αὖθις τὸ τῆς οὐσίας ἀνόμοιον, ἃ δὴ πάντα ἀνόσια καὶ ἀθέμιτα καὶ πόρρω τῆς τῶν Χριστιανῶν ἐκκλησίας καὶ πίστεως.

Διὰ τοῦτο οἱ τῆς ἐκκλησίας διδάσκαλοι καὶ ἡ καθολικὴ ἑβδόμη σύνοδος ἐκ τοῦ πατρὸς ἀπεφήναντο δι' υἱοῦ τὸ ἅγιον ἐκπορεύεσθαι Πνεῦμα, οὐχ ὡς αἰτίου τοῦ υἱοῦ ὄντος, οὐδ' ὡς ἀρχῆς ἁπλῶς καὶ προβολέως τῆς τοῦ Πνεύματος ὑποστάσεως, ἀλλ' ὡς ξυναιτίου καὶ ἀρχῆς ἐξ ἀρχῆς, οὐδ' ὡς μὴ οἷόν τε ὄντος τοῦ πατρὸς μόνου μόνως τὸ Πνεῦμα παράγειν τὸ ἅγιον. Ἢ γὰρ ἂν οὐδὲ τὸν υἱὸν ἄνευ τινὸς ἑτέρου προσώπου γεννῆσαι μόνος πατὴρ ἠδύνατο οἷς τῆς αὐτῆς ἐστι τελειότητος τῶν παραγομένων ἑκάτερον καὶ δυνάμεως. Πατὴρ μὲν γὰρ αὐτὸς αὐτάρκως τὸν υἱὸν γεννᾷ καὶ τὸ Πνεῦμα προβάλλει τὸ ἅγιον, αὐτοῦ τε ὄντος ἔσται καὶ ὁ υἱὸς καὶ τὸ Πνεῦμα, αὐτοῦ τε αὖ ἀπόντος τῇ ἐπινοίᾳ οὐδ' υἱὸς ὅλως ἔσται οὐδὲ Πνεῦμά πως ἐξ υἱοῦ οὐδ' ὅλως ἓν οὐδὲν τῶν προσώπων,

1. ἂν ΝΜΑΒΓ: ἄν Π δὲ ΠΜΑΒΓ: δὲν Ν 3. τὸ αὐτὸ ΞΓ: τῷ αὐτῷ Migne ὂν ΝΜΑΒΓ: ὂν Π κἀν ΝΠΑΒ: κἂν Μ: κᾷν Γ 4. τούτῳ Γ: τούτω ΠΜΑΒ: τοῦτο Ν 7. διὰ τοῦτο ΝΠΒΓ: διατοῦτο ΜΑ ἑβδόμη ΒΓ: ζ^η ΠΜΑ: ζ̅' Ν 8. ἀπεφήναντο (ἀπεφῄναντο Γ) δι' υἱοῦ τὸ ἅγιον ΝΜΑΒΓ: δι' υἱοῦ τὸ ἅγιον ἀπεφήναντο Π 9. οὐχ ΠΜΒΓ: οὐχ' ΝΑ 10. ξυναιτίου ΠΜΑΒΓ: ὑναιτίου Ν 11. ἐξ ΝΜΒΓ: καὶ ἐξ ΠΑ ἀρχῆς ΠΜΒΓ: αρχῆς ΝΑ οἷου ΜΑΒΓ: οἷου ΝΠ 13. προσώπου ΝΜΑΒΓ: προσῶπου Π 14. ἐστι ΜΑΒΓ: ἐστὶ ΝΠ τελειότητος ΝΠΑΒΓ: τελειότητος ἐκ τοῦ τὸ πρῶτον γραφέντος τελείοτητος Μ παραγομένων ΠΜΑΒΓ: παραρμομένων Ν ἑκάτερον ΝΜΑΒΓ: εκάτερον Π 16 (καὶ 17). τε ΝΠΑΒΓ: τὲ Μ τε ΠΑΒΓ: τὲ ΝΜ 17. υἱὸς ΝΜΑΒΓ: ὁ υἱὸς Π 18. πνεῦμά ΑΒ: πνεῦμα ΝΜ: τὸ πνεῦμά ΠΓ οὐδ' ὅλως ΝΜΒΓ: οὐδόλως ΠΑ οὐδὲν ΝΜΑΒΓ: οὐδὲν Π

ΕΠΙΣΤΗΜΟΝΙΚΑ ΑΡΧΕΙΑ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΠΙΜΕΛΕΙΑ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΑΣΤΑΣΙΟΣ ΑΘ. ΠΕΤΣΙΟΣ Φ.Δ. ΕΠΙΜΕΛΕΙΑ ΤΗΣ ΕΚΔΟΣΗΣ ΑΝΑΣΤΑΣΙΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

μὴ ὅτι γε πρόοδος καὶ ἡ πρὸς ὕπαρξιν τῶν προσώπων ἐνέργεια. Υἱὸς δ' ὡς προβάλλων παράγων πως καὶ αὐτὸς τὸ Πνεῦμα τὸ ἅγιον, ἐκ τοῦ πατρὸς προϊὸν, αὐτό γε προβάλλει καὶ τοῦ πατρὸς προβάλλων ἐξήρτηται, μὴ ὅτι καθ' ὃ γεννᾶται, ἀλλὰ καὶ ᾗ προβάλ-
5 λων ἐστὶν, οἷς διὰ γεννήσεως τῆς αὐτῆς μεταλαβὼν δυνάμεως τοῦ πατρὸς ὡς προβάλλοντος προβάλλει καὶ αὐτὸς συνάμα τῷ πατρὶ τὸ ἐκ πατρὸς προβαλλόμενον. Ὥςτε καὶ εἰ κατ' ἐπίνοιαν ὁ προβολεὺς μὲν τοῦ πατρὸς προηγεῖτο, τὸ δὲ Πνεῦμα τὸ ἅγιον πρότερόν πως ἐκ τοῦ προβολέως παρήγετο τοῦ υἱοῦ, ὁ υἱὸς ἂν ἦν ἐκ τοῦ
10 προβολέως διὰ τοῦ Πνεύματος, τὸ δέ γε Πνεῦμα τῇ αὐτῇ δήπου δυνάμει τῇ ἐν πατρὶ, τῇ γεννητικῇ δῆλα δὴ τοῦ υἱοῦ, παρῆγεν ἂν καὶ αὐτὸ τὸν υἱὸν ἐκ τοῦ προβολέως ὥς γε πατρὸς, οὐχ ὅτι ὁ προβολεὺς ᾗ πατὴρ οὐκ ἦν ἂν αὐτάρκης τὸν αὐτοῦ γεννῆσαι υἱὸν, ὅπου νῦν αὐτάρκως μόνος γεννᾷ, καθάπερ καὶ τότε μόνος αὐτάρ-
15 κως ἂν τὸ Πνεῦμα παρῆγε τὸ ἅγιον, ἀλλ' ὅτι τὴν αὐτὴν ἂν εἶχε γεννητικὴν δύναμιν τῷ πατρὶ, διὰ πνεύσεως αὐτῷ δοθεῖσαν ὡς τελειότητα καὶ δύναμιν ἐκ πατρὸς, μήπω τοῦ υἱοῦ τῇ ἐπινοίᾳ παραγομένου.

Τὴν δὲ ξυνεπτυγμένην ταύτην θεολογίαν ἡ ῥωμαϊκὴ ἀναπτύ-

1. μὴ ὅτι ΠΜΑΒΓ: μὴότι Ν 3. αὐτὸ ΝΠΑΒΓ: αὐτὸ μετὰ πρ διαγεγραμμένον Μ 4. μὴ ὅτι ΒΓ: μηότι Α: μήοτι Π: μηότι ΝΜ καθ' ὃ ἔγραψα: καθὸ ΞΓ 5. ἐστὶν ΝΠΜΒΓ: ἔστιν Α διὰ γεννήσεως ΒΓ: διαγεννήσεως ΝΠΜΑ 6. συνάμα ΜΑΒΓ: σὺν ἅμα ΝΠ: σύναμα Migne 7. ἐπίνοιαν ΝΜΑΒΓ: ἐπείνοιαν Β 8. προηγεῖτο ΝΠΑΓ: προήγετο ΜΒ πρότερόν ΝΜΑΒΓ: προτερόν Π 10. τὸ δέ γε ΠΑΓ: τό τε ΝΜΒ δήπου ΝΠΑΓ: που ΜΒ 11. δῆλα δὴ ἔγραψα: δηλαδὴ ΞΓ παρῆγεν ΠΜΑΒΓ: παρήγεν Ν 12. ἂν καὶ αὐτὸ ΝΜΑΒΓ: ἂν αὐτὸν Π 13. ἂν ΝΠΜΒΓ: λείπει Α αὐτοῦ ΜΒΓ: αὐτοῦ ΝΠΑ 14. μόνος ΝΜΑΒΓ: μόνον Π καθάπερ ΝΠΑΓ: καὶ καθάπερ ΜΒ 15. ἂν ΝΜΑΒΓ: ἂν Β 17. μήπω ΝΠΑΒΓ: μήπω μετὰ μὴ πρ̄ διαγεγραμμένον Μ 19. ξυνεπτυγμένην ΠΑΒ: ξυνεπτυμένην Μ: συνεπτυγμένην Ν: ξυνεππύγμένην Γ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ξασα ἐκκλησία *καὶ ἐκ τοῦ υἱοῦ* τὸ Πνεῦμα ἐθεολόγησεν ἐκπορεύεσθαι, ταὐτὸ βουλομένη νοεῖν διὰ τούτου τῷ *δι' υἱοῦ ἐκ πατρὸς*, ἵν' αἰτίαν μὲν διὰ τούτου καὶ ἀρχὴν ἐξ ἀρχῆς πηγαίαν τῆς τοῦ ἁγίου Πνεύματος ὑποστάσεως τὸν πατέρα κηρύξῃ καὶ κατὰ τὴν τοῦ θεοῦ Λόγου φωνὴν, ξυναίτιον δὲ τὸν υἱὸν καὶ πηγὴν ἐκ πηγῆς καὶ ἀρχὴν ἐξ ἀρχῆς τῆς αὐτῆς ὑποστάσεως τῷ παρὰ τοῦ πατρὸς αὐτὸν ἔχειν τὴν προβλητικὴν δύναμιν, ὡς ἐλέγομεν ᾗ πατὴρ παράγει τὸ Πνεῦμα τὸ ἅγιον. Διὸ καὶ ἀρχοειδῶς μὲν καὶ προηγουμένως, φαίην δ' ἂν καὶ προκαταρκτικῶς καὶ ἀρχικῶς καὶ κυρίως ἐκ τοῦ πατρὸς προϊέναι φησὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἐξ υἱοῦ δὲ οὐχ οὕτω, κἂν καὶ ἐξ αὐτοῦ τῇ αὐτῇ παράγηται δυνάμει καὶ προβολῇ. Οὐδὲ γὰρ αἴτιος ἀναίτιος ὁ υἱὸς, οὐδὲ ἀρχὴ ἄναρχος τῆς τοῦ Πνεύματος ὑποστάσεως.

Ταῦτά τοι *καὶ ἐξ υἱοῦ* λέγειν ἐθέσπισε τὸ Πνεῦμα τὸ ἅγιον, ἐκεῖνο δήπου διὰ τούτου δηλοῦσα, τὸ *δι' υἱοῦ ἐκ πατρός*. Ὡς γὰρ *δι' υἱοῦ* τὸν πατέρα προϋποτίθησι, καὶ τοῦτον τῆς αὐτῆς ἐνεργείας προκαταρκτικὸν αἴτιον καὶ πηγαῖον καὶ ἄναρχον προεπινοεῖ,

2. ταὐτὸ Β: ταυτὸ ΝΠΜΑΓ: διὰ τούτου ΝΠΑΒΓ: διατούτου ἐκ τοῦ τὸ πρῶτον γραφέντος διατοῦτο Μ υἱοῦ ΝΠΑΒΓ: ἀντὶ τοῦ υἱοῦ ἤρχισε πρῶτον γράφων αἱ Μ 3. αἰτίαν ΠΜΑΒΓ: αιτιαν Ν διὰ τούτου ΝΜΑΒΓ: διὰ τοῦτου Π ἐξ ἀρχῆς Γ: λείπει Ξ πηγαίαν ΜΒΓ: πηγαῖαν ΝΠΑ 4. τοῦ ΝΠΓ: λείπει ΜΑΒ 5. τὴν ΝΜΑΒΓ: ταύτην τὴν Π ξυναίτιον ΠΜΑΒΓ: ὑναίτιον Ν 6. ἀρχὴν ἐξ ἀρχῆς ΝΜΑΒ Migne: ἀρχὴν ἐ·ξαρχῆς Π 8. τὸ πν. ΝΜΑΒΓ: τό πν. Π 10 ἐξ ΝΜΑΒΓ: εξ Π 11 κἂν Ξ: κᾶν Γ αὐτοῦ ΠΜΑΒΓ: αυτοῦ Ν παράγηται ΝΠΓ: παράγεται ΜΑΒ 12. ἀναίτιος ΝΜΑΒΓ: ἀναίτιος Π οὐδ' Ξ: οὐδὲ Γ 14. ταῦτά ΝΜΒΓ: ταῦτα ΠΑ 15. διὰ τούτου ΝΠΓ: διὰ τοῦτο ΑΒ: διατοῦτο πρόςθετον ἐν τῇ ᾧᾳ διὰ παραπεμπτικοῦ σημείου ∧ ἐν τῷ κειμένῳ Μ 16. προϋποτίθησι ΠΒΜ: προὐτίθησι ΝΑ: προτίθησι Γ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΛΟΓΙΑΣ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΤΡΙΑΝΤΑΦΥΛΛΙΟ ΠΕΤΡΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΕΤΡΙΟΥ ΑΝ. ΚΑΘΗΓΗΤΗ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

οὕτω καὶ τὸ *ἐξ υἱοῦ* τὸν μὲν υἱὸν ξυναίτιον καὶ ἀρχὴν ἐξ ἀρχῆς, τὸν δὲ πατέρα ἁπλῶς αἴτιον καὶ ἀρχὴν ἄναρχον ἀποφαίνει τοῦ Πνεύματος. Ὅθεν καὶ εἴ που τὸν υἱὸν ἀρχὴν καὶ αἰτίαν φησίν, ἢ ξυγχωρεῖ λέγειν, τῆς τοῦ Πνεύματος ὑποστάσεως, καθάπερ ἐν τῷ Ὅρῳ τῆς ἱερᾶς καθολικῆς ὀγδόης συνόδου τῆς ἐν Φλωρεντίᾳ γέγραπται, οὐχ ἁπλῶς ἀρχὴν οὐδ' αἰτίαν αὐτὸν βούλεται εἶναι, ἀλλ' ἀρχὴν ἐξ ἀρχῆς καὶ αἰτίαν ἢ αἴτιον ὡς ξυναίτιον· ὥςπερ αὖ πάλιν κἀκεῖνο ἐν τῷ αὐτῷ περιεχόμενον Ὅρῳ τὸ *Οὕτω κἀκ τοῦ υἱοῦ τὸ Πνεῦμα προβάλλεσθαι καθάπερ καὶ ἐξ αὐτοῦ τοῦ πατρὸς* οὐ κατὰ τὸν τρόπον νοεῖ τῆς προόδου, ὥςτε ὡςαύτως, ἤτοι πηγαίως καὶ ἀνάρχως καὶ ἀναιτίως καὶ οἷον ἐξ ἑαυτοῦ τοῦ υἱοῦ τὸ Πνεῦμα προάγεσθαι, καθάπερ ἐξ αὐτοῦ τοῦ πατρός. Ἀντιφάσει γὰρ ἂν περιέπιπτεν, εἰ οὕτως ἐνόει ταυτὶ *καὶ ἐξ υἱοῦ* τὸ Πνεῦμα κηρύττουσα, ἀλλὰ κατὰ τὸ ταὐτὸν τῆς δυνάμεως, μιᾶς οὔσης τῷ ἀριθμῷ ἐν πατρὶ καὶ υἱῷ διὰ γεννήσεως, ὡς ἐλέγομεν, ἐκ πατρὸς τῷ υἱῷ διδομένης, καθάπερ καὶ τῆς οὐσίας αὐτῆς. Διὸ καὶ τὸν υἱὸν ἐκ πατρὸς παράγειν κηρύσσει τὸ Πνεῦμα καὶ προβάλλοντα αὐτὸν εἶναι ἐκ τοῦ πατρὸς καὶ ὅσα τῆς ὁμοίας ἐστὶ δυνάμεως.

Εἰ δὲ τούτων ὑφ' ἡμῶν εἰρημένων τις ἀποροῖ, πρῶτον μὲν πῶς οὖν ὁ υἱὸς οὐ γεννᾷ καθάπερ δὴ καὶ προβάλλει, τῆς αὐτῆς

1. καὶ τὸ ἐξ ΠΜΒΓ: καὶ τὸ ἐξ Α: καὶ ἐξ Ν ξυναίτιον ΠΜΑΒΓ: υναίτιον Ν 3. καὶ αἰτίαν ΠΜΑΒΓ: κἀὶ αἰτίαν Β 4. ξυγχωρεῖ ΠΜΑΒΓ: υγχωρεῖ Ν 7. ξυναίτιον ΠΜΑΒΓ: υναίτιον προςτεθέντος εἶτα ἐν ἀρχῇ σ Ν 8. κἀκεῖνο Ξ: κἀκεῖνο Γ κἀκ ΜΑΒ: κὰκ Π: κἀκ Γ: λείπει ἀφεθέντος χώρου κενοῦ Ν 10. οὐ ΝΜΑΒΓ: οὐ Π ἤτοι ΝΠΑΒΓ: ἢ καί τινα συγκεχυμένα γράμματα ἐν τῷ κειμένῳ, εἶτα δὲ τοι ἐν τῇ ὥᾳ πρόςθετον νεωτέρᾳ χειρὶ Μ 13. ἂν ΝΠΜΑΒ: λείπει Γ 14. ταὐτὸν Β: ταυτὸν ΝΠΜΑΓ 15. ὡς ΝΜΑΒΓ: ὣς Π 18. ἐστὶ ΠΜΒΓ: ἔστι ΝΑ 19. τις ΑΒ: τίς Π: τὶς ΝΜΓ: ἀποροῖ ΝΠΑΓ: ἀπορῇ ΜΒ Ἐν τῇ ὥᾳ ἀπορία Α 20. αὐτῆς ΝΜΑΒΓ: αὐτεῖς Π

ΕΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΕΡΟΦΗΤΗΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΤΟΧΗ ΤΗΣ ΑΝΩΤΑΤΗΣ ΚΑΙΟΥΣΗΣ ΘΕΑΣΑΛΟΝΙΚΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Ο ΜΕΓΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

μεταλαγχάνων γεννητικῆς δυνάμεως τῷ πατρὶ, ἢ πῶς τὸ Πνεῦμα τὸ ἅγιον οὔτε προβάλλει, οὔτε γεννᾷ, τῶν δυνάμεων ἑκατέρων οὐσῶν ἐν αὐτῷ καθάπερ ἐν πατρὶ καὶ υἱῷ, δεύτερον δὲ πῶς οὖν οὐ δύο ἀρχαὶ, δυοῖν ὄντων τῶν προβαλλόντων, ἢ πῶς οὐ ξυναλοιφὴ, εἰ δύο μία ἀρχὴ, ἴστω πρῶτον μὲν πρὸς τὸ πρότερον, ὅτι τοῦ πατρὸς τὸν υἱὸν γεννῶντος τῇ γεννητικῇ δυνάμει, καθάπερ ἐλέγομεν, ἡ γέννησις ξυνῆπται τῇ ἑαυτῆς καὶ αὐτὴ δυνάμει ᾗ ὁ υἱὸς γεννᾶται ἐκ τοῦ πατρός. Ὁμοίως δὲ καὶ τοῦ πατρὸς δι' υἱοῦ τὸ πνεῦμα προβάλλοντος ἡ προβολὴ ξυνῆπται τῇ ἑαυτῆς καὶ αὐτὴ δυνάμει, ᾗ ἐκ πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται. Οὔτε τοίνυν ὁ υἱὸς γεννᾷ διὰ ταῦτα, οὔτε τὸ ἅγιον Πνεῦμα γεννᾷ τι ἢ ἐκπορεύει· μεταδίδωσι γὰρ ὁ πατὴρ τῶν εἰρημένων δυνάμεων, τῆς μὲν γεννητικῆς τῷ υἱῷ, τῆς δὲ γεννητικῆς καὶ προβλητικῆς τῷ ἁγίῳ Πνεύματι, ξυνημμένων ἤδη ταῖς σφῶν αὐτῶν ἐνεργείαις ὡς τελειοτήτων μόνον, οὐχ ὡς δυνάμεων. Πρόςεστι δὲ καὶ τὸ τὴν δύναμιν ἑκατέραν ἄπειρον εἶναι καὶ ξυμμετρουμένην τοῖς ἐκ πατρὸς, καὶ αὐτοῖς ἀπείροις οὖσι μιᾷ καὶ τῇ αὐτῇ ἀπειρίᾳ καὶ ἀεὶ παραγομένοις κατὰ τὴν τῶν θεολόγων φωνήν. Διὸ καὶ ὁ πατὴρ μιᾷ δυνάμει γεννητικῇ οὐ πλείους μιᾶς υἱκῆς ὑποστάσεως γεννᾷ,

3. δεύτερον ΠΑΒΓ: δ̃ον ΝΜ 4 ξυναλοιφὴ ΠΜΑΒΓ: ὕναλοιφὴ προςτεθέντος εἶτα ἐν τῇ ἀρχῇ ἄλλῃ χειρὶ σ Ν 5. ἴστω ΝΠΑΒΓ: ἐν τῇ ᾧᾳ ἐπαναλαμβάνεται νεωτέρᾳ χειρὶ στω Μ Ἐν τῇ ᾧᾳ λύσις πρὸς τὸ α^ον Α 7. ξυνῆπται ΠΜΑΒΓ: ὕνῆπται Ν καὶ αὐτὴ ΜΒ: λείπει ΝΠΑΓ 7-10. ᾗ ὁ (ὁ λείπει Π)-ξυνῆπται (ὕνῆπταιΝ)-αὐτὴ (αὐτῆ Ν) δυνάμει ΝΠΓ: λείπουσι ΜΑΒ 10. οὔτε ΝΜΑΒΓ: οὔτε Π 11. διὰ ταῦτα ΝΠΑΓ: διαταῦτα ΜΑ τι ἔγραψα: τὶ ΠΑΓ: τἳ Ν: λείπει ΜΒ 13. τῆς ΝΜΒΑΓ: της Π 14. ξυνημμένων ΠΜΑΒΓ: ὕνημμένων προςτεθέντος εἶτα ἐν τῇ ἀρχῇ σ Ν 15 μόνον ΝΠΑΒΓ: μόνον ἐκ τοῦ τὸ πρῶτον γραφέντος μόνων Μ οὐχ ΠΜΑΒΓ: οὐχ' Ν δὲ ΠΜΑΒΓ: δεν Ν τὸ Ξ: ὁ Γ 16. ξυμμετρουμένην ΠΜΑΒΓ: ὕμμετρουμένην προςτεθέντος εἶτα ἐν τῇ ἀρχῇ σ Ν 18. κατὰ ΠΜΑΒΓ: μετὰ Ν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΘΕΟΛΟΓΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΘΡΗΣΚΕΙΩΝ ΕΠΙΣΤΗΜΩΝ ΑΓΩΓΗ ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΦΩΤΕΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

οὔθ' ἑνὸς αὖ μιᾷ δυνάμει προβλητικῇ πλείω παράγει τὰ πνεύματα. Ταῦτά τοι καὶ οὐ πλείω τριῶν ἐν τοῖς θείοις ἐντεῦθεν αἱ ὑποστάσεις, καθάπερ τοῖς θεολογικωτέροις ἐξήτασται.

Οὐχ οὕτω δὲ ξυμβαίνει περὶ τὴν ἐν τῷ υἱῷ προβλητικὴν δύναμιν τὴν ἐκ πατρὸς αὐτῷ δεδομένην διὰ γεννήσεως. Αὐτὴ γάρ, ὅθ' ὁ υἱὸς παρῆκται, μήπω νοουμένου τοῦ Πνεύματος ἐκπορεύεσθαι, καθάπερ πρόσθεν ἐλέγομεν, ἐκ πατρὸς δέδοται τῷ υἱῷ, μήπω τοῦ πατρὸς ὡς προβολέως αὐτῇ τὸ Πνεῦμα προάγοντος. Διὸ καὶ τῇ αὐτῇ δυνάμει καὶ ὁ υἱὸς ᾗ προβάλλων ἐκ τοῦ πατρὸς συνάμα πατρὶ μιᾷ προόδῳ τὸ Πνεῦμα ἐκπορεύει τὸ ἅγιον, ὅθ' ὁ πατὴρ ᾗ προβολεὺς αὐτὸ ἐκπορεύει.

Ἔπειτα δὲ καὶ πρὸς τὸ δεύτερον ἴστω, ὅτι τὸ τῆς ἀρχῆς ὄνομα διττῶς οὐ μόνον τοῖς φιλοσόφοις, ἀλλὰ καὶ τοῖς θεολογοῦσι λαμβάνεται, ἕνα μὲν τρόπον ὡς δύναμις, ἄλλον δ' αὖ ὡς πρόσωπον ἢ ὑπόστασις. Καλεῖται δὲ ἡ μὲν ἀρχὴ ἡ ὡς δύναμις, ᾗ δυνάμει καὶ ἀρχῇ προάγει τό γε προάγον, αὐτῆς μὲν οὐ προαγούσης· ᾗ γὰρ ἂν καὶ αὐτὴ ἄλλῃ τινὶ δυνάμει παρῆγε τῇ ἐν αὐτῇ, καὶ αὐτὴ πάλιν αὖ ἑτέρᾳ δυνάμει, κἀντεῦθεν ἐν τοῖς καθ' αὐτὸ ἢ ἐπ' ἄπειρον

1. οὔθ' Ξ: οὐδ' Γ 2. ταῦτά τοι καὶ ΝΠΒΓ: ταυτατοικαὶ Μ: ταῦτα τοι ἅ καὶ Α 3. ἐξήτασται ΝΠΜΒΓ: ἐξίσταται Α 5. δεδομένην ΝΒ: διδομένην ΠΜΑΓ 6. ὅθ' ΝΜΑΒΓ: ὁθ' Π πνεύματος ΝΠΑΒΓ: πνς' ἐκ τοῦ τὸ πρῶτον γεγραμμένου πρς' Μ πνεῦμα ΝΠΑΒΓ: πνα' ἐκ τοῦ τὸ πρῶτον γραφέντος πρα' Μ 8. προάγοντος ΝΜΑΒΓ: προάγοντος Β 11. προβολεὺς ΠΜΑΒΓ: προβολὲς Ν 12. Ἐν τῇ ᾧᾳ λύσις πρὸς τὸ δεύτερον καὶ ὅτι τὸ τῆς ἀρχῆς ὄνομα διττῶς νοεῖται Α 14. αὖ ΝΜΒΓ: ἂν ΠΑ 15. δυνάμει ΝΠΜΒΓ: δυνάμει προηγουμένου κενοῦ δύο γραμμάτων Α 16 ᾗ Γ: ἢ ΝΠΜΒ: ἢ Α 17. αὐτὴ ΝΠΑΒΓ: αὐτὴ ἐκ τοῦ τὸ πρῶτον γραφέντος αὐτῆ Μ 18. κἀντεῦθεν Ξ: κἀντεῦθεν Γ καθ'αὐτὸ ΠΝΒΓ: καθαυτὸ Α: καθαυτὸ ἐκ τοῦ τὸ πρῶτον γραφέντος καθ' αὐτὸ Μ ἐπ' ἄπειρον ΠΑΒΓ: ἐπάπειρον ΝΜ

ΕΓΑΣ ΤΗΡΙΟ ΤΗΜΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΘΩΜΑΗ ΑΝΟΙΞΗ ΘΕΣΑΛΟΝΙΚΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΠΑΝΤΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἦν προχώρησις, ὅπερ ἄτοπον· ἀρχῆς δὲ οὔσης αὐτῆς καὶ δυνάμεως, ᾗ προάγει τὸ αὐτὴν ἔχον ὡς ἀρχὴ κατὰ τὸ δεύτερον τῆς ἀρχῆς σημαινόμενον, ἡ δὲ ἀρχὴ ἡ ὡς πρόςωπον ἢ ἄτομον ἢ ὑπόστασις, ἥτις καλεῖται, τουτέστιν ἥτις παράγει τῇ ᾗ δυνάμει, τῇ ἐν αὐτῇ δῆλα δή. Τοσαυταχῶς οὖν τοῦ τῆς ἀρχῆς ὀνόματος ἐκλαμβανομένου, εἰ μὲν ἐν πατρὶ καὶ υἱῷ δύο τὰς ἀρχὰς θείη τις ὡς δυνάμεις προβλητικάς, αἷς πατὴρ καὶ υἱὸς τὸ Πνεῦμα παράγουσι, μάλα ἄτοπον καὶ ψευδὲς καὶ τῆς εὐσεβείας ἀλλότριον. Ἡ γὰρ ἂν οὐδ' ἡ αὐτὴ οὐσία τῷ ἀριθμῷ πατρὶ προςῆν καὶ υἱῷ, οἷς τῇ τῆς αὐτῆς δυνάμεως διακρίσει καὶ ἡ διάκρισις εὐθὺς ἕπεται τῆς οὐσίας ἔστι μὲν ὅτε καὶ εἴδει, ἔστι δ' ὅτε καὶ τῷ ἀτόμῳ. Ἀλλ' οὕτω δύο ἀρχὰς ἐν τοῖς δυοῖν ὡς δυνάμεις οὐδαμῶς ἡ ἱερὰ τῶν Ῥωμαίων ἐδόξασεν ἐκκλησία, πολλοῦ γε καὶ δεῖ· ὅπου γε, καθάπερ ἐλέγομεν, πάντα τὴν αὐτὴν ἐν πατρὶ προβλητικὴν δύναμιν τἀριθμῷ προςεῖναι δοξάζει καὶ τῷ υἱῷ ἐκ τοῦ πατρὸς αὐτῷ διδομένην διὰ γεννήσεως, καθάπερ καὶ τὴν οὐσίαν αὐτήν, ὅσα τε ἄλλα φαμὲν τοῖς προςώποις ἐκ τῆς πηγαίας ἀρχῆς δίδοσθαι τοῦ θεοῦ καὶ πατρὸς, κἀντεῦθεν καὶ μίαν τἀριθμῷ πρόοδον καὶ ἓν δήπου Πνεῦμα, τὸ παραγόμενον ἐκ πατρὸς δι' υἱοῦ τῇ μιᾷ τἀριθμῷ δυνάμει τῇ ἐν ἀμφοῖν. Εἰ δὲ δύο ἀρχὰς οὕτω τις ἐκλαμβάνειν ἐθέλει, καθάπερ ὑποστάσεις δύο καὶ πρόςωπα, τί τὸ ἄτοπον πρὸς τῆς Τριάδος αὐτῆς ἢ ποῖον κατὰ τῆς ἐκκλησίας ἐντεῦθεν γένοιτ'

1. ἦν ΝΜΑΒΓ: ἧς Π 3. ἀρχῆς ΝΜΒΓ: αὐτῆς ΠΑ ὡς ΝΜΑΒΓ: ως Π 4. παράγει ΝΜΑΒΓ: παράγη Π 5 ·δῆλα δὴ Β: δηλαδὴ ΝΠΜΑΓ 6. ἐκλαμβανομένου ΝΜΑΒΓ: ἐκλαμβανόμένον Π 8. ψευδὲς ΠΜΑΒΓ: ψευδὲν ἐκ τοῦ ψευδὸν Ν ᾗ Γ: ἢ ΝΠΜΒ: ἢ Α 12. ἐν ΝΠΑΓ: καὶ ΜΒ 13. καὶ ΝΜΑΒΓ: καί Π 16. διὰ γεννήσεως ΝΠΜΒΓ: διαγεννήσεως Α 18. κἀντεῦθεν ΝΜΑΒ: κάντεῦθεν Π: κἀντεῦθεν Γ 19. τὸ ΝΠΑΓ: λείπει ΜΒ τἀριθμῷ ΝΜΑΒΓ: ταριθμῷ Π 20. ἐκλαμβάνειν ΝΜΑΒΓ: ἔκλαμβάνειν Π 21. τί ΠΜΑΒΓ: τὶ Ν 22. κατὰ τῆς ΜΒΓ: κατὰ ΝΠΑ ἐκκλησίας ΝΜΑΒΓ: ἐκλησίας Π

ΕΛΛΗΝΙΚΗ ΕΤΑΙΡΕΙΑ ΤΗΣ ΙΩΑΝΝΙΝΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΘΟΛΟΓΙΑ ΕΚΔΟΣΕΩΝ ΜΟΕΑΝΗΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΓΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΕΤΣΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἂν δόγμα τῷ τοῦ Ἀρείου προσεοικός; Καὶ πειθέτω σε τὸ μιᾷ δυνάμει τὰς τρεῖς ὑποστάσεις τὴν κτίσιν παράγειν, τρεῖς ἀρχὰς οὕτως ὡς ὑποστάσεις, οὐχ ὡς δυνάμεις. Ὅ τε γὰρ πατὴρ παράγει τὴν κτίσιν, ὅ θ' υἱὸς παράγει τὴν κτίσιν, τό τε Πνεῦμα τὸ ἅγιον παράγει τὴν κτίσιν, καὶ οὐδὲν ἐντεῦθεν ἕπεται ἄτοπον οὐδ' ἀσεβὲς δόγμα οὐδὲ τῷ τοῦ Ἀρείου προσεοικός. Ἕως γὰρ ἂν ἐν μιᾷ θεότητι αἱ ὑποστάσεις πληθύνωνται, οὐδέποτε ἄτοπον νομισθείη τὸ ἐν μιᾷ καὶ τῇ αὐτῇ δυνάμει πλείους τὰς ἀρχὰς ὑπάρχειν ὡς ὑποστάσεις.

Ἐκ τούτων δὴ φανερὸν, ὅτι οὐδεμία τις ἐντεῦθεν διαίρεσις ἢ συναίρεσις ἕπεται, οὐδ ἄλλο τι ἄτοπον καὶ ἀδύνατον. Ἐν γὰρ μιᾷ δυνάμει προβλητικῇ προσωπικῶς αἱ ὑποστάσεις διήρηνται, πατὴρ καὶ υἱὸς, καθάπερ καὶ ἐν μιᾷ οὐσίᾳ πατὴρ υἱός τε καὶ Πνεῦμα ἅγιον, οὐ δύο μὲν προβολεῖς ὄντες, ἀλλ' εἷς, δύο γε μὴν προβάλλοντες, τῷ τρόπῳ μόνῳ γε διαφέροντες. Ἐκεῖνο μὲν γὰρ τὴν δύναμιν ἀφορᾷ, μίαν οὖσαν, οὐ πλείους ἐν ἑκατέρῳ, καὶ διὰ τοῦτο εἷς πάντως ὁ προβολεὺς, τοῦτο δὲ ἄρα τὰς ὑποστάσεις ὡς διακρινομένας τῷ χρήματι, καὶ διὰ τοῦτο δύο φαμὲν θεολογικώτατα τοὺς προβάλλοντας.

1. τῷ ΝΠΑΒ: τὸ Μ 2 ἀρχὰς ΝΜΑΒΓ: ἀρχᾶς Π Ἐν τῇ ᾧᾳ Ῥῶσος ἀναγνώστης ἔγραψε ΗΟΓΑ ἤτοι ποδὶ Α 3. οὕτως ΝΜΑΒΓ: οὕτως Π οὐχ ΠΜΑΒΓ: οὐχ' Ν 4. τό τε ΝΠΑΒΓ: τό, τε τὸ Μ 5. ἀσεβὲς ΠΜΑΒΓ: ἀσεβὲς ἑπομένου κενοῦ δύο γραμμάτων Ν 6. τῷ Γ: τῷ ΝΠΒ: τὸ ΜΑ ἂν ΝΜΑΒΓ: ἂν Π 7. πληθύνωνται Β: πληθύνονται ΝΠΜΑΓ 10. τις ΝΒ: τίς Π: τὶς ΜΑ 11. οὐδ' ΝΜΒΓ: ἀλλ' οὐδ' ΠΑ ἄλλο Β: ἄλλό ΝΠΜΑΓ 13. οὐσίᾳ Γ: οὐσία ΝΜΑΒ: ο'ὐσία Π ὄντες ΠΜΑΒΓ: ὄντ ἑπομένου κενοῦ Ν 15. προβάλλοντες ΠΜΑΒΓ: προβάλλοντων Ν γε ΠΜΑΒΓ: γεν Ν διαφέροντες ΠΜΑΒΓ: διαφέροντ ἑπομένου κενοῦ Ν 16. ἐν ΝΜΑΒΓ: ἐν Π 17 (καὶ 18). διὰ τοῦτο ΝΠΒΓ: διατοῦτο ΜΑ 17. προβολεὺς ΠΜΑΒΓ: προβολὲς Ν καὶ Ξ: Καὶ Γ

ΕΡΕΥΝΗΤΗΡΙΟ ΕΠΙΣΤΗΜΙΟΝΙΚΩΝ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΤΟΧΟΣ ΤΗΣ ΑΝΩΤΑΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗ ΦΙΛΟΣΟΦΙΑ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΑΠΑΔΗΜΗΤΡΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Αὕτη ἐστὶν ἡ τῆς ῥωμαϊκῆς ἐκκλησίας, ταὐτὸν δὲ εἰπεῖν τῆς καθολικῆς πίστεως, περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἡ εὐσέβεια. Τούτοις ἡμεῖς ἐτράφημέν τε καὶ ἐπαιδεύθημεν δόγμασιν, οὐ σοφίσμασιν, ὡς ἔνιοί φασιν, ἢ πειθοῖ σοφίας ἢ ἀνθρωπίναις ἐννοίαις γυμναῖς ἑπόμενοι, ἀλλὰ τοῖς θεολόγοις τῆς ἐκκλησίας καὶ ὅσα περ θεόθεν ἐφθέγξαντο. Ἐντεῦθέν ἐστι διὰ τούτων καὶ τοὺς ἁγίους νομίζειν ξυνῳδὰ σφίσιν αὐτοῖς φθέγγεσθαι καὶ οὐ περὶ τῶν αὐτῶν διαφέρεσθαι, ὅπερ οἱ τῆς θεολογικῆς σοφίας ἀνεπιστήμονες πάσχουσιν, ἤτοι τὰ τῶν ἁγίων ὀβελίζοντες ἀξιώματα ἢ νοθεύοντες ἢ ἀρνούμενοι ἢ κακῶς καὶ ἀνεπιστημόνως καὶ ὡς αὐτοῖς ἐφετὸν ἐξηγούμενοι. Ἀλλὰ μὴ τοιοῦτόν τι πάθοις αὐτός, ὃν ἐγὼ πᾶσιν ἄλλοις εὐδαίμονα τῷ ὄντι νομίζω, καὶ δὴ καὶ τῇ περὶ τὴν εὐσέβειαν ἀκριβείᾳ καὶ τῇ τῶν ὀρθῶν δογμάτων ὀρθότητι. Ἀλλ' ἐπιστήσας σὺν ἀκριβείᾳ τοῖς λεγομένοις ἐξ ἑκατέρων, ἕπου τοῖς θεολογικωτέροις μᾶλλον σὺν λόγῳ ἢ τοῖς ἀμαθέσι σὺν ἀμαθίᾳ, λόγον μὲν οὐδένα ἀποδιδοῦσιν, ὃς ἂν καὶ εὔλογος νομισθείη, φευγοδικοῦσι δὲ μᾶλλον καὶ τὴν ἀλήθειαν ξυγκαλύπτουσι καὶ

1. ταὐτὸν B: ταυτὸν ΝΠΜΑΓ 3. εὐσέβεια ΝΜΑΒΓ: εὐσέβειαν Π 4. ἔνιοί φασιν B: ἔνιοι φασὶν ΝΠΜΑΓ ἀνθρωπίναις ΝΠΑΒΓ: ἀνθρωπίναις Π 5. ἐννοίαις γυμναῖς ἑπόμενοι ΝΠΑΒΓ: γυμναῖς ἑπόμενοι ἐννοίαις Π τοῖς ΝΜΑΒΓ: τοις Π 6. ὅσα ΝΠΓ: ὅσοι ΜΑΓ ἐντεῦθέν ΑΒ: ἐντεῦθεν ΝΠΜΓ ἐστι ΜΒ: ἔστι ΝΠΑ: ἐστὶ Γ διὰ τούτων ΝΠΑΒΓ: διατούτων Μ 7. ἁγίους ΝΜΑΒΓ: ἁγίους ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἅγιους Π ξυνῳδὰ ΠΜΑΒΓ: ὕνῳδὰ Ν περὶ ΝΜΑΒΓ: πέρὶ Π 9 ὀβελίζοντες ΠΜΑΒΓ: ὀβελίζοντες Ν 12. τῷ ὄντι Γ: τῶ όντι Ν: τωόντι ΜΑΒ: τωόντι Π τὴν ΝΜΑΒΓ: τῆν Π 14. ἀκριβεία ΝΜΑΒΓ: ἄκριβεία Π ἑκατέρων ΝΜΑΒΓ: ἑκατέρων Π 15. θεολογικωτέροις ΝΜΑΒΓ: θεολογικωτέροις Π ἀμάθία Π: ἀμαθεία ΝΒΓ 17. φευγοδικοῦσι ΝΜΒΓ: φευγοδοκοῦσι ΠΑ: φυγοδικοῦσι Migne 18. ξυγκαλύπτουσι ΠΜΑΒΓ: υγκαλύπτουσι Ν

ΕΠΑΣΚΗΡΙΟ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΔΙΕΘΟΠΟΙΗΤΗΣ ΑΛΕΞΑΝΔΡΟΣ ΚΑΡΑΜΑΝΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΑΠΑΔΟΠΟΥΛΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὸ τῶν Ἑλλήνων γένος οἷς πράττουσί τε καὶ λέγουσι διαφθείρουσιν.

Ἐβουλόμην σοι τὸν παρόντα λόγον ἐκτείνειν καὶ πλείω γράφειν τῶν αὐτῶν πέρι, λαμπρότατε. Ἀλλ' ἀρκεῖν ἐνόμισα ταῦτα νυνὶ τῇ ἐξεταστικῇ σου ψυχῇ, ἐξ ὀλίγων ἄγαν τὰ πλείω ἄρα ξυνιδεῖν δυναμένῃ. Ἐν δὲ τῷ μετὰ ταῦτα χρόνῳ διεξοδικώτερον, εἰ σὺ κελεύοις, θεολογήσομεν, ἀκριβέστερον τὰ τῆς θεολογίας διεξερχόμενοι δόγματα· δεῖ γάρ σοι πείθεσθαι πάντως καθάπερ πατρὶ καὶ κηδεμόνι τοῦ γένους.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ Θ. ΠΕΤΣΙΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ

---

1. ἑλλήνων ΝΜΑΒΓ: ἑλλήνων Π πράττουσί ΝΠΑΒΓ: πράττουσι Μ 3. γράφειν ΝΠΜΒΓ: μετὰ τὸ γράφειν ἕπεται λαμπρ διαγεγραμμένον Α λαμπρότατε Μ: λαμπρότατα ΒΓ: λαμπρότητα ΝΠΑ 4. πέρι ΠΜΑΒΓ: περὶ Ν ταῦτα ΝΜΑΒΓ: ταύτα Π 5. ὀλίγων ΠΜΑΓ: ὀδίγων Ν: ὀθίγων Β ἄγαν ΠΜΑΒΓ: ἄ αν μένοντος ἐν μέσῳ τῶν δύο α κενοῦ Ν ἄρα ΝΠΜ: λείπει ΑΒΓ ξυνιδεῖν ΠΑΒΓ: υνιδεῖν Ν: ξυνειδεῖν Μ 6. μετὰ ταῦτα Γ: μεταταῦτα ΝΠΜΑΒ 7. κελεύοις ΝΜΑΒΓ: κελεύοι εις Π 9. κηδεμόνι ΝΠΜΒΓ: κηδαιμόνι Α

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ
ΤΟΥ ΚΡΙΤΟΥ ΤΟΥ ΔΗΜΟΣΙΟΥ ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΕΙΣ ΤΟΝ ΜΑΚΑΡΙΩΤΑΤΟΝ ΠΑΠΑΝ ΚΥΡ ΝΙΚΟΛΑΟΝ

Πλείστην ὅτι χάριν οἶδα θεῷ μὲν πρῶτον, ὦ πάτερ πατέρων καὶ κύριε κυρίων τῶν ἐπὶ γῆς, εἶθ' οὕτως καὶ τῷ αἰδεσιμωτάτῳ μοι κυρίῳ καρδιναλίῳ, ὅτι με τοσούτου πράγματος ἠξίωσαν, οὐμενοῦν εἴποι τις ὅσου καὶ ἡλίκου, λέγω δὴ τῆς σῆς θεοειδοῦς καὶ μακαριωτάτης ὄψεως. Ἣν δήπου θεσπεσίαν τῷ ὄντι καὶ θεοείκελον ὄψιν πάλαι ποθῶν καὶ ὅτι μάλιστα ταύτης θεῷ καθ' ἡμέραν εὐχόμενος τυχεῖν, οὐδόλως εἶχον εἰς δεῦρο τῆς εὐχῆς οὐδ' ὁπωσοῦν ἐπιτυχεῖν, οὐκ οἶδα εἴτε τοῦ θεοῦ με ταύτης τῆς θέας ἀνάξιον κρίνοντος, εἴτε καὶ τοῦ τῆς ὁδοῦ διαστήματος ὀκνεῖν καὶ ἀναβάλλεσθαί με πείθοντος τὴν θεοφιλῆ ταύτην καὶ καλλίστην ἐμπορίαν, ἅτε δὴ καὶ ὑπερόριον μάλα τυγχάνουσαν καὶ πολλὰ τὰ μεταξὺ δύςκολά τε καὶ ἀνώμαλα παρέχουσαν, ἐπεὶ καὶ μάλα πολλὰ μεταξὺ *οὔρεά τε σκιόεντα* καθ' Ὅμηρον *θάλασσά τε ἠχήεσσα*. Ἐῶ γὰρ λέγειν Σκύλλας τε καὶ Χαρύβδεις καὶ ὅσα τῶν ἀλλοκότων θηρίων ὁ τῆςδε τῆς ὁδοῦ πλοῦς τρέφειν παρὰ ποιηταῖς λέγεται, ἃ δήπου διελθεῖν ἄνευ μεγίστων κινδύνων καὶ δαπάνης οὐ ῥᾴδιον οἶμαι, καὶ εἰ καθ' Ἡρακλέα τις ὢν τυγχάνει, ἐπεὶ καὶ ὁ τῶν

Περιλαμβάνεται ἐν μόνῳ τῷ Παλατίνῳ κώδικι 146 τῆς βιβλιοθήκης τοῦ Βατικανοῦ, φ. 159α - 166β, αἰῶνος ιε'.

Ἐν τῇ ᾧᾳ κάτωθεν τῆς ἐπιγραφῆς Adulatoria.

2. εἶθ' οὕτως ἐπαναλαμβάνεται καθαρώτερον ἐν τῇ ᾧᾳ, χειρὶ πιθανῶς τοῦ Κωνσταντίνου Λασκάρεως 5. θεοιείκελλον 6. καθημέραν 10. ἐμπορείαν 12-13. δύςκολά τε - μεταξὺ πρόςθετα ἐν τῇ κάτω ᾧᾳ διὰ παραπεμπτικοῦ σημείου ·/. 13. καθόμηρον 14 (καὶ κατωτέρω ἑκασταχοῦ). τὲ χαρύβδας 17. καθἡρακλέα τὶς

ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΕΤΑΙΡΕΙΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΘΝΟΥΣ ΕΡΕΥΝΩΝ ΝΟΟΛΟΓΙΑΣ ΚΑΙ ΠΑΝΤΙΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Κεφαλλήνων ἄρχων καὶ κατὰ τὸν ποιητὴν Διὶ μῆτιν ἀτάλαντος Ὀδυσσεὺς ἐνταῦθα τοῦ πλοῦ ναυαγῆσαι μάλιστα ᾄδεται. Ταῦτα γὰρ εἰς νοῦν λαμβάνων, θεοείκελε πάτερ, καὶ τὰς ἐκεῖθεν δυσκολίας λογιζόμενος καὶ ἅμα ὥςπερ τινὰ πέδην τὴν τῶν ἐφοδίων περὶ
5 τὸν πλοῦν ἀπορίαν περιφέρων, ὤχνουν καὶ ἀνεδυόμην τὴν θείαν
φ.159ᵃ ταύτην καὶ ἐκ πολλοῦ μοι μεμελετημένην || ἐμπορίαν, ἧς ἴσον τὸ κέρδος ἥγημαι τοῖς εἰς Παλαιστίνην ἀπαίρουσιν ἐφ᾽ ᾧ τῷ θεοδέγμονι τάφῳ προςκυνῆσαι, μᾶλλον δὲ καὶ μεῖζον. Ἐν ἐκείνῳ μὲν γὰρ ἅπαξ τὸ Κυριακὸν ἐντεθὲν σῶμα ἐν δεξιᾷ τοῦ πατρὸς ἀναληφθὲν
10 ἵδρυται, ταῦτ᾽ ἄρα καὶ ὁ τοῦ ἀχράντου σώματος τάφος κεκένωται καὶ πλέον οὐδὲν εὕρηται τοῖς πίστει προςιοῦσιν ἐκείνῳ, εἰ μή γε ἄρα πίστεως ἕνεκεν τὰ τῆς μισθαποδοσίας· *ἡ πίστις σου* γάρ φησιν *σέσωκέ σε*, καὶ τὰ ἑξῆς. Ἐν δ᾽ ἄρα τῇ οὐρανοβάμονι καὶ θεσπεσίᾳ ψυχῇ σοῦ τοῦ μακαριωτάτου καὶ ὑπερτάτου πατρὸς ζῶν αὐτὸς ὁ
15 τοῦ θεοῦ λόγος ἀεὶ ἐνίδρυταί τε καὶ ἐνοικεῖ καὶ ναὸς ἄντικρυς καὶ τάφος θεοῦ ὁ σὸς θεῖος συναμφότερος ἀναδεικνύεται ἄνθρωπος, πρυτανεῖον ὄντως καὶ ὢν καὶ καλούμενος μᾶλλον ἢ τὸ παρ᾽ Ἀθηναίοις οὕτως ὀνομαζόμενον, εἶθ᾽ ὡς τοῦ θειοτάτου πυρὸς ταμεῖον τυγχάνον ἄσυλον· πῦρ γὰρ ὁ θεὸς ἡμῶν καὶ πῦρ καταναλίσκον
20 τὰς ἁμαρτίας, ἐπεὶ ἔνθεν καὶ σοὶ πάντως τῷ μεγάλῳ καὶ θεολήπτῳ πατρὶ τό γε τὰς τῶν ἀνθρώπων ἁμαρτίας ἀφιέναι δύνασθαι δέδοται· εἶθ᾽ ὡς τὸν οὐράνιον καὶ ζωικὸν ἄρτον φέρων ὥςπερ ἀπὸ πρυτανείου τινὸς τοῖς ἐπιθυμητικῶς ἔχουσι τῆς αἰωνίου ζωῆς, αὐτάρκως χορηγῶν τε καὶ προτιθεὶς εἰς ἑστίασιν. Ἃ δὴ πρὸς
25 ἐμαυτὸν ἀναπολῶν, ἁγιώτατε πάτερ, καὶ τὸ τῆς ζημίας μέγεθος ἀναπεμπάζων ὅσον ἐκ τοῦ μὴ τὴν κατὰ νοῦν μοι ταύτην μελετηθεῖσαν ἐμπορίαν εἰς ἔργον ἀγαγεῖν, δεινῶς ἔφερον τὸ πρᾶγμα καὶ
φ.160ᵃ δυς||ηνιάστως καὶ ταλανίζειν ἐμαυτὸν οὐκ ἐπαυόμην καθ᾽ ἡμέραν

1. κεφαλήνων 3. θεοείκελλε 4. ὥςπέρ τινα 6. ἐμπορείαν 12. τὰ τῆς μισθαποδοσίας πρόςθετα ἐν τῇ ἄνω ὥρᾳ διὰ παραπεμπτικοῦ σημείου : 22. ἄρτον 24. προθεὶς 25. ἀναπωλῶν 27. ἐμπορείαν 28. καθημέραν

ΕΡΓΑΣΙΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΑΝΑΚΑΙΝΙΣΗ ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΠΑΤΣΙΚΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἄθλιον, ἐλεεινὸν, δυςτυχίας πάσης καὶ συμφορᾶς ἀνάπλεων ἡγούμενος, καὶ ὅλως θανατῶν ἄνθρωπος ἦν, οὐκ ἀνεχόμενος ζῆν καὶ τὸν ἥλιον προςορᾶν, τοιαύτης ἐκπεπτωκέναι μέλλων εὐδαιμονίας καὶ μακαριότητος. Ἀλλ' ἐγὼ μὲν, τούτοις τοῖς λογισμοῖς βαλλόμενος, οὕτω διετέλουν· θεὸς δὲ ἄρα τὰ τῆς εὐχῆς μοι καὶ τῆς ἐφέσεως ταύτης οὐκ ἀνήνυτα θήσειν εἰς τέλος ἔμελλεν. Ὁ γάρ τοι τὰ πάντα ἄριστος καὶ τῆς σῆς ὅλως ἐξηρτημένος τυγχάνων θεσπεσίας ψυχῆς καρδιναλίος, ὁ πάντα ἀγαθὸς, τῆς ἐνταῦθα φερούσης ἁπτόμενος ὁδοῦ, πᾶσάν μοι πρόφασιν κωλύμης ἀνῄρηκε, μετ' αὐτοῦ με συναπαίρειν κελεύσας ὅ τι τάχος καὶ μηδὲν τῶν τῆς ὁδοῦ χαλεπῶν δυςχεραίνειν μηδ' ἀναβάλλεσθαι τὰ τῆς ἀπάρσεως ταύτης ἔςτ' αὔριον ἔςτ' ἔννηφιν κατὰ τὸν Ἀσκραῖον, εὐχαῖς τοῦ μακαριωτάτου καὶ μεγάλου θαρρήσαντα πατρὸς, οὗπερ ἕνεκα καὶ τὸν παρόντα πλοῦν τολμήσειν ἐμέλλομεν. Ὦ πειθόμενος οὐκέτι δὴ προςανεθέμην, ἀποστολικῶς εἰπεῖν, σαρκὶ καὶ αἵματι, οὐδὲ γυναῖκα καὶ παιδία καὶ τὰ τιμιώτατα καὶ πατρίδα καὶ φίλους καὶ βασιλέως ὑπηρεσίαν ἅμα καὶ εὐμένειαν λογισάμενος, ἀναβεβλημένος ἔτι διετέλουν, οὐδὲ σάλους καὶ κλύδωνας καὶ ταραχὰς ἀνέμων καὶ κινδύνους ὑποβρυχίους λογισάμενος, οὓς ἐνδέχεται τοὺς τοσαῦτα καὶ τηλικαῦτα πελάγη διαπερᾶν πειρωμένους ὑφίστασθαι ὤκνουν καὶ
‖ ἀνεδυόμην, ἀλλ' Ἐρρίφθω κύβος εἰπὼν κατὰ τὸν μέγαν Ἰούλιον φ.160ᵇ
Καίσαρα, εἰ καὶ τολμηρὸν οὕτως ἔμοιγε εἰπεῖν, εἰπόμην τῷ κεκληκότι μάλα προθύμως καὶ ὅλῃ ψυχῆς καὶ ζεούσῃ προθυμίᾳ, ὡς εἰς θεὸν αὐτὸν ἄντικρυς τὴν πορείαν ποιησόμενος καὶ τῆς ἐκείνου μακαριότητος ἀπολαύσων. Καὶ γὰρ ἦν ἄλλως σχέτλιον καὶ πλείστης ὄντως ἄξιον μέμψεως, εἰ Σόλων μὲν Ἀθήνηθεν εἴς τε Λυδίαν καὶ Σάρδεις οὐκ ἀπώκνησεν ἀπᾶραι, Κροῖσόν τε καὶ τοὺς ἐκείνου θησαυροὺς ἱστορῆσαι, ἄνθρωπον καὶ ταῦτα βάρβαρον ὄντα καὶ ἄλλως ἰδιώτην καὶ τῶν γε τῆς ψυχῆς ἀναφαιρέτων ἀγαθῶν

9. πᾶσαν 11. μὴδ' 12. ἔννηφι 15. ἀποστολικῶς εἰπεῖν πρόςθετα ἐν τῇ ᾧᾳ διὰ παραπεμπτικοῦ σημείου: 22. καίσσαρα 27. ἀπάραι κροῖσσον τὲ

ΕΛΛΗΝΙΚΟ ΙΔΡΥΜΑ ΠΟΛΙΤΙΣΜΟΥ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΘΟΔΙΟΛΟΓΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΙ ΠΕΤΥΙΣ ΙΩΑΝΝΗΣ ΚΑΝΑΚΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΥΙΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

οὐδὲν κεκτημένον, ὅτι μὴ τοὺς πολυταλάντους ἐκείνους καὶ πολυχρύσους θησαυροὺς, δι' οὓς πάντως ἀπώλετο, Κῦρον τὸν Καμβύσου καὶ Μανδάνης ἐκπολεμώσας καθ' ἑαυτοῦ, εἰ καὶ ἄλλως τὸν Σόλωνα λόγος αἱρεῖ οὐχ ἁπλῶς [διὰ τὸ] Κροῖσον ἱστορῆσαι καὶ τοὺς ἐκείνου
5 θησαυροὺς τὰς Σάρδεις καταλαβεῖν, ἀλλ' ὡς ἐλέγξων ἐκεῖνον μάτην ἐναβρυνόμενον τῷ πολυταλάντῳ πλούτῳ καὶ τὴν εὐδαιμονίαν ἐκεῖθεν ὁριζόμενον, ὡς μετριώτερός τε γένοιτο καὶ τῆς ἀπὸ τοῦ πλουτεῖν ἐπάρσεως καθαρῇ. Καὶ δῆλον ἐξ ὧν αὐτὸς τὸν Σόλωνα ἐρόμενος, εἴ τινα εὐδαιμονέστερον ἐκείνου οἴοιτο, μετά γε πολλῶν
10 καὶ ἄλλων καὶ τοῦτ' ἤκουσεν, ὡς τῆς τοιαύτης εὐδαιμονίας τὸ τέρμα δεῖ σκοπεῖν, τὸ ἄστατον τῆς τυχηρᾶς εὐδαιμονίας ἐντεῦθεν ὑπαινιττόμενος. Εἰ δὴ Σόλων μὲν τοσοῦτον ὑπέμεινε πλοῦν, εἶθ' ὡς
φ.161α εὐδαίμονα θαυμάσων τὸν Κροῖσον διὰ || τὸ πλουτεῖν, εἶθ' ὡς τὴν ἀλαζονείαν ἀποσκώψων τὴν ἐκείνου καὶ μετριώτερον ἐντεῦθεν ποιῆ-
15 σαι, ἀνθρωπινώτερα δήπουθεν φρονεῖν ἀναπείσας αὐτὸν, ἤπου γε ἡμεῖς δικαιότεροι ἂν εἴημεν ἐκ πάνυ πολλοῦ τοῦ περιόντος πάντα πόνον ὑπερφρονεῖν, κἂν ὅ τι μάλιστα δυσχερής ἐστι καὶ δυσκατόρθωτος καὶ πολλὰς ἔχων τὰς ἀπορίας, οἱ τὸν δεύτερον ἐπὶ γῆς θεὸν προσκυνεῖν μέλλοντες καὶ ἐν ᾧ οἱ τῷ ὄντι θησαυροὶ τῆς ἀνω-
20 τάτω σοφίας καὶ γνώσεως ἐναπόκεινται καὶ παρ' οὗ πᾶς τις ἂν καὶ πολλαχῇ τὴν ὠφέλειαν πορίζεσθαι δύναιτο ὡς ἐκ κοινοῦ τινος ταμείου, ἐν ᾧ τά τε τῆς καθ' ἡμᾶς καὶ τῆς θύραθεν σοφίας τὰ ἀγάλματα ἐντεθησαύρισται, εἴπερ μὴ τὴν τοῦ νότου βασίλισσαν Σιβύλλαν κατακρινοῦσαν ἡμᾶς μέλλομεν ἕξειν, ἐκ περάτων γῆς
25 οὐκ ἀποκνήσασαν εἰς Παλαιστίνην δραμεῖν ὥστε τὴν Σολομῶντος σοφίαν ἀκοῦσαι, ἐπείπερ ὧδε καὶ πλέον Σολομῶντος, ὥς που τῶν εὐαγγελίων τὸ Κυριακὸν ἀπεφήνατο λόγιον. Πολὺ γὰρ καὶ ἀσυγκρί-

2. κύρον 4. διὰ τὸ προσέθηκα 6. ἐναμβρυνόμενον 7. μετριότερος 11. της 13. κροῖσσον τὸ ἐκ τὸν διαξεσθέντος τοῦ ν 14. ἀλαζονίαν 15. ἀνοπινότερα 19. τῶ οντϊ 20. παρ 24. σιβύλαν. Δὲν ἐπιχειρῶ νὰ διορθώσω Σαβὰ, ὅπως μὴ μεταβάλω τὸ πιθανῶς γραφὲν ὑπ' αὐτοῦ τοῦ Ἀργυροπούλου. 25. ἀποκνήσασαν

ΕΠΕΤΗΡΙΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΟΣ ΔΑΣΤΟΣ ΕΤΟΣ ΔΕΚΑΤΟΝ ΕΝΑΤΟΝ ΕΠΙΜΕΛΕΙΑ ΑΝ. ΑΘΑΝΑΣΙΑΔΟΥ ΚΑΘΗΓΗΤΟΥ ΤΟΥ ΕΛΛΗΝΙΚΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2007

τως τὸ τῆς ὠφελείας ἐνταῦθα κέρδος ἢ ἐκεῖ πάντως νομίζειν χρεών.

Τούτοις οὖν, ὡς ἔφην, καὶ τοιούτοις ἔγωγε τοῖς λογισμοῖς ἀναπείσας ἐμαυτὸν, ὦ τρισμακάριε πάτερ, οὕτως πᾶσαν μὲν κινδύνων ὑποψίαν τῆς ψυχῆς ἐξορίσας, πάντα δὲ πόθον καὶ σχέσιν πατρίδος καὶ παίδων καὶ φίλων καὶ συγγενῶν, ᾗ περ ἔφην, ἀπωσάμενος, τὸν παρόντα σὺν θεῷ κυβερνήτῃ πλοῦν ἐστειλάμην, καὶ, ἤδη γε τοῦ θεοῦ συνάρσαντος, πάρειμι σῶς, τῶν καταθυμίων ||ὑπὲρ λόγον καὶ ὡς οὐκ ἄν τις ἤλπισε τετυχηκώς, λέγω δὴ τῆς φ.161[6] σῆς θεοειδοῦς καὶ ἀγγελικῆς ὄψεως τὸ ἀκρότατον τῶν ἐπὶ γῆς ἐφετῶν καὶ κάλλιστον ὄντως ἀξίωμά τε καὶ θέαμα καὶ οὐ μεῖζον οὐδὲν οὐδὲ θειότερον τῶν ἐπὶ γῆς ἀγαθῶν ἔχει τις ἐπινοῆσαι, ὥςπερ καὶ ἐπὶ τοῦ πρωτοτύπου καὶ νοεροῦ καὶ τὰ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντος ἐπουρανίου θεοῦ, εἰς ὃν πᾶσα ἔφεσις πάσης λογικῆς φύσεως ἵσταται καὶ ὑπὲρ ὃν οὐδαμοῦ τι φέρεται. Οὐ γὰρ ἔχει τι ὑψηλότερον ἄλλο, κἂν ὁ διαβατικώτατος καὶ ὑψηλότατος καὶ πολυπραγμονέστατος νοῦς τὰ μάλιστα φιλονεικείη ἐπιζητῶν κατὰ τὸν ἐν θεολογίᾳ Γρηγόριον. Οὗ σὺ τὴν εἰκόνα φορῶν, ὁ τά γε δευτερεῖα τῆς ἀρχῆς ἔχων ἐκείνου, ἄριστά τε καὶ κάλλιστα τὰ τῆς ἐκκλησίας ἢ μᾶλλον εἰπεῖν τὰ τῶν Χριστιανῶν ἅπαντα πράγματα κυβερνῶν διατελεῖς καὶ ὡς αὐτὸς ἐκεῖνος ἄντικρυς ὁ παρὰ θεοῦ τὴν τῆς ἐκκλησίας ἐπιτροπὴν ἀναδεξάμενος καὶ πέτρα παρ' ἐκείνου κληθεὶς, ἐφ' ἧς ὥςπερ ἐπὶ κρηπῖδός τινος ἢ βάσεως ἀρρήκτου τὴν ταύτης οἰκοδομὴν ἐπηγγείλατο ποιήσειν. Οὗ σὺ, θεσπεσιώτατε καὶ ἰσαπόστολε πάτερ, τόν τε βίον τήν τε ἀρετὴν καὶ τὴν ἄλλην ἐκείνου θείαν τε καὶ πνευματικὴν τῷ ὄντι φιλοσοφίαν καὶ τὴν διάπυρον πρὸς θεὸν ἐκείνου πίστιν κατ' ἄκρας ζηλώσας, εἰκότως καὶ τῶν ἐκείνου πρεσβείων κεκληρονόμηκας, εἴς τε τὸν ὑψηλότατον καὶ ἁγιώτατον ἐκείνου καθίσας θρόνον, τὴν

7. συνάρσαντος. Ἔγραψεν ἄρα οὕτως αὐτὸς ὁ Ἀργυρόπουλος ἢ διορθωτέον συνάραντος; 14. τὶ 16. ταμάλιστα 21. κρηπίδος τινὸς 25. τῶοντι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

φ.162α τῆς οἰκου||μένης πάσης ὡς ἀληθῶς ἱερωτάτην ἀκρόπολιν, ἀφ' ἧς ὥςπερ ἀπὸ σκοπιᾶς τινος τὰ τῶν Χριστιανῶν ἅπαντα κατοπτεύων πράγματα κάλλιστά τε καὶ εὐσεβέστατα διέπεις καὶ τὴν τῆς ἐκκλησίας ἰθύνεις μυριοφόρον ὁλκάδα, διακατέχων μὲν αὐτῆς ἀσφα-
5 λῶς τοὺς οἴακας, ἀπωθούμενος δὲ ἰσχυρῶς τοὺς δίκην κυμάτων ἐπηρεάζειν αὐτῇ πειρωμένους, ἵνα μὴ τὸ τοῦ χριστιανικοῦ πληρώματος σκάφος ταῖς τῆς ἀδικίας ἐπιρροαῖς περιπίπτῃ· ὃ δή σοι, θεοῦ συναιρομένου, κεκατώρθωται πράγμασιν αὐτοῖς εἰς τέλος. Πάσης μὲν γὰρ εἰρήνης καὶ γαλήνης τὰ τῆς ἐκκλησίας, τρισμά-
10 καρ, ἐπὶ σοῦ καὶ τῆς σῆς ἱεραρχίας πεπλήρωται πράγματα, εὐφροσύνη δέ τις ἄρρητος καὶ χαρὰ καὶ εὐθυμία πάντας ἀνθρώπους καὶ οὐχ ἥκιστα τοὺς τῆς ἐκκλησίας κατέχει τροφίμους, ἀψιμαχίαι δὲ πᾶσαι καὶ ἔριδες καὶ λογομαχίαι καὶ φθόνοι καὶ ἀντίθρονοί τινες καὶ ἀντιπάπαι, καθάπερ τινὲς Τιτᾶνες κατεξανιστάμενοι ἢ μᾶλ-
15 λον καθάπερ τινὲς ἄλλοι δαιμόνων, οἱ πάλαι ἐπὶ νεφελῶν τοὺς θρόνους αὐτῶν μεγαλαυχήσαντες θήσειν καὶ τῷ ὑψίστῳ καὶ μεγάλῳ θεῷ ὁμοιωθήσεσθαι ἐπιχειρήσαντες, ἐκποδὼν ἀπελήλανται, παντάπασιν ἀπεςκορακισθέντες καὶ τῷ τῆς ἀπωλείας καὶ ἀφανείας παραδοθέντες βαράθρῳ, τῆς σῆς φωτοειδοῦς καὶ παναρέτου παρ-
20 ουσίας διασκεδασάσης δίκην ἡλίου τὰ τέως τὴν τῆς ἁγιωτάτης ἐκκλησίας γῆν ἐπισκοτίζοντά τε καὶ διοχλοῦντα πονηρότατα ἐκεῖνα φ.162β νέφη καὶ πνεύματα· ἃ δὴ πρώην || τῇ τοῦ θεοῦ ἐκκλησίᾳ πολὺν τὸν κυκεῶνα καὶ τάραχον παρεῖχεν.

Αἴτιον δὲ τῆς τε τῶν πονηρῶν ἐκείνων πραγμάτων ὑποχωρή-
25 σεως καὶ τῆς τῶν παρόντων ἀγαθῶν ἐπιδόσεως τὸ τῆς σῆς καὶ μόνης ἀρετῆς περιόν· ὃ πάντες σεβόμενοί τε καὶ αἰδούμενοι, οἵ τε χρηστοὶ καὶ φαῦλοι τῶν ἀνθρώπων, ὁμοίως εἴκουσί τε καὶ στέργουσι τὴν σὴν ἱεραρχίαν ὡς ἄντικρυς αὐτοῦ θεοῦ ἐπιστατοῦντός τε καὶ πρυτανεύοντος τὰ τῆς ἐκκλησίας πράγματα. Αἰδεῖται γάρ

2. τῖνὸς 4. ὁλκάδα 7. περῖπτη 8. καικατώρθωται
12. ἀψιμαχίαι 14(καὶ 15). καθάπέρ τινες τιτάνες 17. ἐκποδῶν
18. ἀποσκορακισθέντες. Μὴ ἔγραψεν οὕτως αὐτὸς ὁ Ἀργυρόπουλος;

ΕΡΓΑΣΙΗΡΙΟ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΑΠΘ ΚΑΘΗΓΗΤΗΣ ΑΓΓΕΛΟΣ ΚΟΥΤΡΑΝΤΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. τος Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

φησιν ἀνδρὸς ἀρετὴν καὶ πολέμιος, καὶ οὐδεὶς οὕτω θρασὺς καὶ ἀλαζὼν, ὅστις ἐνδοιάζων ἔοικεν, ὡς οὐχ ὑπὸ κρείττονος ἄρχοιτό τε καὶ ἱερατεύοιτο, τά τε ἄλλα καὶ πολλῷ μᾶλλον τήν τε θείαν καὶ ἀνθρωπίνην σοφίαν ὑπεραίροντος. Καί μοι δοκεῖ διὰ ταῦτα πάντα νῦν ὡς ἀληθῶς, ἁγιώτατε πάτερ, εἰς ἀνθρώπους ἀφῖχθαι 5 τὸν τῆς εὐζωίας χρόνον, ὃν Πλάτων πάλαι προηγόρευσεν ἔσεσθαι, ὅταν ἢ βασιλεῖς φιλοσοφήσωσιν ἢ φιλόσοφοι βασιλεύσωσι. Καὶ γένοιτό γε, θεὲ σῶτερ, τοὺς ἐκ παλαιοῦ χρόνου παρ' Ἕλλησι μαρανθέντας λόγους νῦν ἐπὶ σοῦ, φιλοσοφίᾳ τὴν ἀρχὴν ἐγκαταμίξαντος, ἀναθαλλῆσαι καὶ εἰς αὔξην προελθεῖν, τό κάλλιστον τῶν ἐκ 10 θεοῦ τοῖς ἀνθρώποις δοθέντων δῶρον καὶ ἐξοχώτατον καὶ ὃ μόνον τοὺς ἀνθρώπους εἰκόνα θεοῦ καλεῖσθαι πεποίηκε, τῆς ἀλόγου φύσεως πλεῖστον ἀπαλλοτριῶσαν αὐτούς.

Ἐγὼ μὲν οὖν μεγάλας ἔχειν χάριτας ὁμολογῶ τῷ πάντων θεῷ, ὅτι με εἰς τήνδε τὴν || ἡμέραν ἐταμίευσεν, ἐν ᾗ τοὺς σοὺς φ.163α ἱεροὺς καὶ θείους καὶ, ὡς γραφικῶς εἰπεῖν, ὡραίους πόδας εὐαγγε- 16 λιζομένους εἰρήνην καὶ ἀγαθὰ προσπτύξασθαί τε καὶ προσκυνῆσαι ἐγένετο καὶ κατὰ τὸν Ἀβραὰμ ἐκεῖνον τὰ μέγιστα χαρῆναι. Ἀβραὰμ γάρ φησιν εἶδε τὴν ἐμὴν ἡμέραν καὶ ἐχάρη. Ταύτην ἐγὼ τὴν ἡμέραν ἱεράν τινα καὶ θείαν νομίζειν κατ' ἔτος ἐμαυτῷ ἐπιτάξω, ὥς- 20 περ οἱ τὰς ἱεροτελεστίας ἄγειν νομίζοντες, καὶ Θεοφανείων ἑορτὴν, ἵν' οὕτως εἴπω, ταύτην καλεῖν ἀξιώσω, ἐν ᾗ μοι τὰ τῆς σῆς θεοειδοῦς καὶ ἀγγελικῆς ὄψεως ἐφάνη καὶ ἐφ' ᾗ μοι μείζονα φρονεῖν ἔπεισι τῶν ἐπὶ τοῖς ἰδίοις γαμηλίοις καὶ γενεθλίοις καὶ κατοικεσίοις καὶ κουροσύνοις σεμνυνομένων κἀπὶ τῇ τούτων ἀναμνήσει 25 τὰς ἐτησίους ἑορτάς τε καὶ πανηγύρεις ἀγόντων.

Ταῦτ' ἄρα καὶ φέρων ἐμαυτὸν παραδίδωμι ὅλῃ ψυχῆς διαθέσει, πάτερ ἁγιώτατε καὶ σεβασμιώτατε, σοῦ τῇ ἱερᾷ καὶ κοινῇ

1. Μεταξὺ τῶν λέξεων ἀνδρὸς καὶ ἀρετὴν κενὸν ὡσεὶ τριῶν γραμμάτων 5. ὡσαληθῶς 16. Μετὰ τὸ θείους ἕπονται αἱ λέξεις καὶ ἱεροὺς διαγεγραμμέναι 18 ταμέγιστα ἀβραὰμ 20. ἐμαυτὸν 21. Τὸ καὶ ἐνταῦθά τε καὶ ἀλλαχοῦ κατωτέρω ὅπου γράφεται βραχυγραφικῶς δὲν φέρει ἐνίοτε τόνον

ΕΘΝΙΚΟ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΚΕΝΤΡΟ ΝΕΟΕΛΛΗΝΙΚΩΝ ΣΠΟΥΔΩΝ ΙΔΡΥΜΑ ΙΩΑΝΝΗΣ Κ. ΚΑΡΑΝΤΙΝΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

καὶ φιλανθρωποτάτῃ τῶν Χριστιανῶν προστασίᾳ τε καὶ κηδεμονίᾳ, δοῦλον ἐς ἀεὶ ἐσόμενον τῇ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, ἀγωνιούμενον μὲν ὑπὲρ αὐτῆς καὶ τῶν ὑπ' αὐτῆς λατρευομένων ὅση δύναμις μέχρις αἵματος καὶ θανάτου καὶ μελῶν ἀφαι-
5 ρέσεως, εἰ τούτου δεήσειε, πιστεύων δὲ οἷς αὕτη πιστεύειν Χριστιανοῖς παραδέδωκε καὶ δογματίζων ἅπερ αὕτη δεδογμάτικε, θεο-
φ.163ᵇ λογῶν τε || ἅπερ αὕτη θεολογεῖν ἐθέσπισε, πιστεύων μὲν εἰς πατέρα ἄναρχον καὶ ἀναίτιον καὶ ἀρχήν, τουτέστιν ἄναρχον μὲν καὶ ἀναίτιον ὡς ἐξ οὐδεμιᾶς ἄλλης ἀρχῆς ἢ αἰτίας τὸ εἶναι ἔχοντα οὔτε
10 παρ' ἑαυτοῦ οὔτε μὴν παρ' ἑτέρου, ἀρχὴν δὲ υἱοῦ μὲν καὶ πνεύματος φύσει καὶ οὐσίᾳ ὡς ἐκ τῆς ὑποστάσεως ἅμα αὐτοῦ προϊόντα κατὰ διαφόρους πρόοδους. Ἀφ' οὗ γὰρ πατὴρ, καὶ υἱὸς ἦν καὶ Πνεῦμα ἅγιον, ἀεὶ δὲ ἦν πατὴρ καὶ προβολεὺς καὶ οὐκ ἔστιν ἐπινοῆσαί τινα χρόνον ἢ αἰῶνα, καθ' ὃν τὸ πρῶτον αἴτιον οὐκ ἦν
15 ταῦτα· τοῦ γὰρ ἀεὶ κατ' Ἀριστοτέλη οὐθὲν πρότερον οὔθ' ὕστερον. Υἱοῦ μὲν δὴ καὶ πνεύματος ἀρχὴ ὁ πατὴρ οὕτω, κτίσεως δὲ τῆς τε νοητῆς καὶ ὁρατῆς δημιουργία καὶ ποιήσει· ἔξωθεν γὰρ ταῦτα καὶ οὐκ ἐκ τῆς οὐσίας τοῦ θεοῦ παρήχθη, εἰ καὶ ὁ υἱὸς καὶ τὸ Πνεῦμα συνδημιουργὰ τούτων ἅμα τῷ πατρὶ κατὰ τὸ Τῷ Λόγῳ
20 Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.

Πιστεύω δὲ καὶ εἰς ἕνα υἱὸν αὐτοῦ μονογενῆ τὸν ἐπ' ἐσχάτου τῶν χρόνων ἐκ τῆς παρθένου Μαρίας σαρκωθέντα δι' ἡμᾶς καὶ τὴν ἡμετέραν σωτηρίαν ἀναίτιόν τε καὶ αἰτιατὸν, ἀναίτιον μὲν τῷ
25 χρόνῳ· ποιητὴς γὰρ χρόνων, οὐχ ὑπὸ χρόνον· αἰτιατὸν δὲ κατὰ τὴν τοῦ πατρὸς ἀΐδιον καὶ προαιώνιον καὶ ἀπόρρητον γέννησιν ὡς
φ.164ᵃ ἐξ ἐκείνου ἔχοντα τὸ εἶναι καὶ τὸ υἱὸν εἶναι καὶ τἆλλα || πάντα ὅσα ἔχει. Οὐδὲν γὰρ τῷ υἱῷ ὁ μὴ παρὰ τοῦ πατρός.

Πιστεύω τε καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐκ τοῦ πατρὸς δι' υἱοῦ ἐκπορευόμενον ἀϊδίως, τουτέστιν ἐξ ἀμφοῖν, ὡς ἐκ μιᾶς ἀρ-

9. ἄλλης πρόσθετον ἐν τῇ ὥρᾳ διὰ παραπεμπτικοῦ σημείου ·/. 11. ἅμα αὐτοῦ μετὰ αὐτοῦ διαγεγραμμένον 14. αἴτιον 15. οὔθ 27. τ'ἄλλα

ΕΡΓΑΣΤΗΡΙΟ ΒΥΖΑΝΤΙΝΗΣ ΜΟΥΣΙΚΗΣ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΙΣΤΟΡΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΣΤΗΜΩΝ ΑΝΘΡΩΠΙΝΩΝ ΚΑΙ ΘΕΛΗΝΙΚΗΣ ΚΟΙΝΩΝΙΑΣ ΤΗΣ ΑΝΘΡΩΠΟΤΗΤΑΣ ΚΑΙ ΠΡΟΣΤΑΣΙΑΣ ΤΗΣ ΚΟΙΝΩΝΙΑΣ ΤΗΣ ΓΝΩΣΗΣ ©
Ε.Υ.Δ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

χῆς. Ἀδύνατον γὰρ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς εἶναι, εἰ μὴ διὰ τοῦ υἱοῦ, ὡς οἵ τε τῶν Λατίνων καὶ τῶν Γραικῶν διδάσκαλοι θεολογοῦσιν. Αὐτίκα γάρ, ὡς ἐπιτροχάδην εἰπεῖν, ὁ μὲν θεῖος Δαμασκηνὸς Αὐτός ἐστι, φησί, λόγου ἄβυσσος, λόγου γεννήτωρ καὶ διὰ λόγου προβολεύς. Καὶ αὖθις ἐν τοῖς Ὕμνοις Ἴλεων νέμοις ἡμῖν Πνεῦμα μεταδοτικὸν ἀγαθότητος ἐν πᾶσι διὰ σοῦ προερχόμενον, τῆς *διὰ* συναίτιον ἐνταῦθα τοῦ Πνεύματος τῷ πατρὶ τὸν υἱὸν παραδηλούσης, ἰσοδυναμούσης κατὰ τὸν θεηγόρον καὶ μέγαν Βασίλειον τῇ *ἐκ* τῶν προθέσεων, ἣ καὶ μάλιστα ἐπὶ τοῦ ὑλικοῦ αἰτίου παραλαμβάνεται, ἀλλ' οὐ τῇ *ἐν* καὶ *μετὰ* τῶν προθέσεων, καθώς τισι τῶν ἀντιλεγόντων τῇ προρρηθείσῃ ἐννοίᾳ δοκεῖ. Γελοῖον γὰρ καὶ ἀμαθὲς καὶ παρὰ τὸ τῆς ἐκκλησίας ἔθος καὶ ἅμα καὶ τοὺς τῆς γραμματικῆς κανόνας. Οὔτε γὰρ γραμματικῶς ἀκήκοέ τίς ποτε τῶν περὶ ταύτην ἐσχολακότων ἀντὶ τοῦ *ἐν* καὶ *μετὰ* τὴν *διὰ* παραλαμβάνεσθαι διδασκούσης, οὔτε τινὰ τῶν τῆς ἐκκλησίας διδασκάλων ἀντὶ τῶν προθέσεων τούτων χρησάμενόν ποτε τῇ *διά*. Εἰ δέ πού τις ἅπαξ καὶ καταχρησάμενος ἔφθη τοῦτόν γε τὸν τρόπον τῆς ἐννοίας, ἀλλ' οὐ || νόμος τὸ σπάνιον, ἐπεὶ οὐδὲ φ.164ᵃ μία χελιδὼν ἔαρ ποιεῖ κατ' Ἀριστοτέλη, οὐδὲ γραμμὴ μία τὸν γεωμέτρην, οὐδὲ πλοῦς εἷς τὸν θαλάττιον.

Οὕτω τοίνυν πίστεως ἔχων τῆς εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον Πνεῦμα, τὴν μίαν θεότητά τε καὶ κυριότητα καὶ οὐσίαν καὶ φύσιν καὶ δύναμιν καὶ ἐνέργειαν εἰς τρεῖς ὑποστάσεις εἶτ' οὖν πρόσωπα θεωρουμένων ἐπ' ἴσης, ᾗ μοι δεδήλωται, τὰς αὐτὰς αὖ ἰδιότητας καὶ ἑκάστῃ τῶν θεαρχικῶν προσώπων καὶ ὑποστάσεων νομίζω, ἃς ἡ τοῦ θεοῦ πασῶν ἁγιωτάτη ῥωμαϊκὴ ἐκκλησία δογματίζειν παραδέδωκε, μὴ μόνον τὰς ὑφιστώσας αὐτὰ καὶ οἷον εἰδοποιούσας, ἃς καὶ κυρίως ἡγητέον καὶ ὀνομαστέον ἰδιότητας αὐτῶν, ἐπεὶ καὶ κατ' αὐτὰς τὰ θεῖα διακέκριται πρόσωπα, ἀλλ' ἤδη καὶ τὰς ἁπλῶς

7. δῖα 9. ἐκ 10. εν μετα 11 αντιλεγόντων

14. τις ποτὲ εν 15 μετα δια οὔτέ τινα 17. δια που τοῦτον 23. εἴτουν 24. ἐπίσης

ΕΥ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

οὕτω παρεπομένας καὶ λεγομένας ἰδιότητας καὶ γνωρίσματα, ὥς-
περ ἐπὶ μὲν τοῦ πατρὸς τὸ ἀγέννητον καὶ ἀναίτιον καὶ ἄναρχον·
Ταῦτα γὰρ οὐ τί ἐστιν ὁ πατὴρ, ἀλλὰ τί οὐκ ἔστι δηλοῖ· τὰ γὰρ
κυρίως ἴδια καὶ ὁρισμοὶ τῶν ὧν εἰσι τυγχάνει, ὥςπερ ἡ πατρότης
5 καὶ τὸ γεννᾶν ἐπὶ τοῦ πατρός· ταῦτα γὰρ τὸ τοῦ πατρὸς ὑφίστησί
τε καὶ εἰδοποιεῖ πρόςωπον, ἐκεῖνο δὲ οὔ, ἀποφατικά τε ὄντα καὶ
στερητικὰ, ἀλλ' ἢ μόνον ἴδια καὶ ἁπλῶς γνωρίσματα τοῦ πατρός.
Ὡςαύτως καὶ τὸ αἴτιον οὐ κυρίως ἴδιον τῷ πατρὶ, ἀλλὰ παρεπόμε-
νον καὶ τοῦτο· ἕπεται γὰρ τῷ πατρὶ τὸ καὶ αἴτιον εἶναι οὗ ἐστι πα-
φ.165α τὴρ, ἐπεὶ ἔκ γε || τῶν περὶ αὐτὸν τοῦτο καὶ οὐκ ἐκ τῶν κατ' αὐτόν·
11 ὥςπερ καὶ ἐπὶ τοῦ ἀνθρώπου φέρε εἰπεῖν τὸ μὲν λογικῶς κυρίως ἴδιον,
τὸ δὲ γελαστικὸν οὐ κυρίως ἴδιον· ἐπουσιῶδες γάρ. Πρῶτον μὲν γὰρ
δεῖ τὸν ἄνθρωπον ἢ ἄνθρωπον λογικὸν εἶναι, εἶθ' οὕτως ἕπεσθαι αὐτῷ
καὶ τὸ γελαστικὸν εἶναι· ἐκεῖνο γάρ ἐστιν ὃ τὸν ἄνθρωπον ὑφίστησί
15 τε καὶ εἰδοποιεῖ καὶ αὐτὸ τοῦθ' ὅπερ ἐστὶν ἄνθρωπον ποιεῖ, τῶν
ἄλλων ὁμογενῶν αὐτῷ εἰδῶν διαστέλλον. Τὸ δὲ γελαστικὸν ἕπεται
μόνον τῷ ἀνθρώπῳ οὐκ εἰς τὸ τί ἦν εἶναι αὐτῷ συμβαλλόμενον· ἐπεὶ
καὶ τῇ ἐπινοίᾳ λογικόν μεν ἐστι λαβεῖν ἄνευ γελαστικοῦ, γελαστικὸν
δὲ ἄνευ λογικοῦ οὐδαμῶς. Ὡςαύτως δὲ καὶ ἐπὶ τοῦ υἱοῦ συστατικὸν
20 μὲν καὶ ὑποστατικὸν τὸ γεννᾶσθαι καὶ ἡ υἱότης· τοῦτο γάρ ἐστιν
ᾧ ὁ υἱὸς ἢ υἱὸς τοῦ πατρὸς διαφέρει κατὰ τὴν τῶν πρός τι ἀντί-
θεσιν, τὸ δὲ αἰτιατὸν οὐ κυρίως ἀλλ' ἑπομένως ἴδιον τῷ υἱῷ, ὥς-
περ καὶ τῷ πατρὶ τὸ αἴτιον. Οὐ γὰρ ᾗ αἰτιατὸς ἔχει τὸ γεννητὸς,
ἀλλ' ᾗ γεννητὸς ἔχει τὸ αἰτιατὸς καὶ τἆλλα ὡς ἀνωτέρω εἴρηται
25 ἐπὶ τοῦ πατρός. Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ Πνεύματος ὑποστατικὸν
μὲν τὸ προβάλλεσθαι ἢ καὶ τὸ πνεῖσθαι ἐξ ἀμφοῖν ὡς ἀπὸ μιᾶς
καὶ τῆς αὐτῆς ἀρχῆς ἐφ' ὅσον ὁ πατὴρ καὶ ὁ υἱὸς ἕν εἰσι κατὰ

9. Τοῦ οὗ προηγεῖται τινῶν περιγεγραμμένον 10. καταυτὸν
15. ὅπέρ ἐστιν 22. ἀλλ' ἑπομένως πρόςθετα ἐν τῇ ᾧᾳ διὰ παραπεμπτικοῦ σημείου ·/. μόνον ἐν τῷ κειμένῳ γεγραμμένου
24. τ' ἄλλα 27. ἐφὅσον

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΣΗΜΟΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΡΓΑΣΤΗΡΙΟ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΩΝ: Ν. ΠΑΠΑΔΗΜΗΤΡΙΟΥ ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΗΣ ΚΑΡΑΜΑΝΛΗΣ Θ.ΔΙΕΠΙΤΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὴν προβλητικὴν δύναμιν, ἣν ὁ πατὴρ δίδωσιν ἐν τῷ γεννᾶν τῷ υἱῷ, καὶ διὰ τοῦτο οὔτε δύο αἴτια οὔτε δύο ἀρχαί, ἀλλὰ μία καὶ ἡ αὐτὴ τοῦ ἁγίου Πνεύματος ἀρχὴ ἡ ὡς ἐξ ἑνὸς προβολέως. Διαστέλλεται ἄρα τὸ Πνεῦμα τὸ ἅγιον πατρὸς καὶ υἱοῦ τῇ διαφορᾷ τῶν || πρὸς τι ἐν μιᾷ καὶ τῇ αὐτῇ τῷ ἀριθμῷ προβολῇ παρὰ φ.165[6]
ἀμφοῖν τοῖς προσώποιν, καθ' ἣν τοῦτο μὲν προβάλλεται, ἐκεῖνα δὲ 6
προβάλλει ὡς ἀπὸ μιᾶς ἀρχῆς, καὶ οὐ τῇ διαφορᾷ μὲν τῶν προόδων τοῦ υἱοῦ διαστέλλεται, ὡς δοκεῖ τοῖς τῆς ἐναντίας μερίδος, λέγω δὴ τῇ τοῦ γεννητοῦ καὶ ἐκπορευτοῦ, τοῦ πατρὸς δὲ μόνου τῇ πρὸς ἄλληλα ἀναφορικῇ σχέσει, ἅτε δὴ καὶ παρ' ἐκείνου δῆ- 10
θεν μόνου προβαλλομένου. Ταῦτα γὰρ οὐ κυρίως διαφοραί, εἰ καὶ τοῖς τρόποις τῶν προόδων διαφέρειν δοκεῖ· αἱ γὰρ διαφοραὶ ἐναντιότητές εἰσιν, ὡς τοῖς περὶ ταῦτα δεινοῖς δοκεῖ. Ταῦτα δὲ οὐκ ἐναντία ἀλλήλοις· τὰ γὰρ ἐν τῷ αὐτῷ καὶ ἑνὶ ὑποκειμένῳ θεωρούμενα ἅμα οὐκ ἐναντία, ὥςπερ τὸ λευκὸν καὶ τὸ τρίγωνον· 15
ταῦτα δὲ ἅμα θεωρούμενά εἰσιν ἐν ἑνὶ καὶ τῷ αὐτῷ προσώπῳ τοῦ πατρὸς, λέγω δὴ τό τε γεννητὸν καὶ τὸ ἐκπορευτόν· ἐκεῖθεν γὰρ καὶ ἄμφω. Οὐδεμία δὲ τῶν ἀντικειμένων ἀντίθεσις χώραν ἐν τοῖς θείοις προσώποις ἔχει, εἰ μὴ ἡ κατ' αἰτίαν· λείπεται ἄρα τῇ κατ' αἰτίαν διαφορᾷ τοῦ υἱοῦ διακρίνεσθαι τὸ Πνεῦμα τὸ ἅγιον. 20

Οὗτος ὁ τῆς ἐμῆς περὶ τὴν Τριάδα πίστεως χαρακτὴρ, ἁγιώτατε πάτερ, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, ἵνα μὴ περαιτέρω λέγων τὰς σὰς ἱερὰς καὶ θείας ἀκοὰς ἀποκναίειν δοκῶ, ἀκόλουθος, οἶμαι, τῇ παρὰ τῆς ἁγιωτάτης καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας δογματιζομένῃ τε καὶ παραδεδομένῃ πίστει μετὰ πολλῆς || ἐρεύ- φ.166[6]
νης τε καὶ ἐξετάσεως θείας τε καὶ ἀνθρωπίνης, ἣ καὶ ζωὴν αἰώνιον 26

2. διατοῦτο 3 ὡς πρόςθετον ἄνωθεν χειρὶ πιθανῶς τοῦ Λασκάρεως 4. Μετὰ τὸ υἱοῦ ἕπεται τῶν περιγεγραμμένον 5. παρὰ(;) ἐπὶ ἄλλων διεξεσμένων 6. καθὴν 12-13. ἐναντιότητες εἰσὶν 16. θεωρούμενα εἰσὶν 18. ἀντίθεσις πρόςθετον διὰ τοῦ παραπεμπτικοῦ σημείου : 19. ἡμὴ 22. ὡς πρόςθετον ἐν τῇ ᾧᾳ ἐν τῇ ἀρχῇ τοῦ στίχου τῇ αὐτῇ χειρὶ 26. αιώνιον

ΕΘΝΙΚΟ ΙΔΡΥΜΑ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΙ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΕΠΙΣΤΗΜΗΣ ΙΝΣΤΙΤΟΥΤΟ ΜΕΛΕΤΩΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΑΠΑΝΙΚΟΛΑΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τοῖς κατ' αὐτὴν πιστεύειν ῥηρημένοις ὄντως δίδωσι κατὰ τὸ λόγιον. Ἐρευνᾶτε γάρ φησι τὰς γραφὰς, ὅτι ἐν αὐταῖς δοκεῖτε εὑρήσειν ζωὴν αἰώνιον· ἧς καὶ αὐτὸς μέτοχος εἴην, ὦ παναγία Τριὰς, πρεσβείαις τοῦ μεγάλου καὶ μακαριωτάτου πατρός.

5 Ἐκ μέντοι γε δὴ ταύτης τῆς ὁμολογίας καὶ περὶ τῶν λοιπῶν τῆς καθολικῆς ἐκκλησίας δογμάτων ὅπως ἔχω διαθέσεως πάρεστί σου τῇ ὑψηλοτάτῃ καὶ ὀξυτάτῃ συνέσει τε καὶ ἀγχινοίᾳ τεκμαίρεσθαι, πάντως θεοῦ χάριτι καλῶς καὶ εὐσεβῶς καὶ διαπύρῳ ζήλῳ διακείμενος καὶ περὶ ταῦτα καὶ ἑτοίμως ἔχων κινδυνεύειν καὶ περὶ τούτων ἐθέλειν,
10 εἰ δεήσειεν. Εἰ γὰρ καὶ πρὸ τῆς παρούσης ὁμολογίας οὐδ' ὁπωσοῦν ὑπεστελλόμην μετὰ παρρησίας ἀντιλέγων τε καὶ ἐναντιούμενος τοῖς ταῦτα διασύρειν καὶ μωμεύειν ἐθέλουσιν ἔν τε τοῖς βασιλείοις αὐτοῖς ἔν τε πατριαρχείοις ἔν τ' ἀγοραῖς ἔν τε μοναστηρίοις καὶ πανταχῇ τῆς μεγάλης πόλεως ἐκείνης, ὡς ἅπαντες ἴσασιν οἱ ἐκεῖσε
15 καὶ οἱ νῦν ἐνταῦθα παρόντες, πῶς οὐχὶ μετὰ τὴν ἔμπροσθεν τοῦ κοινοῦ τῶν Χριστιανῶν ἀγωνοθέτου τε καὶ βραβευτοῦ γινομένην ὁμολογίαν καὶ οἷον εἰπεῖν ἀπογραφὴν οὐ προθυμότερον ἀγωνιοῦμαι πρὸς τοὺς τῆς ἀληθείας ἄθλους ἐπαποδυόμενος, τὸν ἀθλοθέτην καὶ βραβευτὴν ἔχων ὁρῶντα σχεδὸν καὶ τοὺς ἀθλοῦντας οὐ τοῖς ἐκ
φ.166ᵉ ‖κοτίνων καὶ σελίνων ἀναδοῦντα στεφάνοις, ἀλλ' εὐχαῖς ταῖς τοὺς
21 ἀμαράντους καὶ ἀκηράτους προξενησούσαις στεφάνους.

Ἐπεὶ δὲ ἀνωτέρω δοῦλον ἐμαυτὸν ὡμολόγηκα τῇ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, ταὐτὸν γὰρ εἰπεῖν τῇ σῇ μακαριότητι, ἤδη καὶ τοὺς ἐμοὺς υἱεῖς Ἀλέξανδρόν τε καὶ Νικόλεων ἀνατίθημι ταύτῃ
25 καὶ οἷον ἀφιερῶ, καθάπερ ἡ Ἄννα ποτὲ τὸν Σαμουὴλ τῷ θεῷ, δεό-

1. καταυτὴν 3. Μετὰ τὸ αἰώνιον εὕρηνται αἱ λέξεις κατὰ τὸ λόγιον διαγεγραμμέναι 13. τ' πιθανῶς ἐκ τοῦ τὸ πρῶτον γραφέντος τε, διαγραφέντος τοῦ ε 17 ἀπογραφὴν ἀλλ' ἐν τῇ ᾧᾳ οὐδὲν ἀνταποκρίνεται εἰς τὸ σημεῖον : 20 σελήνων 23. ταυτὸν 24. Ἐν τῷ υἱεῖς ἀντὶ τοῦ ε ὑπῆρχεν τὸ πρῶτον ο τοῦ βιβλιογράφου παρασκευαζομένου νὰ γράψῃ υἱοὺς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΛΑΙΟΓΡΑΦΙΑΣ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΙΠΠΟΛΥΤΗΣ ΙΩΑΝΝΟΥ ΑΓΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΘΕΜΕΛΗ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

μενος τῆς σῆς μακαριότητος, ὥςτε αὐτοὺς ἐγκαταλέξαι τῷ θειοτάτῳ τῆς ῥωμαϊκῆς ἐκκλησίας κλήρῳ, ὥςτε δούλους αὐτοὺς εἶναι ἀπό γε τοῦ νῦν εἰς ἅπαντα τὸν δοθησόμενον αὐτοῖς παρὰ θεοῦ βίον. Ἵλαθι δὲ καὶ ἡμῖν, ἁγιώτατε πάτερ, εὐμενῶς καὶ τῇ συνήθει χρώμενος φιλανθρωπίᾳ, εἴ τι τοῦ δέοντος ἔξω καὶ τῆς μεγάλης σοῦ τοῦ μεγάλου πατρὸς ἀξίας οὐκ ἀξίως εἴρηται οἷς ἀνηνέγκαμεν τολμήσαντες. Οὐ γὰρ ἐκ προαιρέσεως τὸ ἁμάρτημα, ἄπαγε, ἀλλ' ἐξ ἀγνοίας τῆς σμικρᾶς καὶ ταπεινῆς ἡμῶν τῶν ταπεινῶν διανοίας πεπλημμέλήται.

---

2. ὡςτε ἄνωθεν τῇ αὐτῇ χειρὶ 4. Μετὰ τὸ βίον ἡ λέξις αὐτῶ ἵλαθι 5. φιλανθρωπεία 8. ἄπαγε ἐν τῇ ᾧᾳ διὰ παραπεμπτικοῦ σημείου ·/. 9 πεπλημέληται

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ
ΚΥΡΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ
ΛΥΣΙΣ ΑΠΟΡΙΩΝ ΚΑΙ ΖΗΤΗΜΑΤΩΝ ΤΙΝΩΝ ΑΠΕΡ ΕΖΗΤΗΣΕ ΤΙΣ ΤΩΝ ΕΝ ΤΗ ΚΑΤΑ ΚΥΠΡΟΝ ΦΙΛΟΣΟΦΩΝ ΚΑΙ ΙΑΤΡΩΝ

Τὰ πάντα γινώσκειν τε καὶ κατ' ἐπιστήμην ὡρισμένως εἰδέναι θεῷ μόνῳ γε ξυγκεχώρηται, παρ' ᾧ νοῦς καὶ τὸ ἀντικείμενον, ἥ τε σοφία καὶ ἐπιστήμη καὶ ἡ κατὰ ταύτας ἐνέργεια, ταὐτὸν τῇ οὐσίᾳ, τῷ χρήματι. Ἡμῖν δὲ τοῖς ἀνθρώποις, ὧν
5 ὁ νοῦς ξυμπέφυρται ταῖς αἰσθήσεσι καὶ ὀργάνῳ χρῆται τῇ ὕλῃ πρὸς τὴν τῶν ὄντων κατάληψιν, καὶ οἷς ἄλλο μὲν δύναμις, ἄλλο δὲ ἡ κατὰ τὴν δύναμιν ἕξις τε καὶ ἐνέργεια καὶ τὸ τῆς δυνάμεως ἀντικείμενον, οὔτε πάντα δήπου γε γνώριμα, καὶ ἃ δ' ἐπιστάμεθα ξυγκεχυμένως πως καὶ ὁλοσχερῶς καὶ οἷον ὡς ἐν ὀνείρῳ
10 γινώσκομεν. Οὔτε γὰρ τὰ τῶν ὄντων εἴδη πάντ' οἴδαμεν, ὅσα τε ἀνάγκη καὶ ὅσα τῶν ἐνδεχομένων ἐπέρχεται, καὶ τὰς ἐσχάτας δὲ τῶν ὄντων διαφορὰς, ἀφ' ὧν ἑκάστου τῶν ὄντων ἡ οὐσία χαρακτηρίζεται, παντελῶς ἀγνοοῦμεν· οὐ δὴ τὸν λόγον ἀνὴρ μὲν τῆς ἔξω μόνης σοφίας ἀποδώσειεν ἂν τῇ τῶν νῦν πρὸς ἀλλήλους

Περιλαμβάνεται ἐν τῷ Ἐσκουριαλείῳ Φ-III-15, φ. 293α-306β, αἰῶνος ιε' (Ε) καὶ τῷ Παρισιακῷ 985 φ. 12α-24β, αἰῶνος ιε' (Π)

Ἐπιγραφὴ Τοῦ σοφωτάτου καὶ λογιωτάτου Π: λείπουσιν Ε. Ἡ ὅλη ἐπιγραφὴ ἐπαναλαμβάνεται καὶ ἐν τῇ ὥρᾳ ἄλλῃ χειρὶ Ε

1. τε Ε: τὲ Π ὡρισμένως Ε: ὁρισμένως Π 2. ξυγκεχώρηται Π: συγκεχώρηται Π 3-4. ἐνέργεια ταὐτὸν Ε: ἐνέργεια ταυτὸν Π 9. πως Ε: πῶς Π 11. ἐσχάτας Π: αἰσχάτας Ε 14. ἀποδώσειεν Π: ἀποδόσειεν Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΕΥΝΗΤΙΚΟ ΚΕΝΤΡΟ ΦΙΛΟΣΟΦΙΑΣ ΑΠΕΘΥΝΤΗΣ ΑΝΑΚΑΙΝΙΣΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τάξει τε καὶ σειρᾷ, καὶ ὡς ὁ μὲν κρείττων καὶ τελεώτερος, ὅ γε πρότερος, ὁ δ' ὑφειμένος, ὁ δεύτερος, καὶ οἷον εἰπεῖν ἀτελέστερος καὶ τούτου πάλιν ὁ μετὰ τοῦτον καὶ καθεξῆς. Ξυμμετρεῖται γὰρ ἐκείνων τῇ τελειότητι καὶ δυνάμει καὶ ἡ τῶν ὄντων κατάληψις κατά γε τὸν γεωμετρικὸν, οὐ τὸν ἀριθμητικὸν δήπου λόγον παρὰ τῆς φύσεως· ἡμέτερος δὲ καὶ τῆς ἔσω σοφίας κἀκεῖνο μὲν ἴσως ἂν ξυγχωρήσειε, τήν γε μὴν τῆς ἐντολῆς παράβασιν καὶ τὸ διὰ ταύτην τἀγαθοῦ τε καὶ τοῦ θεοῦ πόρρω γενέσθαι τὸν ἄνθρωπον φήσειεν ἂν θαρρούντως αἴτιον τῇ ψυχῇ τῆς τοιαύτης ἀγνοίας γενέσθαι καὶ διὰ τοῦτο τὴν ψυχὴν ξυνημμένην τῷ σώματι, μηδὲ τὰς τῶν ὧν οἶδεν ὄντων οὐσιώδεις τε καὶ συστατικὰς εἰδέναι διαφοράς.

Οὐκοῦν θαυμαστὸν μὲν οὐδὲν, ὦ ἑταῖρε, εἰ καὶ σοὶ σοφῷ γε ὄντι κατά τε τὴν τοῦ γράμματος ἴσως σοφίαν κατά τε τὴν φυσικὴν ἐπιστήμην καὶ τὴν ἑπομένην ταύτῃ ἰατρικὴν, θεωρητικήν τε ἅμα καὶ πρακτικὴν, ἠπόρηται μὲν ἤτοι ὡς ἀληθῶς ἀπορούμενα τῶν ζητημάτων ταυτὶ ἢ καὶ ἄλλως πως ἀφορμὴν ἑτέροις εἰς φιλοτιμίαν παρέξοντα, ἠπόρηται δὲ ὅμως, καὶ μάλιστα καὶ φιλοσοφώτατα. Θαυμαστὸν δὲ ἐκεῖνο, εἰ δόξεις αὐτός τισι διὰ ταῦτα τῶν οὐκ εἰδότων ἢ καὶ τὰ ἀπορούμενα φαῦλα καὶ οὕτω ῥᾷστα πρὸς λύσιν ὡς μηδ' ἀξίαν εἶναι λόγου τὴν περὶ

1. σειρᾷ Π: σειρὰ Ε τελεώτερος Π: τελεότερος Α
2. πρότερος Π: πρώτερος ἐκ τοῦ τὸ πρῶτον γραφέντος πρότερος Ε 8 Μετὰ τὸ πόρρω κενὸν ὡςεὶ πέντε γραμμάτων ἐκ διαξέσεως λέξεως τὸ πρῶτον γραφείσης Ε 9. θαρρούντως Π: θαρρούντως ἐκ τοῦ τὸ πρῶτον γραφέντος θαρρούντος Ε 10. μηδὲ ἔγραψα: μὴδὲ ΕΠ 11. ὄντων οὐσιώδεις Π: ὄντων οὐσιώδεις Ε τε Ε: τὲ Π 13. σοφῷ Ε: σοφῷ ἐκ τοῦ τὸ πρῶτον γραφέντος σοφῶν Π 15. ἑπομένην Π: ἑπομένην Α θεωρητικήν Ε: θεωρητικήν ἐκ τοῦ τὸ πρῶτον γραφέντος θεωρϊτικήν Π 17. πως Ε: πῶς Π 18. μάλιστα Ε: κάλλϊστα Π 19. αὐτός τισι ἔγραψα: αὐτὸς τισὶ ΠΕ 21. μηδ' Ε: μὴδ' Π

ΕΘΝΙΚΟ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΜΕΤΟΧΟΝ ΤΗΣ ΑΝΩΤΑΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΑΚΑΔΗΜΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΟΙΚΟΝΟΜΙΚΟ ΕΤΟΣ 2006-2007
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τούτων ἐξέτασιν. Εἰσὶ γάρ, εἰσὶν ἴσως οἱ τῆς σαυτοῦ ζητήμασιν ἐντυχόντες τὸν μὲν πατέρα τῶν ζητημάτων Θερσίτην ἄντικρυς, αὐτὰ δὲ τὰ ζητήματα Θερσίτου λόγους νομίσουσί τε καὶ λέξουσιν οὐκ ἄλλο γε δι' οὐδὲν ἢ τό τε πόρρω τῆς ἐπιστήμης ὑπάρχειν καὶ τὸ διὰ τούτου δόξαι τῶν ὅ τι πλεῖστα καλῶς εἰδότων, μᾶλλον δὲ ἅπαντα. Οὕτω πολλοὶ τὴν οἰκείαν ἄγνοιάν τε καὶ μοχθηρίαν ταῖς τοιαύταις, ἵν' οὕτως εἴπω, περιπέττουσι τέχναις, οἷς ἐξελεγχομένοις ἅπας ὁστιοῦν σοφὸς ἀπεχθάνεται. Ἐμοὶ δὲ, νὴ τὴν ἐπιστήμην αὐτὴν, αὐτός τε τῶν σοφωτέρων ἔδοξας εἶναι, τοιαῦτα προτιθεὶς εἰς ἐξέτασιν, τά τε ζητούμενα πολλοῦ τε ἄξια εἶναι καὶ ὅ τι πλείστης δεόμενα τῆς ἐξετάσεως ἡγησάμην.

Ἐβουλόμην τε καὶ παρόντι σοι διαλέγεσθαι καὶ πρὸς σὲ γλώττῃ λόγοις αὖ ἐνιστάμενον τοὺς περὶ τῶν ζητημάτων λόγους ποιεῖσθαι. Οὕτω γὰρ ἂν πολλά τε πολλοῦ γ' ἄξια ἡμεῖς τε λέγειν αὐτός τε ἀκούειν οἷοί τε ἦμεν, ὡς τό γε νυνὶ βραχυλογίᾳ καὶ ὡς μόνον ἅψασθαι τῆς τῶν ζητημάτων λύσεως τὰ πρὸς σὲ ποιησόμεθα γράμματα πολλοῖς τε ἄλλοις καὶ δὴ καὶ τῷ μὴ χαίρειν ἄγειν τῷ μέλανι, πάνυ τε ἀκριβῶς ἡμῖν ἐλέλυτο τὰ ἀμφιβαλλόμενα, μηθενὸς ἀπορίας τόπου καταλειφθέντος.

Ἀλλὰ περὶ μὲν τούτων ἄδην, βραχυλογεῖν αἱρουμένοις. Λοιπὸν δὲ αὐτὰ τὰ ζητηθέντα σοι καθ' ἕκαστον ἐξετάσωμεν, ἀπὸ τῶν θεολογικωτέρων πρώτων ἀρξάμενοι καὶ καθ' ἣν αὐτὸς ταῦτ' ἔθηκας τάξιν, ὡς ἔχει φύσεως· θεολογία γὰρ φυσικῆς καὶ ἰατρικῆς αὕτη τῇ τε φύσει καὶ σοὶ, καλῶς ποιοῦντι, προτέτακται.

1. οἱ τοῖς Π: οἱ τῆς Ε 9. σοφωτέρων ἔγραψα: σοφοτέρων ΕΠ ἔδοξας Ε: ἔδοκας Π 10. τά τε Ε: τὰ τὲ Π 12 (καὶ 14, 18). τε Ε: τὲ Π σοι Ε: σοὶ Π 13. ζητημάτων Π: ζημάτων Ε 15. αὐτός τε Π: αὐτὸς τὲ Ε οἷοί ἔγραψα: οἷοι Ε: οἷον Π 19. μηθενὸς Ε: μηδενὸς Π 20. ἄδην ἔγραψα: ἄδδην ΕΠ 21. καθ' ἕκαστον Π: καθέκαστον Ε 22. πρώτων ἐκ τοῦ τὸ πρῶτον γραφέντος πρῶτων Π: πρότων Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΑΤΡΙΒΗ ΕΠΙ ΔΙΔΑΚΤΟΡΙΑ ΤΟΥ ΤΟΜΕΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΤΟΥ Θ. ΠΕΤΙΟΥ ΔΙΠΛΩΜΑΤΟΥΧΟΥ ΦΙΛΟΛΟΓΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Α. ΜΑΘΗΤΗ ΤΗΣ ΙΩΑΝΝΙΝΑΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ζήτημα α'.

Ἐπειδὴ ὁ θεὸς προνοητὴς ἁπάντων ἐστὶ καὶ πάντ' ἐφορᾷ, δι' ἣν αἰτίαν εἶπε τῷ Ἀδὰμ μὴ φαγεῖν ἀπὸ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, ᾗ δ' ἂν ἡμέρᾳ φάγοι, θανάτῳ ἀποθανεῖται; 5

Λύσις.

Προέγνω μὲν ὁ θεὸς ἀναγκαίως, ὅτι ὁ Ἀδὰμ πεσεῖται καὶ τὴν αὐτῷ δοθεῖσαν ἐντολὴν παραβήσεται· πάντα γὰρ οἶδεν ἐποπτικῶς ὁ θεὸς ὅσα παρῴχηκεν ὅσα τε πάρεστι καὶ ὅσα μέλλοντά γε καὶ ἐνδεχόμενα· καὶ προνοεῖται δ' αὖ πάλιν ἁπάντων τῶν ὄντων 10 οὐ τῇ καθόλου προνοίᾳ μόνον καὶ κοινῇ πᾶσιν, ἀλλὰ καὶ τῇ εἰδικῇ καὶ καθ' ἕκαστον. Οὐ μὴν παρὰ τοῦτο τὴν ἐντολὴν οὐκ ἔδει δοῦναι τῷ γε πεσόντι διὰ παραβάσεως τῷ Ἀδάμ· ἐχρῆν γὰρ δήπου τὸν τῇ προαιρέσει τετιμημένον καὶ δυοῖν θάτερον, ἤτοι χρηστὸν ἢ φαῦλον, αἱρεῖσθαι δυνάμενον εἰδέναι καὶ περὶ ἃ προαίρεσίς τε καὶ 15 βούλησις καὶ ὡς τουτὶ μὲν χρηστόν τε καὶ αἱρετὸν ἀφ' οὗ ἂν πάθοι τις εὖ, τουτὶ δὲ φαῦλον καὶ διὰ τοῦτο φευκτὸν ᾧ τοῦ κατὰ φύσιν ἄν τις παρατραπείη καὶ πάθοι κακῶς. Ὕλη γὰρ ταῦτα, περὶ ἣν ἡ προαίρεσις καὶ τὸ αὐτεξούσιον, δι' ὧν ὁ ἄνθρωπος τῶν φύσει μόνῃ φερομένων ὑπέρκειταί τε καὶ διενήνοχεν, ὥςπερ ἐν 20 μεταιχμίῳ τοῖν δυοῖν ὤν, φαύλου τε καὶ ἀγαθοῦ, καὶ νῦν μὲν ἐς τουτὶ, νῦν δ' ἐς ἐκεῖνο ὡς αὐτεξουσίῳ φέρεσθαι δήπου δυνάμενος.

1. Αἱ λέξεις Ζήτημα καὶ Λύσις ἐν ἀμφοτέροις τοῖς κώδιξιν ὡς τὸ πλεῖστον ἐρυθραὶ ἐν τῇ ᾧᾳ, ἐν δὲ τῷ Ε ὁ ἀριθμὸς τῶν ζητημάτων συνήθως μεταξὺ δύο στιγμῶν, οὕτω ·α· ·β· 3. φαγεῖν Π: φυγεῖν Ε 11. τῇ Ε: λείπει Π 12. καθ' ἕκαστον ἔγραψα: καθέκαστον ΕΠ 14. τετιμημένον Ε: τετιμένον Π 19. αὐτεξούσιον Ε: αυτεξούσιον Π 21. φαύλου Π: φαύλοῦ Ε 22. ὡς Ε: τῶ Π

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΑΘΕΣΗ ΕΠΙΣΤΗΜΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΑΘΕΣΗ ΑΥΤΗ ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΙΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ταῦτά τοι νομοθετεῖ θεὸς καὶ νόμον δίδωσιν ὕλην τῷ αὐτεξουσίῳ κατὰ τὸν Θεολόγον Γρηγόριον, ὡςπερεὶ λέγων μετὰ τὸ δημιουργῆσαι τὸν ἄνθρωπον Ἐγὼ μὲν, ὦ ἄνθρωπε, τετίμηκά σε τῇ πραιρέσει καὶ τῷ αὐτεξουσίῳ σὺν ἅμα τῷ λογικῷ, οἷς τῶν ἄλλων
5 ἁπάντων πολλῷ διενήνοχας ζῴων. Ἐκείνων γὰρ φύσει μόνῃ γε φερομένων καὶ πρὸς θάτερον μόνων τῶν ἀντικειμένων τὴν σφῶν αὐτῶν ἐχόντων ὡρισμένως ὁρμὴν, μηδέν τε ἄλλο φύσει παρ' ὃ μεμάθηκεν ἐνεργούντων, αὐτὸς ἐπὶ θάτερα τῶν ἐναντίων, ὅτε βούλοιο, νεύειν οἷός τε εἶναι τῇ ἣν ἔχεις δυνάμει καὶ τῷ αὐτεξουσίῳ
10 δεδημιούργησαι. Τῶν δ' ἐναντίων τούτων θάτερον μὲν ἀγαθόν τε καὶ ἀρετὴ, θάτερον δὲ φαῦλόν τε καὶ κακία ἄμφω ταυτί· δεῖ γὰρ τὸν τὴν δύναμίν σοι παρασχόντα τὸ αὐτεξούσιον καὶ τὴν περὶ ἣν ἡ δύναμις ὕλην καὶ τὸ ἀντικείμενον δήπου δεῖξαί τε καὶ διδάξαι, καθάπερ τὸν οἰκοδόμον τοὺς λίθους καὶ τὸν ἀνδριαντοποιὸν τὸν
15 χαλκόν. Σὲ δὲ, τουτὶ μὲν φαῦλόν τε καὶ κακὸν, ἐκεῖνο δὲ σπουδαῖον γνόντα καὶ ἀγαθὸν, τοῦ μὲν ἀπέχεσθαι δεῖ, τοῦ κακοῦ παρατροπῆς ὄντος τοῦ κατὰ φύσιν καὶ φθαρτικοῦ τῆς σῆς τελειότητος, τοῦ δὲ ἀντιποιεῖσθαι, τοῦ ἀγαθοῦ, ὅσον τε ἄλλο καὶ ὅσον δι' αὐτὸ ἀγαθὸν, πρὸς ὃ πάντ' ἀνάγεται, τὰ μὲν φύσει, τὰ δὲ
20 βουλήσει καὶ προαιρέσει τὴν σφῶν αὐτῶν ληψόμενα τελειότητα. Εἰ μὲν οὖν φυλάξοις ταυτὶ καὶ διώξοις μὲν τἀγαθὸν, τοῦ δὲ κακοῦ

4-9. σὺν ἅμα - αὐτεξουσίῳ Ε: λείπουσι Π 11. ἀρετὴ Ε: ἀρετὴ ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀρετῆ Π θάτερον Ε: ἐκ τοῦ τὸ πρῶτον γραφέντος φάτερον Π φαῦλόν τε ἔγραψα: φαῦλον τὲ ΕΠ 11. ἄμφω Π: ἀμφω Ε ἐν δὲ τῇ ᾧᾳ [ὃν ἂν] ὁ θεὸς ἐλεεῖ, ὃν δὲ [δι]ακρίνει τῷ γὰρ βου[λεύματι] αὐτοῦ τίς ἀνθέστηκεν. Τὰ ἐν ἀγκύλαις κεκαλυμμένα ἐν τῇ φωτογραφίᾳ ὑπὸ τοῦ συνέχοντος τὸ φύλλον ξύλου 13. δεῖξαί τε Ε: δεῖξαι τὲ Π 15. μὲν Π: μὲν ἄνωθεν, κάτω δ' αὐτοῦ δὲ διαγεγραμμένον Ε φαῦλόν τε Ε: φαῦλον τὲ Π δὲ Π: δὲ Ε 21. φυλάξοις ἔγραψα: φυλάξ^{οι}εις Ε: φυλάξ^{ει}ης Π διώξοις ἔγραψα: διώξ^{οι}εις Ε: διώξεις Π τἀγαθὸν Π: τ'ἀγαθὸν Ε

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΟΣΕΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΑΙΕΘΟΠΟΙΗΣΑΝ ΚΑΙ ΕΚΔΟΘΗΣΑΝ ΤΗΝ ΚΟΣΜΗΤΟΡΙΚΗ ΤΟΥ ΠΛΑΤΩΝΟΣ ΠΟΛΙΤΕΙΑ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πόρρω γένοιο, ἀθάνατος ἔσῃ καὶ ἄφθαρτος, ὅτι καὶ οὐδ' εὔλογον θνήσκειν τὸν τῆς οἰκείας δι' ἣν ἐγένετο λαβόμενον τελειότητος. Ἂν δὲ, παρατραπείς πως τοῦ κατὰ φύσιν, τἀγαθὸν μὲν χαίρειν ἐάσῃς, πρὸς δὲ τὸ φαῦλον ἑκὼν εἶναι χωρήσῃς, οὐκ ἔστιν ὅπως τῆς οἰκείας ἁμαρτὼν τελειότητος μὴ οὐ τὴν διὰ θανάτου καὶ φθο- 5 ρᾶς δίκην δώσεις. Δεῖ γὰρ δήπου τὸν τῆς οἰκείας τελειότητος, δι' ἣν γέγονε καὶ τῶν ὄντων ἐστὶν, ἐκπεσόντα καὶ ἁμαρτόντα μηκέτ' εἶναι μηδὲ τοῖς οὖσι ξυναριθμεῖσθαι, ὅτι καὶ τὸ μάτην ἐν τοῖς φύσει καθ' αὑτὸ πάντως οὐ ξυγκεχώρηται.

Οὕτως ὁ θεὸς εἰκότως διὰ ταῦτα τὴν ἐντολὴν δέδωκε τῷ ἀν- 10 θρώπῳ, καὶ ταῦτα προγνοὺς ἀϊδίως καὶ πρὸ τῆς ἐκείνου πλάσεως καὶ ὑπάρξεως, ὅτι πεσεῖται καὶ τοῦ σπουδαίου τὸ φαῦλον ἑλόμενος τοῦ δι' ὃ γέγονεν ἀγαθοῦ στερηθήσεται. Προέγνω δὲ τοῦτο οὐ μόνον τῷ πρὸ τῆς ἁπλῆς βουλήσεως, ἀλλὰ καὶ τῷ μετὰ τὴν δρα- στικὴν βούλησιν νῷ, καθ' ὃν ἅπαν ἐνδεχόμενον ἢ τοιοῦτον ὡς ἐσό- 15 μενον ἢ μὴ τῷ θεῷ προγινώσκεται. Πλὴν οὐ παρὰ τοῦτο τῶν ἀναγκαίων ἦν τὸν ἄνθρωπον ἀντὶ σπουδαίου φαῦλον γενέσθαι, οὐδ' ἡ ἐνδεχομένου φύσις ἐπὶ τὴν τῶν ἀναγκαίων μετέβαλεν ἰδιό- τητα τοῦτο μὲν τῷ τὴν θείαν βούλησιν ἐν ταῖς πρὸς τὰ ἔξω προόδοις τῶν ἐνδεχομένων ὑπάρχειν καὶ οἷον ἐκείνοις ξυμμεταβάλ- 20 λεσθαι, τοῦτο δὲ τῷ τὸ αὐτεξούσιόν τε καὶ τὸ τῆς ἀνθρωπείας βουλήσεως ἐλεύθερόν τε καὶ ἀδέσποτον μήτε φύσει ποτὲ, μήτ' ἀνάγκαις τισὶν ὑπείκειν καὶ τῆς οἰκείας δυνάμεως παρασύρεσθαι. Ἢν γὰρ ἂν ἄλλως ἐνδεχόμενόν τε καὶ μὴ καὶ αὐτεξούσιόν τε καὶ μὴ, κἀντεῦθεν τὰ τῆς ἀντιφάσεως ἅμα μόρια**, ὅπερ ἀδύνατον, 25 οὐ φύσει μόνον, ἀλλὰ καὶ τῷ παντοδυνάμῳ θεῷ παρὰ τὴν σφῶν

4. ἑκὼν Π: ἑκῶν Ε χωρήσῃς ἔγραψα: χωρήσεις ΕΠ
7. μηκέτ' ἔγραψα: μὴκέτ' ΕΠ 8. μηδὲ ἔγραψα: μὴδὲ ΕΠ τὸ ἐν συνεχείᾳ τοῦ κειμένου Π: τὸ ἄνωθεν Ε 9. καθ' αὑτὸ ἔγραψα: καθ' αὑτὸ Ε: καθαυτὸ Π 13. δι' ὃ Π: διὸ Ε 22. ἐλεύθερόν τε Ε: ἐλεύθερον Π 25. Μετὰ τὴν λέξιν μόρια σταυρὸς ἐνδεικνύων παράλειψιν λέξεων μὴ προστεθεισῶν ἐν τῇ ὥρᾳ Ε

ΕΛΛΑΔΙΚΗ ΡΙΕΠΙΣΤΗΜΟΝΙΚΗ ΕΤΑΙΡΕΙΑ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΤΕΛΟΥΝΤΑ ΜΕΛΟΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

αὐτῶν ἄκραν μάχην τε καὶ διάστασιν, οὐ παρὰ τὴν ἐκείνου ἀπειροδύναμον δύναμιν. Ὅθεν οὐδέν τί φασιν ὅλως οἱ δυοῖν θάτερον λέγοντες ὡς ἐχρῆν παρὰ θεοῦ τότε τὴν τοῦ Ἀδὰμ πτῶσιν προεγνωκότος γενέσθαι, ἤτοι τὴν ἐντολὴν τὴν ἀρχὴν μὴ δοθῆναι, ἢ, καὶ δοθείσης, τὸν ἄνθρωπον, ἵνα μὴ γένοιτο οἱ κακῶς, ἀνάγκῃ τινὶ πρὸς τὸ ἀγαθὸν μᾶλλον ὠσθῆναι. Οὔτε γὰρ ἐκεῖνό γε πρὸς τοῦ δεδωκότος τὸ αὐτεξούσιον, καὶ τουτὶ δὲ ἀνατροπὴ τοῦ προαιρετικοῦ μᾶλλον, καθ' ὃ σπουδαῖον καὶ φαῦλον καὶ ἀρετὴ καὶ κακία καὶ ἆθλα καὶ δίκαι καὶ ἁπλῶς ἀνθρωπείας φύσεως καὶ παντὸς ἤθους κατάλυσις.

Ἔδει τοίνυν τὸν θεὸν διὰ ταῦτα μάλα εἰκότως τὴν ἐντολὴν τῷ πλασθέντι δοῦναι Ἀδὰμ, καὶ οὐδέν τι παρὰ τοῦθ' ἕπεται ἄτοπον καὶ ἀδύνατον· τοὐναντίον μέντ' ἂν ἀτόπῳ καὶ ἀδυνάτῳ ἐῴκει καὶ ἀντιφάσει πάντως γε περιπῖπτον τὸ μήτε νόμου ὕλην τῷ αὐτεξουσίῳ δοθῆναι, μήτ' ἄνευ ἀνάγκης καὶ βίας ἐᾶν τῷ προαιρετικῷ τὸν ἄνθρωπον ὁποίποτε βούλοιτο φέρεσθαι.

Ζήτημα 6'.

Ἐπειδὴ τὸν Ἀδὰμ ἄνθρωπον ὄντα γινώσκειν ἔδει καλόν τε καὶ πονηρὸν, οἵου χάριν ἐκέλευσεν αὐτῷ ὁ θεὸς μὴ φαγεῖν ἀπὸ τοῦ ξύλου τοῦ γινώσκειν καλόν τε καὶ πονηρόν;

Λύσις.

Ὑπέρευγε τῆς ἀπορίας, ἣν οὐχ ὡς οὐκ εἰδὼς, ὥς τινες οἴονται

1. τε Ε: τὲ Π ἀπειροδύναμον Ε: απειροδύναμον Π
2. τί φασιν Π: τἳ φασὶν Ε 4. τὴν ἀρχὴν Π: τηναρχὴν Ε
6. ὠσθῆναι ἔγραψα: ὠθῆναι Ε: εἰσθῆναι Π ἐκεῖνό ἔγραψα ἐκεῖνο ΕΠ 11. ἀδὰμ Ε: ἀδαμ Π 12. ἄτοπον Ε: ἀτόπως Π ἀδύνατον Ε: ἀδυνάτως Π μέντ' Π: μὲντ' Ε 13. περιπῖπτον ἔγραψα: περιπίπτον ΕΠ 14. αὐτεξουσίῳ Π: αὐτεξίῳ Ε τῷ Ε: τὸ Π 15. ὁποίποτε ἔγραψα: ὅποίποτε ΕΠ 19. τοῦ ξύλου Ε: ξύλου Π 21. οὐχ Ε: οὐχ' Π

ΕΡΓΑΣΤΗΡΙΟ ΒΥΖΑΝΤΙΝΗΣ ΜΟΥΣΙΚΗΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τῶν οὐκ ἄγαν, ἵνα μὴ λέγω μηδὲν, εἰδότων, ἀλλ' ὡς ἐπιστάμενος εὖ, εἰς ἐξέτασιν καλῶς ποιῶν προὔθηκας. Ἔχει γὰρ οὐ τὴν τυχοῦσαν ἀπορίαν τὸ χρῆμα, καὶ πολλῆς δεῖται τῆς ἐξετάσεως. Εἰ γὰρ ὁ ἄνθρωπος λογικόν τε ἅμα καὶ προαιρετικὸν, οἰκείᾳ δὲ φύσει τὸ ἐξ ἀμφοῖν τούτοιν σπουδαῖον οἶδε καὶ φαῦλον, πῶς ἐχρῆν τὸν 5 Ἀδὰμ, ἄνθρωπον ὄντα, μηδαμῶς γεύσασθαι τοῦ ξύλου τῆς γνώσεως, ᾧ σπουδαῖον καὶ φαῦλον ἔγνωσται, ταὐτὸν δὲ εἰπεῖν καλόν τε καὶ πονηρόν; Καὶ ἄνευ γὰρ τοῦ φαγεῖν ἐκείνου καὶ γεύσασθαι φύσει ταῦτ' οἶδεν ἢ καὶ μαθεῖν ἠδύνατο πάντως ὁ ἄνθρωπος. Ἤτοι οὖν μάτην ὁ νόμος καὶ ἡ δι' ἧς πεπτώκαμεν ἐντολὴ ἢ οὐ παρὰ τὸ 10 τοῦ ξύλου γεύσασθαι καὶ τὸ σπουδαῖον γνῶναι καὶ φαῦλον τὸ πτῶμα γέγονε τοῦ Ἀδάμ. Καὶ μὲν δὴ, καὶ εἰ μὴ φαγὼν τοῦ ξύλου τῆς γνώσεως καλόν τε καὶ πονηρὸν οὐκ ἐγίνωσκεν ὁ Ἀδὰμ, ποῦ θήσει τις τὸ προαιρετικὸν ἐκείνου καὶ αὐτεξούσιον ἢ πῶς ἂν ἐπεξήει τις κακίας ἐκείνῳ καὶ παραβάσεως, ἀγνοοῦντι κακίαν 15 καὶ ἀρετὴν καὶ ὅλως καλόν τε καὶ πονηρόν;

Κἀκεῖνο δὲ οὐκ εὔλογον πάνυ, τουτοισὶ μὲν ὡς ἀγαθοῖς δῆθεν προσέρχεσθαι, ἐκείνῳ δ' ὡς φαύλῳ μὴ προσιέναι νομοθετεῖν, εἶτ' ἀπαγορεύειν τὴν ἐκ τοῦ ξύλου τῆς γνώσεως βρῶσιν ἀφ' οὗ ἂν γνοίη τις καλόν τε καὶ πονηρόν. Ἐῶ γὰρ λέγειν, ὅτι καὶ βασκανίᾳ 20 μᾶλλον ἢ προνοίᾳ τὸ τοιοῦτον εἴη γ' ἂν ἐοικὸς, εἰ τελειότης ἀνθρώπου θεωρία καὶ πρᾶξις, ὧν ἑκατέρα γένοιτ' ἂν τῇ τοῦ σπουδαίου γνώσει καὶ φαύλου. Μή ποτε οὖν οἶδε μὲν ὁ Ἀδὰμ πρὸ τῆς τοῦ ξύλου γεύσεως καλόν τε καὶ πονηρὸν, οἶδε δὲ θεωρητικῶς

1. ἐπιστάμενος Ε: ἐπιστάμενος ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀποστάμενος Π 2. προὔθηκας ἔγραψα: προύθηκας ΕΠ 4. λογικὸν Ε: λογϊκόν Π 6. μηδαμῶς Π: μὴ διακῶς Ε 7. ᾧ Π: ὡς Ε ταὐτὸν ἔγραψα: ταυτὸν ΕΠ 10. Πρὸ τοῦ νόμος εἶχε γραφῇ ἄνος διαγραφὲν Ε ἐντολὴ Ε: εντολὴ Π 13-16. οὐκ ἐγίνωσκεν-πονηρὸν Ε: λείπουσι Π 14. θήσει ἔγραψα: θείση Ε 15. ἐπεξήει τις ἔγραψα: ἐπεξείη τίς Ε 20. τις Ε: τίς Π 21. ἐοικὸς Π: ἐοικὼς Ε 23 (καὶ 24). οἶδε Π; εἶδε Ε 24. γεύσεως ἔγραψα: γνώσεως ΕΠ

ΔΙΕΡΕΥΝΗΤΙΚΟ ΙΔΡΥΜΑ ΙΩΑΝΝΗΣ ΚΑΡΑΜΑΝΛΗΣ ΕΚΔΟΤΙΚΟ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΑΓΝΩΣΤΗΣ ΟΡΘΟΔΟΞΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΙΔΡΥΜΑΤΟΣ ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

μόνον, οὐ πρακτικῶς; Πρὸ γὰρ τῆς γεύσεως ἐγίνωσκε μὲν τουτὶ μὲν ἀγαθὸν, ἐξ οὗ φαγεῖν παρὰ θεοῦ ξυγκεχώρηται, τουτὶ δὲ πονηρὸν αὖθις, οὗπερ γευσάμενος αὐτίκα μάλα πάντως οἰχήσεται· οὔπω δὲ τοῖν δυοῖν ἑλόμενος θάτερον, αὐτῇ πάντως ἐγνώκει τῇ πείρᾳ τί τε φαῦλον τί τε σπουδαῖον καὶ ὅπως τὸ μὲν φθείρει, τὸ μὴ σπουδαῖον, τὸ δὲ σώζει, τὸ ἀγαθὸν, τὸν δυοῖν ἑλόμενον θάτερον. Εἰ δὲ καὶ τὰ μάλιστα σπουδαῖος ἐντελεχείᾳ πρὸ τῆς τοῦ φυτοῦ γεύσεως ὁ Ἀδὰμ, καθάπερ τινὲς βούλονταί τε καὶ ἀποφαίνονται, τῶν δ' ἐναντίων ἡ αὐτὴ ἐπιστήμη, πείρᾳ γε μὲν οὐκ εἰληφὼς ὅσον καὶ οἷόν ἐστι τὸ κακὸν, ἐξ οὗ πάλιν αὖθις ὅσον ἐστὶ τἀγαθὸν ἀκριβέστερον ἔμελλεν ἐγνωκέναι, καθάπερ οἱ τῆς ὑγιείας τὴν χάριν μᾶλλον μετὰ τὴν πεῖραν τῆς νόσου γνωρίζοντες, οὐκ ἂν δικαίως λέγοιτο καλόν τε γινώσκειν καὶ πονηρόν. Ταῦτά τοι ξύλον γνώσεως καὶ ξύλον τοῦ γινώσκειν καλόν τε καὶ πονηρὸν τὸ φυτὸν ὠνόμασται τῇ Γραφῇ· ἐξ οὗπερ γευσάμενος ὁ Ἀδὰμ, ὡς τὴν ἐντολὴν τοῦ θεοῦ παραβὰς καὶ διὰ ταῦτα τοῦ τε παραδείσου καὶ τοῦ θεοῦ καὶ τῆς οἰκείας πόρρω γεγονὼς τελειότητος, αὐτῇ τῇ πείρᾳ καλόν τε γνώσεται δήπου καὶ πονηρόν. Οὕτως ὁ Ἀδὰμ, καίτοι καλόν τε φύσει γινώσκων καὶ πονηρὸν, ὡς ἐδέδεικτο, τοῦ ξύλου τῆς γνώσεως ἐκφαγεῖν κεκώλυται τῷ θεῷ, μὴ τῇ πείρᾳ μάθῃ λαθὼν ἐκ τοῦ κακοῦ τἀγαθόν.

9. πρὸ γὰρ Π: προγὰρ Ε γεύσεως Π: γνώσεως Ε 3. αὐτίκα Ε: αυτίκα Π 4. ἑλόμενος Ε: ἑλόμενος Π πάντως Π: πάντως εἰ Ε 5. τί τε Π: τὶ τὸ Ε τί τε Π: τὶ τὸ Ε 6. ἑλόμενον Ε: ἑλόμενον Π 7. τὰ μάλιστα Π: ταμάλιστα Ε 8. ὁ Ε: ειὸ Π καθάπερ τινὲς ἔγραψα: καθάπέρ τινες ΕΠ 9. πείρα Ε: πεῖρα Π 10. οἷόν ἐστι ἔγραψα: οἷον ἐστὶ ΕΠ οἷον–ὅσον ἐστὶ ἐν συνεχείᾳ τοῦ κειμένου Π: πρόςθετα ἐν τῇ ᾧᾳ διὰ παραπεμπτικοῦ σημείου ☞ Ε κακὸν Π: καλὸν Ε 11 (καὶ κατωτέρω ἐν ἁπάσαις ταῖς πτώσεσιν). ὑγιείας Π: ὑγείας Ε 12. γνωρίζοντες ἔγραψα: γνωρίζοντας ΕΠ 14. ξύλον Π: ξῦλον Ε ξύλον ἔγραψα: ξῦλον ΕΠ 21 μάθη Π: μάθη ἐκ τοῦ τὸ πρῶτον γραφέντος λάβῃ Ε τἀγαθὸν Π: τ'ἀγαθὸν Ε

ΕΡΓΑΣΤΗΡΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΠΟΝΕΑΣ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΤΗΣ ΑΝ. ΑΚΑΔΗΜΙΑΣ ΑΘΗΝΩΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΑΛΑΙΟΛΟΓΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ζήτημα γ'.

Διὰ τί ὁ Ἀδὰμ οὐκ ἀπέθανε κατ' ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ ἔφαγε τὸν καρπὸν, τὴν ἐντολὴν παραβὰς, ἀλλ' ἔζησε χρόνους ϡλ', εἶτ' ἀπέθανε;

Λύσις.

Διττὸν θάνατον ἡμῖν οἶδεν ὁ λόγος, τὸν μὲν καθ' ὃν ἡ ψυχὴ φθείρεται, δουλεύουσά τε τῷ χείρονι καὶ τὴν οἰκείαν ἀπολέσασα τελειότητα, τὸν δὲ καθ' ὃν ἡ αὐτὴ τοῦ ἡμετέρου χωρίζεται καὶ διαλύεται σώματος. Οὐκοῦν ὁ Ἀδὰμ, τὴν ἐντολὴν παραβὰς, καὶ καθ' ἑκάτερον ἀπέθανε θάνατον, ἀλλὰ τὸν μὲν αὐτίκα μάλα μετὰ τὴν ἔκπτωσιν, τὸν δὲ δυνάμει καὶ αὐτὸν αὐτίκα, ἐντελεχείᾳ δὲ μεθ' ὃν ἠρίθμησας χρόνον τῷ ἐξ αὐτοῦ γενέσθαι τοὺς ἑξῆς ἅπαντας· φαίην δ' ἂν καὶ διὰ τὸ δίκας ἴσως διδόναι μέχρι πολλοῦ, ὡς τῆς ἐντολῆς κατολιγωρήσας τοῦ κτίσαντος.

Ζήτημα δ'.

Ὅτου χάριν ὁ σωτὴρ τοῦ κόσμου ἐξ Ἑβραίας γυναικὸς ἐγεννήθη καὶ οὐκ ἐπλάσθη καθάπερ καὶ ὁ Ἀδὰμ ἢ οὐκ ἐγεννήθη ἐξ ἀλλοφύλου γυναικός;

Λύσις.

Ἐξ Ἑβραίας μὲν ὁ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς ὁ τοῦ θεοῦ υἱὸς ἐσαρκώθη καὶ οὐκ ἐξ ἑτέρας γυναικὸς ἀλλοφύλου διὰ τὸ

7. ἀπολέσασα Ε: ἀπολύσασα Π 8. χαρίζεται Ε: χωρίζεται Π 9. ἀδὰμ Ε: αδὰμ Π 10. καθ' ἑκάτερον Ε: καθεκάτερον Π 11. ἐντελεχείᾳ ἔγραψα: ἐντελέχεια ΕΠ 14. κατολιγωρήσας ἔγραψα: κατολιγορήσας ΕΠ κτίσαντος Ε: κτήσαντος Π
21. ἑτέρας γυναικὸς ἀλλοφύλου Π: ἀλλοφύλου γυναικὸς Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. Τ.Ε.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἁγιώτερον εἶναι τὸ τῶν Ἑβραίων γένος τῶν ἄλλων ἁπάντων ἐθνῶν καὶ τῷ θεῷ μάλιστα φίλον καὶ πλησιέστερον. Ἠγαπημένος γὰρ Ἰσραὴλ καὶ ἅγιον ἔθνος καὶ παρ' αὐτοῦ τοῦ θεοῦ καὶ διὰ τῶν προφητῶν ὠνομάζετο. Ἐκ δὲ τῶν ἁγίων δεῖν ἀνίσχειν τὰ ἅγια τίς
5 τῶν νοῦν ἐχόντων ἀμφιγνοεῖ; Δι' ὃ δὴ καὶ ἐκ τοῦ γένους τοῦ Δαβὶδ τε καὶ Ἀβραὰμ ὡς ἐκ καθαρωτέρου μᾶλλον ἤ περ αἱ ἄλλαι φυλαὶ ἐγεννήθη Χριστὸς, καὶ τούτου τῆς ἁγίας παρθένου Μαρίας, ἧς ὁ Ἰωσὴφ φύλαξ, ὁ τοῦ βασιλέως Δαβὶδ ἀπόγονος. Ἐξ ἀνθρώπου δὲ ὅλως, ἀλλ' οὐχ ὥςπερ Ἀδὰμ διὰ πλάσεως τοῦτο μὲν, ἵνα μὴ δόξῃ φάσμα καὶ οὐ κατὰ ἀλήθειαν ἄνθρωπος, ὁ αὐτὸς ὢν
10 καὶ θεὸς καὶ τέλειος ἄνθρωπος, ὑπόστασις μία ἐν δυσὶ δήπου τελείαις γνωριζομένη ταῖς φύσεσι, τοῦτο δὲ διὰ τὸ τὴν ἁμαρτήσασαν σάρκα πάντως ἀναλαβεῖν δεῖν καὶ θεῶσαι, δι' ἣν καὶ σεσάρκωται· οὐδὲ γὰρ ἄλλην ἀνθρωπείαν ἐχρῆν αὐτὸν ἀναλαβεῖν καὶ θεῶσαι φύσιν ἢ μόνην τὴν ἐξ Ἀδὰμ ὡς ὑπὸ τὴν προπατορικὴν
15 ἁμαρτίαν οὖσαν καὶ ὡς ὑπεύθυνον.

Ζήτημα ε'.

Διὰ τί ὁ σωτὴρ τοῦ κόσμου Χριστὸς, ἀποθανὼν ὡς ἄνθρωπος, τοὺς μὲν ἔσωσε, τοὺς δὲ οὔ καὶ οὐχ ἁπάσας ἔσωσε τὰς ψυχάς;

Λύσις.

20 Ἀπέθανεν ὡς ἄνθρωπος ὁ τοῦ θεοῦ λόγος, ἵνα μὴ μόνον τοὺς ζῶντας, ἀλλὰ καὶ τοὺς οἰχομένους ἀπὸ Ἀδὰμ μέχρι καὶ θανάτου Χριστοῦ, κατεχομένους ἐν Ἅδου καὶ τυραννουμένους ὑπὸ τοῦ διαβόλου καὶ πόρρω θεοῦ καὶ τῆς ἐκείνου χάριτος ὄντας, ἐλευθερώσῃ τε καὶ ἀνελ-

4. τίς Ε: τὶς Π 5. ἀμφιγνοεῖ Ε: ἀμφιγνωεῖς Π
6. ἀβραὰμ Ε: ἀβραὰμ Π ἐκ Ε: λείπει Π Μετὰ τὸ καθαρωτέρου εἶχε γραφῇ ἡ λέξις γένους διαγραφεῖσα Ε 8. οὐχ' Ε: οὐχ' Π ἀδὰμ Π: ἀδὰμ ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀδάμ Ε
18. οὐχ Ε: οὐχ' Π 24. τε Ε: τὲ Π

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΩΑΝΝΙΝΑ
ΔΙΕΥΘΥΝΤΗΣ ΑΛΟΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΠΕΤΙΟ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

κύση πρὸς ἑαυτὸν καὶ θεοὺς ἀπεργάσηται, τῶν ἐκ τῆς ἁμαρτίας ἀπαλλαγέντας δεινῶν. Ἔσωσε δὲ ὅμως καὶ τούτους οὐ πάντας ὥςπερ γε καὶ τοὺς ζῶντας, ἀλλὰ καὶ τούτων μόνους τούς γε πιστεύοντας. Οὐ γὰρ δουλοῦται παρὰ θεοῦ τὸ τῆς προαιρέσεως πάντως ἐλεύθερον, οὐδ' ἀνάγκαις τισὶν ὑποπίπτει τὸ αὐτεξούσιον· ἄλλως γὰρ ἂν καὶ ἆθλα καὶ δίκαι καὶ ὅσα τῆς ὁμοίας ἔστι δυνάμεως ἐκποδὼν δήπου γενήσεται.

Ζήτημα ϛ'.

Εἰ τὰ τέσσαρα στοιχεῖα τοῦ κόσμου ἐκ τῆς πρώτης ὕλης γεγένηνται, δι' ἣν αἰτίαν τὸ μέν ἐστι θερμὸν, τὸ δὲ ψυχρὸν, τὸ δὲ ψυχρὸν, τὸ δὲ ὑγρὸν, τὸ δὲ ξηρὸν, πῦρ ὕδωρ ἀήρ τε καὶ γῆ;

Λύσις.

Οὕτω μετρίως καὶ ὡς ἦν ἱκανὸν μέλανι τὰ θεολογικώτερα τῶν ζητημάτων σου λύσαντες, ἐντεῦθεν ἐπὶ τὰς φυσικωτέρας καὶ ἰατρικωτέρας τῶν ἀπορίων σου χωρήσομεν, ὧν ἡ προτέρα περὶ τὰ πρῶτα στοιχεῖα καὶ ξύνθετα καὶ τὰς ἐκείνων ποιότητας ποιεῖται τὴν ζήτησιν, προϋποτιθεμένη μὲν τὸ ἐκ τῆς πρώτης ὕλης ἐκεῖνα γίνεσθαι, ζητοῦσα δὲ ὅμως ὅπως, ἐκείνης μήτε ψυχρᾶς μήτε θερμῆς, μήτ' ἄλλης τινὸς τῶν πρώτων μετεχούσης ποιότητος, αὐτὰ θερμὰ καὶ ὑγρὰ, ψυχρά τε καὶ ξηρὰ, γῆ ὕδωρ ἀὴρ καὶ αἰθὴρ,

6 ἐκποδὼν Ε: ἐκποδῶν Π 9. στοιχεῖα τοῦ κόσμου Π: τοῦ κόσμου στοιχεῖα Ε ὕλης Π: λείπει Ε γεγένηνται Ε: γε γίνονται Π 10. ἐστι Ε: ἐστὶ Π 11. ξηρὸν Ε: ξῦρὸν Π 13. θεολογικώτερα Ε: θεολογϊκώτερα ἐκ τοῦ τὸ πρῶτον γραφέντος θεολογηκώτερα Π 19. ἄλλης Π: ἄλλης ἐν ᾧ τὸ α κατὰ διόρθωσιν ἐξ ἄλλου γράμματος νῦν ἀδιαγνώστου Ε 20. ψυχρὰ Ε: ψυχρά ἐκ τοῦ τὸ πρῶτον γραφέντος ψυχρὰ Π ξηρὰ Ε: ξηρὰ ἐκ τοῦ τὸ πρῶτον γραφέντος ξῦρὰ Π

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ταῦτα δὴ τὰ πρῶτα ξύνθετα τῶν στοιχείων ἐξ ἐκείνης γε γίνεται
Φημὶ τοίνυν ὡς οὐδέν τι τῶν ὄντων ἐντελεχείᾳ πάντως ἡ ὕλη,
καθάπερ διεξοδικώτερόν πως ἐν τῷ μετὰ τοῦτο θεωρήσομεν κεφα-
λαίῳ, δυνάμει δὲ πάντ' ἐστὶν ὅσα φύσει καὶ ὅσα τέχνῃ ξυνίσταται.
5 Δύναμις γάρ τις ξυγκεχυμένη τε καὶ ὁλοσχερὴς ἐν αὐτῇ πάντων
ἐστὶ τῶν εἰδῶν, ὅσα τε τῶν ἁπλῶν ξυνθέτων καὶ ὅσα τῶν μικτῶν
οὐσιώδη μόρια γίνεται, καὶ ἑπομένως ἁπάντων τῶν τεχνητῶν, ὧν
ὁ ἡμέτερος ποιητικὸν αἴτιον νοῦς· δι' ἧς δήπου δυνάμεως, δεκτι-
κῆς δῆλα δὴ καὶ παθητικῆς, τὰ μὲν ἀμέσως, τὰ δὲ μετὰ ταῦτα
10 καὶ καθεξῆς ἀφορᾷ τε καὶ δέχεται τῶν εἰδῶν, ὥςπερ τὸ γένος τὰς
ὑφ' αὑτὸ πάσας διαφοράς. Διὸ καὶ τὰ εἴδη φασὶν οἱ φυσικοὶ πάντα
τὴν ὕλην ἔχειν ἐν ἑαυτῇ καὶ αὐτὰ πάλιν ἐξ ἐκείνης τῆς ὕλης γί-
νεσθαι, ὧν ἐκεῖνο μὲν ἀληθὲς, εἰ μὴ κατ' ἐνέργειαν νοηθείη, ἀλλὰ
μόνῃ δυνάμει γε καὶ τῷ πεφυκέναι, τουτὶ δὲ οὐ ψεῦδος τῷ ταῦτ' ἐκ
15 τῆς δυνάμεώς πως ἐξιέναι τῆς ὕλης τῇ τοῦ ποιοῦντος δυνάμει καὶ
ἐνεργείᾳ καὶ ἐν αὐτῇ πάντως ὑφίστασθαι καὶ τὸ εἶναι λαμβάνειν.
Διὰ τὰ αὐτὰ δὴ καὶ ποιότητες ἅπασαι καὶ πάθη καὶ ἰδιότητες ὅσα
τε ἄλλα παρακολουθοῦσι τοῖς εἴδεσι καὶ αὐτὰ δυνάμει ἐν τῇ αὐτῇ
ὕλῃ τὸ εἶναι ἔχει, καὶ ἐξ αὐτῆς ἐντελεχείᾳ πάλιν ἀνίσχει, τὰ μὲν
20 πρὸ τῶν εἰδῶν, ὡς διατιθέντα τὴν ὕλην, τὰ δὲ καὶ μετ' ἐκεῖνα,
τῶν αὐτῶν ὄντα πάθη καὶ ὄργανα, δι' ὧν ἂν καὶ δράσοι καὶ πάθοι,

1. πρῶτα Ε: πρῶτά εἶτα δ' ἐν συνεχείᾳ ἐν κενῷ τοῦ τέλους τοῦ στίχου καὶ ἐν μέρει τῆς ᾧας ἄλλῃ χειρὶ πρῶτα Π 4. ξυνίσταται Ε: συνίσταται Π 6 (καὶ 10). τε Ε: τὲ Π 7. μόρια Π: μώρϊα Ε τεχνητῶν Μ: τεχνϊτῶν Ε 8. ποιητικὸν αἴτιον Ε: ποιητὴς αἴτιος Π 9. δῆλα δὴ ἔγραψα: δηλαδὴ ΕΠ δὲ Π: δὲ Ε μετὰ ταῦτα Π: μεταταῦτα Ε 11. ὑφ' αὑτὸ Ε· ὑφαυτὸ ἐκ τοῦ τὸ πρῶτον γραφέντος ὑφαυτῶ Π 13. κατ' ἐνέργειαν Ε: κατενέργειαν Π 14. ἐκ Π: ἐκ ἑπομένης τῆς λέξεως μέσου διαγεγραμμένης Ε 16. αὐτῇ Π: αυτῇ Ε ὑφίστασθαι Π: ὑφίσασαι Ε 17. αὐτὰ Π: αυτὰ Ε δὴ Π: δὲ Ε ὅσα ἔγραψα: ὅσά ΕΠ 20. ἐκεῖνα Π: ἐκεῖνα Ε 21. δράσοι ἔγραψα: δράσει ΕΠ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὴν ὕπαρξιν ἐσχηκότα καὶ τὴν σφῶν αὐτῶν ἀτομικὴν ἰδιότητα. Οὐκοῦν τά τε στοιχεῖα αἵ τε τῶν στοιχείων ποιότητες, τὸ θερμὸν, τὸ ὑγρὸν, τὸ ψυχρόν τε καὶ τὸ ξηρὸν, ἔστι μὲν καὶ αὐτὰ διὰ τὰ αὐτὰ πάντως ἐν τῇ αὐτῇ ὕλῃ, ἔστι δὲ οὐκ ἐντελεχείᾳ. Ἦσαν γὰρ ἂν καὶ πρὸ τοῦ μὴ εἶναι, καὶ τὸ αὐτὸ ἂν ἦν καὶ οὐκ ἦν κατὰ τὸ αὐτὸ, ἀλλὰ δυνάμει γε μόνῃ, παθητικῇ μὲν καὶ δεκτικῇ καὶ ὡς ἐν ὑποκειμένῳ τῇ ὕλῃ, ποιητικῇ δὲ ἐν τῷ ποιητικῷ σφῶν αἰτίῳ, εἴτε φύσις, εἴτε θεὸς ἂν εἴη τὸ προηγούμενον αἴτιον, καὶ οὕτως οὔτ' ἐκ τοῦ μὴ ὄντος ἁπλῶς, οὔτ' αὖ πάλιν ἐκ τοῦ ἁπλῶς ὄντος, ἀλλὰ πῇ μὲν ὄντος, πῇ δὲ οὐκ ὄντος τά τε στοιχεῖα αἵ τε ποιότητες γίνονται. Εἰ δὲ καὶ τὸ οὗ ἕνεκα καὶ τὸ τέλος ἐθέλεις μαθεῖν, δι' ὃ τὰ ξύνθετα τῶν στοιχείων ἐκ τῆς ὕλης καὶ αἱ τούτων ποιότητες γίνονται, τὰ μικτὰ σκόπει καὶ τὰ μετὰ τὰ πρῶτα στοιχεῖα. Οὔτε γὰρ μίξις οὔτε κρᾶσις ὅλως ἂν γένοιτο, μὴ τῶν ξυνθέτων ὄντων στοιχείων καὶ τῶν πρώτων γε ποιοτήτων, ἐξ ὧν ἅπασα μὲν μίξις καὶ κρᾶσις καὶ αἱ πρὸ τούτων κινήσεις γίνονται· φύσεως γὰρ ὄργανα καὶ μόριά πως τὰ τέσσαρα τῶν στοιχείων καὶ αἱ πρῶται ποιότητες.

Ζήτημα ζ'.

Τί πρᾶγμά ἐστιν ἡ πρώτη ὕλη καὶ ποῦ εὑρίσκεται καὶ ἐν τίνι τόπῳ ἐστὶ καὶ ὅπως ἐξ αὐτῆς γίνεται τὰ στοιχεῖα.

Λύσις.

Πλάτων μὲν ὁ θεῖος μετ' ἀναισθησίας ἁπτόν τι χρῆμα καὶ λο-

1. ἐσχηκότα Π: εσχηκότα Ε 4. αὐτῇ Ε: αὐτῇ αὐτῇ Π
8. αἰτίῳ Ε: αἰτίων Μ 9. ὄντος Ε: ὄντως Π 12. δι' ὃ ἔγραψα: διὸ ΕΠ 14 (καὶ 16). κρᾶσις ἔγραψα: κράσις ΕΠ
18. αἱ πρῶται Π: πρῶται Ε Μετὰ τὸ ποιότητες ἕπονται ἐν ἀρχῇ νέου στίχου διαγεγραμμένα τάδε· +ἔστιν ἡ πρώτη ὕλη Ε
20. πρᾶγμά ἐστιν Ε: πρᾶγμα ἐστὶν Π 21. αὐτῆς Ε; αυτῆς Π
23. ἁπτόν Ε: απτόν Π

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΤΟΝΕΑΣΦΙΛΟΣΟΦΙΑΣ ΜΕΤΑΒΥΖΑΝΤΙΝΗ ΚΗΣΦΙΛΟΣΟΦΙΑ ΑΘΗΝΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Ο ΠΕΤΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

γισμῷ τινι νόθῳ μόγις πιστὸν τὴν πρώτην ὕλην διεζωγράφησεν. Ἀριστοτέλης δὲ ὁ δεινὸς ἐπιστητὴν εἶναι ταύτην κατὰ ἀναλογίαν ὡρίσατο· ὡς γὰρ πρὸς ἀνδριάντα φησὶ χαλκὸς ἢ πρὸς κλίνην ξύλον ἢ πρὸς τῶν ἄλλων τι τῶν ἐχόντων μορφὴν ἡ ὕλη καὶ τὸ ἄμορφον
5 ἔχει πρὶν λαβεῖν τὴν μορφήν, οὕτως αὐτὴ πρὸς οὐσίαν ἔχει καὶ τὸ τόδε τι καὶ τὸ ὄν· ἀμφότεροι τὴν αὐτὴν περὶ αὐτῆς ἔννοιαν διαφόροις λόγοις ἐκδεδωκότες. Ἔστι γὰρ ἀμυδρὰ πάνυ καὶ οἷον σκιώδης ἡ περὶ αὐτῆς γνῶσις τῷ μηδὲν εἶναι καθ' αὐτὴν τῶν ὄντων ἐντελεχείᾳ τὴν ὕλην, ἀλλὰ δυνάμει μόνῃ γε καὶ τῷ πεφυκέ-
10 ναι τῶν ὄντων εἶναί τι, μᾶλλον δὲ ἅπαντα· διὸ καὶ ἐπιστητὴ λογισμῷ τινι νόθῳ, τῷ τῆς ὑποκειμένης τοῖς τεχνικοῖς εἴδεσιν ὕλης λόγῳ. Ὡς γὰρ πρὸς ἀνδριάντα χαλκὸς ἢ πρὸς ἐκπώματα καὶ δακτύλιον ὁ χρυσός, πρὶν ἂν ἀνδριὰς ἢ ἔκπωμα ἢ δακτύλιος γένηται, οὕτως αὐτὴ πρὸς οὐσίαν ἔχει καὶ τὰ ὄντα πάντα στοιχεῖα,
15 λέγω, καὶ τὰ ἐκ τούτων μέχρι καὶ αὐτῆς τῆς τοῦ ἀνθρώπου μορφῆς.

Ἔστι μὲν οὖν ἐν τῇ φύσει τῶν ὄντων ἡ ὕλη, μηδὲν μὲν οὖσα καθ' αὐτὴν τῶν εἰς ἃ μεταβάλλει· δεῖ γὰρ τὸ μεταβάλλειν ἐστερῆσθαι τοῦ εἰς ὃ μεταβάλλει· ἄλλως γὰρ ἂν καθ' αὐτὸ τὸ μάτην ἦν ἐν τῇ φύσει καὶ ἡ ἀντίφασις χώραν εἶχεν, ἃ δὴ πόρρω τῶν
20 φυσικῶν ἀπεσκοράκισται λόγων· μήτ' αὖ πάλιν οἰκεῖον εἶδος ἔχουσα καὶ μορφὴν, δι' ἣν ὑφίσταται καὶ τὴν οἰκείαν ὕπαρξιν ἔχει. Ἡ γὰρ ἂν οὐδέν τι τῶν ἄλλων εἰδῶν ἐλάμβανε, καὶ αὐτὴ δὲ τῶν ξυγκειμένων ἂν ἦν· ὅπερ οὐκ εὔλογον τοῦτο μὲν τῷ τὰς ἀρχὰς τῶν ἁπλῶν εἶναι δεῖν, ἐξ ὧν ὥσπερ μορίων τὰ ξύνθετα, τοῦτο δὲ τῷ

2. ἐπιστητὴν ἔγραψα: ἐπιστητὴν ἐκ τοῦ τοῦ τὸ πρῶτον γραφέντος ἐπίστητην Π: ἐπιστήμην Ε 3. ξύλον Π: ξῦλον Ε
4 5. ἡ ὕλη-μορφὴν Π: λείπουσιν Ε 6. ἔννοιαν Ε: ἔνοιαν Π
8. τῷ Π: τὸ Ε 10. ἐπιστητὴ Π: ἀπιστητὴ Ε 11. τῷ Ε: τὸ Π
12. λόγῳ Π: λέγω Ε 17-18 δεῖ-μεταβάλλει Ε: λείπουσι Π
18. ἂν Π: λείπει Ε καθ' αὐτὸ ἔγραψα: καθαυτὸ ΕΠ
21. οἰκείαν Ε: οἰκεῖαν Π 21 - σ. 157,14. Ἡ γὰρ - ὕπαρξιν ἔχει Ε: λείπουσι Π

ΕΡΓΑΣΤΗΡΙΟ ΤΗΣ ΙΟΥΔΑΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΜΕΤΡΟΠΟΛΙΤΗ ΑΝΔΡΟΝΙΚΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

εἰς ἀνάγκην ἰέναι διὰ τοῦτο τὴν εἰς ἄπειρον ἐν τοῖς καθ' αὐτὸ πρόοδον ξυγχωρεῖν· ἢ, εἰ μὴ τοῦτο, τὴν ἀνείδεον ὕλην τῇ προόδῳ πέρας τιθέναι, ἢ, εἰ βούλει, τό γε μηδέν. Ὧν θάτερον μὲν ἐχρῆν τὴν ἀρχὴν αὐτίκα μάλα προϋποθέσθαι καὶ μὴ ὕλης ὕλην πρώτης προτέραν ἀλόγως ἄγαν ἀναλύοντος προεπινοεῖν, θάτερον δὲ οὐδ' ἐπινοῆσαί γε ἐγχωρεῖ. Τό τε γὰρ ὂν οὐκ ὂν καὶ οὐκ ὂν αὖ πάλιν ὂν ἔσται, εἰ τὸ ὂν ὡς ἐν ὑποκειμένῳ τῷ μηδενὶ, καὶ μὲν δὴ καὶ οὐδὲ ξυμβεβηκὸς, ἀλλ' οὐσία μᾶλλόν γε οὖσα τῷ τε τοῖς οὖσι πᾶσιν ὑφεστηκέναι τῷ τε τὴν οὐσίαν οὐχ οἷόν τε ξυμβεβηκὸς οὔτ' αὖ πάλιν τὸ ξυμβεβηκὸς οὐσίαν γενέσθαι.

Ἔστι μὲν οὖν, ὅπερ ἔλεγον, ἐν τῇ φύσει τῶν ὄντων ἡ ὕλη, μηδὲν μὲν οὖσα καθ' αὑτὴν ἐντελεχείᾳ τῶν εἰς ἃ μεταβάλλει, μήτ' αὖ πάλιν οἰκεῖον εἶδος ἔχουσα καὶ μορφὴν, δι' ἣν ὑφίσταταί τε καὶ τὴν οἰκείαν ὕπαρξιν ἔχει, πάντα δὲ οὖσα δυνάμει καὶ εἴδει, καθάπερ ἐλέγομεν. Ἔστι δὲ κατὰ μὲν τὴν ἡμετέραν θεολογίαν οἵα τε οὖσα καὶ αὐτὴ καθ' αὑτὴν εἶναι τῇ οἰκείᾳ ὑπάρξει καὶ χωριστὴ τῶν εἰδῶν ἁπάντων καθ' ὕπαρξιν· τῶν γὰρ τῷ χρήματι διακεχριμένων, εἰ μὴ οὐσιωδῶς τάττοιτο, θάτερον ἄνευ θατέρου δύναται εἶναι, κἂν μὴ τῇ γε φύσει, τῇ γε μὴν ὑπὲρ φύσιν δυνάμει, τῇ τοῦ θεοῦ, καθ' ἣν καὶ ἄνευ χρώματος σῶμα καὶ τοὐναντίον καὶ εἶναι καὶ ὑφίστασθαι· κατὰ δὲ τὴν ἔξω σοφίαν, καθ' αὑτὴν μὲν τῶν ἀδυνάτων οὖσα καὶ εἶναι καὶ ὑφεστάναι, τῇ γε μὴν τῶν εἰδῶν ὑπάρξει τῶν φυσικῶν ἅπερ ἐν αὐτῇ κατὰ τὴν αὐτῆς ἔχει δύναμιν καὶ ὑφεστῶσα καὶ οὖσα κατ' ἐντελέχειαν ἐςαεὶ τῇ ἄλλου καὶ ἄλλου φυσικοῦ εἴδους ὑπάρξει, ἀφ' οὗ καὶ τὸ εἶναι τοῖα καὶ τοῖα καὶ τὸ ὀνομάζεσθαι δήπου λαμβάνει, ἄλλο καὶ ἄλλο τὸ εἶναι ἔχουσα καὶ διάφορον, νῦν μὲν ἀψύχοις, νῦν δὲ προςῆκον ἐμψύχοις καὶ τούτων πάλιν ποτὲ μὲν αἰσθητοῖς, ποτὲ δὲ ἀναισθήτοις ἁρμόζον,

1. καθ' αὑτὸ ἔγραψα: καθαυτὸ Ε 4. τὴν ἀρχὴν ἔγραψα: τηναρχὴν Ε 6. ἐπινοῆσαί ἔγραψα: ἐπινοῆσαι Ε 8. μᾶλλόν ἔγραψα: μᾶλλον Ε 14. εἴδη Ε: εἴδει Π 16. οἰκεία Ε: οἰκεῖα Π 21. τὴν ἔξω Π: τὴν ἔξω Ε 25. ἀφ' οὗ Π: ἀφοῦ Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΡΑΠΕΖΑ ΠΛΗΡΟΦΟΡΙΩΝ ΤΟΜΕΑΣ ΕΚΔΟΣΕΩΝ ΚΑΙ ΔΙΑΔΟΣΕΩΝ ΙΔΡΥΜΑ Ν. ΛΑΜΠΡΑΚΗ ΥΠΟ ΤΗΝ ΑΙΓΙΔΑ ΤΗΣ ΑΚΑΔΗΜΙΑΣ ΑΘΗΝΩΝ ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ ΥΠΟΥΡΓΕΙΟ ΠΟΛΙΤΙΣΜΟΥ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ὥςπερ αὖ πάλιν τῶν αἰσθητῶν ἔστι μὲν ὅτε μὴ μεταβαίνουσιν, ἔστι δὲ καὶ ὅτε μὴ μεταβαίνουσι πρέπον, καθάπερ καὶ τούτων ἐνίοτε μὲν ἀλόγοις, ἐνίοτε δὲ λογικοῖς. Ταυτὶ γὰρ τῶν ὄντων ἐν ἑαυτῇ λαμβάνει ἡ ὕλη καὶ τούτων αὖ πάλιν τῷ εἶναι καὶ τῷ ὀνό-
5 ματι ἔστι τε καὶ παρωνύμως, ὥςπερ ἐλέγομεν, ὀνομάζεται.

Καὶ μὲν δὴ καὶ ἣν ἔχει δύναμιν ὁλοσχερῆ καὶ ξυγκεχυμένην ἡ ὕλη, δι' ἧς δεκτικὴ πάντων ἐστὶ τῶν ἐνύλων εἰδῶν, οὔτ' εἶδός ἐστιν αὐτῇ διὰ τὰ αὐτὰ δήπου, οὔτ' αὖ πάλιν ξυμβεβηκὸς ἄλλο τι παρ' αὐτὴν τῷ γε χρήματι. Ὡς γὰρ τὸ γελαστικὸν πρὸς τὸν ἄν-
10 θρωπον ἔχει, οὕτως ἐκείνη πρὸς τὴν ἧς ἐστι δύναμις, πάθος οὖσα ξύμφυτον ἐκείνῃ καὶ πάντῃ ἀχώριστον οὐ φύσει μόνον, ἀλλὰ καὶ τῷ ὑπὲρ φύσιν θεῷ τῷ γε χρήματι καὶ δι' ἄλλο μέν, οὐχ ἥκιστα δέ γε καὶ διὰ τὴν ἀντίφασιν. Τῷ γε μὴν εἰδητικῷ λόγῳ, τῷ κατὰ τὸ εἰ ἦν εἶναι, καὶ μάλα κεχώρισταί τε καὶ διακέκριται, καὶ ἄλλο
15 παρὰ τοῦτον ὕλη καὶ ὕλης δύναμις. Οὐδὲ γὰρ τὰ αὐτὰ αὐτοῖς ἐφαρμόττει, ἵν' εἴη καὶ αὐτὰ πάντῃ ταὐτὰ καὶ μὴ διαφέροντα, ἀλλ' ὕλη μὲν ὑποκείμενον, δύναμις δὲ ὡς ἐν ὑποκειμένῳ τῇ ὕλῃ, κἀκείνη μὲν οὐσία δήπου, καθάπερ δέδεικται, αὕτη δὲ ὡς διάθεσις καὶ ξυμβεβηκός· προςθείην δ' ἂν καὶ ὡς ἡ μὲν ἦ, ἡ δ' αὖ ἤ.
20 Καὶ ἄλλα δ' ἂν εὕροι τις, ἃ θατέρᾳ μὲν ἐφαρμόττει, θατέρᾳ δὲ οὔ, ἐξ ὧν ὥςπερ ὑστέρων ἡ κατὰ λόγον αὐτῶν διάκρισις ἀποδείκνυται τῇ ὅτι γε ἀποδείξει.

Εἰσὶ γὲ μὴν καὶ παρὰ τὴν ὁλοσχερῆ ταύτην δύναμιν ἐν τῇ ὕλῃ καὶ ἄλλαι δυνάμεις ἀτομικαί, καθ' ἃς τὸ τόδε τι δέχεται καὶ τὸ ἄτομον· αἱ χωρισταὶ τῆς ὕλης εἰσὶ καὶ τῷ χρήματι, καὶ ταῦτα

2. ἔστι δὲ Π: ἔτι δὲ Ε πρέπον Ε: πρῶτον διαγεγραμμένον ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ὥρᾳ πρέπον Π 6. ξυγκεχυμένην Ε: ξυγκεχυμένη Π 7-8. εἶδός ἐστιν ἔγραψα: εἶδος ἔστιν Ε: εἶδος ἐστὶν Π 8. ἄλλο ἔγραψα: ἄλλό ΕΠ 10. ἐστι Ε: ἐστὶ Π 12. οὐχ ἥκιστα Π: οὐχήκιστα Ε 13. δέ Π: δέ ἐκ τοῦ τὸ πρῶτον γραφέντος δὲ Ε 16. ταὐτὰ ἔγραψα: ταυτὰ ΕΠ 19. ἡ μὲν Π: μὲν Ε 22. ὅτι Ε: ὅτη Π 24. τόδε Π: τόδέ Ε

ΕΥΓΑΝΤΗΟ ΙΩΑΝΝΙΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΘΕΟΛΟΓΙΑΣ ΤΟΜΕΑΣ ΑΝΑΛΕΚΤΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΕΙΦΩΝΗΣΙΣ: Ν. ΜΑΤΘΑΙΟΥ ΕΠΙΜΕΛΕΙΑ: ΙΩΑΝΝΗΣ Θ. ΠΕΤΡΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τῷ αὐτῷ μέτρῳ ᾧ καὶ ἡ ὕλη κατὰ τὸ πρότερον, εἴτε γέγονεν εἴτε καὶ μή, μετρούμεναι. Φθείρεται γὰρ ἡ τὸν Σωκράτην ἀφορῶσα δεκτικὴ δύναμις, ὅθ' ἡ ὕλη τὸ τοῦ Σωκράτους δέδεκται εἶδος. Διὸ καὶ οὐδὲ τὸ αὐτὸ ἄτομον ὁ Σωκράτης μετὰ τὴν οἰκείαν φθορὰν ἐπανελθεῖν καὶ πάλιν ὑπάρξειν δύναται· ἔφθαρται γὰρ ἡ τῆς ὕλης δεκτικὴ δύναμις ἤδη, τοῦ Σωκράτους τὸ εἶναι λαβόντος, καθ' ἣν ἐκεῖνον ἠδύνατο δέξασθαι. Λέγω δὲ ταῦτα νυνὶ τοῖς ἔξω σοφοῖς ἑπόμενος, ἐπεί γε κατὰ τοὺς ἔσω καὶ καθ' ἡμᾶς ἄλλος ἂν ἦν περὶ αὐτοῦ λόγος καὶ ἄλλο μυστήριον, περὶ οὗ λέγειν οὐκ ἔστιν ἐν τῷ παρόντι.

Ἐκ δὴ τῶν εἰρημένων φανερὸν ἤδη ταυταῖς τῶν προτάσεων ἀληθεῖς εἶναι καὶ ταῦτά πως ἀντικειμένας ἀλλήλαις καὶ οἷον ἀντιφασκούσας· ἡ ὕλη ἐστίν, ἡ ὕλη οὐκ ἔστιν· ἡ ὕλη τὰ ὄντα πάντα ἐστίν, ἡ ὕλη οὐδὲν τῶν ὄντων ἐστίν· ἡ ὕλη δυνάμει μόνον ἐστίν, ἡ ὕλη ἐντελεχείᾳ ἐστίν· ἡ ὕλη ἀεὶ δυνάμει ἐστίν, ἡ ὕλη οὐδέποτε δυνάμει, ἀεὶ δ' ἐντελεχείᾳ ἐστί. Τῷ γὰρ ἐν τῇ φύσει τῶν ὄντων εἶναι τὴν ὕλην, τῷ θ' ὑπὸ τὰ εἴδη ἀεὶ εἶναι ἔστι τε καὶ τὰ ὄντα πάντα ἐστί. Καὶ ἐντελέχεια δ' ἂν εἴη καὶ κατ' ἀμφότερα, τῷ τ' αὖ πάλιν κατ' αὐτὴν τὰ εἴδη μὴ εἶναι, τὸ δὲ εἶδος τὸ ὂν τῷ τε πεφυκέναι τὰ εἴδη πάντα γενέσθαι οὔτ' ἔστι καὶ οὐδὲν τῶν ὄντων ἐστί, καὶ δυνάμει δ' ἂν εἴη μόνῃ· προσθείην δ' ἄν, ὅτι καὶ τῷ δύνασθαι πάντα γενέσθαι τὰ ὄντα πάντα καὶ ἔστι καὶ λέγεται. Καὶ οὐσία δὲ λέγοιτ' ἂν ἡ ὕλη καὶ οὐκ οὐσία καὶ τόδε τι καὶ οὐ τουτὶ καὶ ὂν οὐκ ὂν παρὰ τὸ οἰκείαν εἶναι καὶ τὴν τῶν εἰδῶν ὕπαρξιν καὶ τὸ δυνάμει καὶ ἐνεργείᾳ.

Τοιαύτη μὲν οὖν ἐστιν, ὡς ἐκ πολλῶν ὀλίγα διεξελθεῖν, ἡ

1. πρότερον Π: πρότερον ἐκ τοῦ τὸ πρῶτον γραφέντος πρώτερον 3. ὕλη Ε: ὕ Π 4. οἰκείαν Ε: οἰκεῖαν Π 5. ὑπάρξειν Ε: ὑπάρξειν Π 15. ἡ ὕλη ἐντελεχεία—δυνάμει ἐστὶν Π: λείπουσιν Ε 17. τε Ε: τὲ Π 23. οὐσία Ε: ουσία Π 24. οἰκείαν ἔγραψα: οἰκεῖαν Ε: οἰκεῖον Π

ΕΡΑΣΜΙΕΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ Ο. ΠΕΤΣΙΟΥ ΑΝΑΓΝΩΣΤΗ ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πρώτη ὕλη, τὸ πρῶτον ἐνυπάρχον ἑκάστῳ τῶν ὄντων ἀρρύθμιστον καθ' ἑαυτὸ καὶ ᾗ πρῶτόν ἐστιν ὑποκείμενον τῶν ἐχόντων ἐν αὐτοῖς κινήσεως ἀρχὴν καὶ μεταβολῆς. Οὕτω γάρ πως ὡρίσαντο τὴν ὕλην οἱ φυσικοί. Ἔστι δὲ καὶ εὑρίσκεται ὡς μὲν ἐν ὅλῳ τῷ γε παντὶ ὅσον ἐξ αὐτῆς ξύγκειται· τὸ γὰρ οὐράνιον ἑῶ διὰ τὸν Περίπατον σῶμα· ὡς δὲ ἐν τόπῳ τῷ τοῦ παντὸς καὶ τῶν ἐκείνου μερῶν, κατὰ ξυμβεβηκός γε μὴν καὶ οὐ καθ' αὐτό, καθ' ὃ τὰ μόρια ἐν τῷ αὐτῷ τόπῳ τοῦ οὗ ἐστι μόρια· καθ' αὑτὴν δὲ οὐδέποτ' ἂν εἴη ἐν τόπῳ τῷ μηδὲ σῶμά γε εἶναι μηδὲ πέρασιν οἰκείοις ὡρίσθαι. Διττὸς δὲ ὁ τόπος, ὁ κατὰ περιγραφήν τε καὶ ὁ καθ' ὁρισμόν, καθ' ὃν ἐν τόπῳ λέγοιτ' ἄν πως ἡ ὕλη καὶ καθ' αὑτὴν τῷ ἐνταῦθα παρεῖναι καὶ μὴ κἀκεῖ. Ὅπως δ' ἐκ τῆς ὕλης τὰ πρῶτα γίγνεται τῶν στοιχείων, ἐν τῷ πρὸ τούτου δεδηλώκαμεν κεφαλαίῳ. Ταῦτά τοι περὶ αὐτοῦ τὰ αὐτὰ λέγειν ἀφέντες ἐχόμεθα τῶν ἑξῆς.

Ζήτημα η'.

Ποία γένη μικτῶν καὶ μιγμάτων εὑρίσκεται ἐν τοῖς φυσικοῖς πράγμασι καὶ ποῖά εἰσιν αὐτὰ τὰ πράγματα τὰ μικτά;

Λύσις.

Ὅσα μὲν τὰ πρῶτα στοιχεῖα πῦρ ἀέρα ὕδωρ καὶ γῆν ἐξ αὐτῶν ξυντίθεται τῶν στοιχείων, εἴτε δυνάμει μόνον ἐνόντων εἴτε

1. ἀρρύθμιστον ἔγραψα: ἀρύθμιστον Π: ἀρίθμιστον Ε πρῶτον ἐστιν ἔγραψα: πρῶτον ἐστὶν ΕΠ 3. αὐτοῖς Ε: αὐτοῖς Π 5. γε Π: λείπει Ε 7. καθ' αὐτὸ ἔγραψα: καθαυτὸ ΕΠ καθ' ὃ Ε καθὸ Π 8. αὐτῷ Π: αὐτὸ Ε ἐστι Ε: ἐστὶ Π 9. μηδὲ ἔγραψα: μὴδὲ ΕΠ σῶμά ἔγραψα: σῶμα ΕΠ 10-11. καθ' ὁρισμὸν Ε: καθορισμὸν Π 14 ταῦτά τοι ΕΠ: Πρβλ. κατωτέρω σ. 163, 2 καὶ σ. 169, 16

ΕΡΓΑΣΙΑ ΣΕΜΙΝΑΡΙΟΥ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝΑΠΛ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΟΙΚΟΝΟΜΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

καὶ ἐνεργείᾳ, ταυτὶ δὲ ἅπαντα μικτὰ πάντ' ἐστί τε καὶ λέγεται τῷ ἐν αὐτοῖς μεμίχθαι καὶ μίγνυσθαι τὰ στοιχεῖα καὶ μηδὲν εἶναι ὅ τι μὴ πυρὸς καὶ ὕδατος καὶ γῆς καὶ ἀέρος μετέχει, μᾶλλον δὲ ᾧ μὴ τοῦτ' ἐστὶν ἡ οὐσία, ἐξ ἧς ἐνούσης ἄλλη τις παρὰ ταύτην ἀνίσχει μορφὴ καὶ εἶδος, οὗ ἕνεκα τὰ στοιχεῖα καὶ αἱ τούτων ποιότητες, καθάπερ τὸ ξύλον καὶ ὁ πρίων τῆς κλίνης καὶ ὁ χαλκὸς καὶ τὸ σμιλίον τοῦ ἀνδριάντος, πλὴν εἰ μὴ τῷ ἐνεῖναι καὶ μὴ τὴν διαφορὰν ἔχοι, ὅτι καὶ φύσις μὲν ἔνεστι, τέχνη δὲ οὔ.

Ὅσα τοίνυν εἴδη μετὰ τὰ πρῶτα στοιχεῖα, τοσαῦτα καὶ εἴδη μικτῶν καὶ μίξεων. Λέγω δὲ εἴδη τὰ ἐν οὐσίᾳ, καθ' ὧν τὰ ἐν ταῖς ἄλλαις κατηγορίαις εἴδη κατηγορεῖταί τε καὶ λέγεται· ταυτὶ δὲ πεπέρασται μὲν τῇ φύσει καὶ ὥρισται, ἡμῖν δὲ ἄπειρά ἐστι καὶ ἄριστα καὶ διὰ τοῦτο καὶ ἄγνωστα, ἤ, εἰ βούλει, διὰ τοῦτ' ἄπειρα διότι καὶ ἄγνωστα· ἀντέστραπται γάρ πως ἐνταῦθα ἡ ἀκολούθησις. Ἄγνωστα δέ ἐστι τῷ μὴ ταῖς ἡμετέραις αἰσθήσεσιν ὑποκεῖσθαι καὶ διὰ τοῦτο μηδὲ τῷ νῷ διὰ τὸ ἄλλα πάντως ἐν ἄλλοις εἶναι τοῖς τόποις, ἔνια μὲν ἐν ἀέρι, ἔνια δ' ἐν θαλάττῃ καὶ γῆς λαγόσιν, ἔνθα διατρίβειν ἀνθρώπους ἤτοι οὐκ ἀσφαλὲς ἢ ἀδύνατον. Ἐῶ λέγειν, ὡς ἃ μὲν ἡμῖν ἔγνωσται, παρ' ἡμῖν ὄντα, οὐ πάντα δῆλα Σκύθαις τε καὶ Ἰνδοῖς, ἃ δὲ ἐκείνοις, παρ' αὐτοῖς ὄντα, γνωστὰ οὐχ ἅπανθ' ἡμῖν δῆλα καὶ γνώριμα. Ἐν γὰρ διαφόροις κλίμασι καὶ διάφορα δήπου τὰ εἴδη, καὶ ἄψυχα ὁμοίως καὶ ἔμψυχα. Οὐκοῦν ἔγνωσται μὲν τῇ φύσει ὅσα μικτῶν εἴδη καὶ μίξεων, οὐκ ἔγνωσται δὲ ἡμῖν ὡρισμένως, καθάπερ εἴπομεν, ὁλοσχερῶς γε μὴν καὶ οἷον ἐν γένει οἴδαμεν ὅσα τε μικτὰ καὶ τίνα ταυτὶ, ἄψυχα μὲν πρῶτον,

1. ἐστί τε Π: ἐστι Ε 4. ἐστὶν Π: ἐστιν Ε ἄλλη Ε: ἄλλή Π 6. ξύλον Π: ξῦλον Ε 7. σμιλίον ἔγραψα: σμιλεῖον ΕΠ ἐνεῖναι Ε: ἐνῆναι Π 11 κατηγορεῖται Ε: κατηγορῖταί Π 13. ἢ Π: καὶ Ε 15. ἐστι Π: εστι Ε 16. μηδὲ Ε: μὴδὲ Π 17. λαγόσιν Ε: λαγῶσιν Π 18. ἐῶ Π: εῶ Ε 20. τε Ε: τὲ Π 21. οὐχ Ε: οὐχ' Π 24. γε Ε: λείπει Π 25. ὅσα ἔγραψα: ὅσά ΕΠ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΝΕΩΤΕΡΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΙΩΑΝ. Ν. ΚΑΘΗΓΗΤΗΣ ΓΙΩΡΓΟΣ ΠΕΤΣΙΟΣ
ΔΙΕΠΙΣΤΗΜΟΝΙΚΟ ΑΡΧΕΙΟ Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

οἷον λίθοι καὶ μέταλλα, εἶτα πάντα τὰ ἔμψυχα καὶ τούτων πρότερα μὲν τὰ φυτά, εἶτα ζωόφυτα καὶ μετὰ ταῦτα τὰ ζῷα, καὶ τούτων αὖ πάλιν πρότερα μὲν τὰ ἄλογα, εἶτα τὰ λογικά, οἷος ὁ ἄνθρωπος, ὕστατον ὂν ἁπάντων μικτῶν τῇ γενέσει καὶ δι' ὃ τἆλλα πάντα τὰ πρότερα.

Ζήτημα θ'.

Πόσα ἐστὶ τὰ φυσικὰ πράγματα καὶ ποῖα καὶ πόσα ἐστὶ τὰ μὴ φυσικὰ καὶ ποῖα καὶ πόσα τὰ κατὰ φύσιν καὶ ποῖά εἰσι.

Λύσις.

Φυσικὰ μὲν πράγματα κατὰ τοὺς ἰατρούς· ἐντεῦθεν γὰρ ἄρχονται τὰ ἰατρικά σου ζητήματα· τοσαῦτά ἐστι καὶ τοιαῦτα· στοιχεῖα, κράσεις, χυμοί, μέλη, δυνάμεις, ἐνέργειαι καὶ τὰ πνεύματα. Λέγεται δὲ ταυτὶ φυσικὰ τῷ ἐνεῖναι τοῖς ἐμψύχοις τὰ μὲν ὡς οὐσιώδη γε μόρια, τὰ δὲ ὡς διαθέσεις, τὰ δ' ὡς ὄργανα, τὰ δ' ὡς δυνάμεις τε καὶ ἐνέργειαι· ἃ δὴ πάντα τὴν τῶν ζώντων φύσιν ἀναπληροῖ.

Στοιχεῖα τοίνυν ἐστὶ σώματα τοῦ ἡμετέρου σώματος καὶ τῶν ἄλλων πρώτιστα μόρια, ἅπερ εἰς ἄλλα ἄττα διάφορα τῷ εἴδει διαλυθῆναι σώματα ἥκιστα δύναται καὶ ὧν μιγνυμένων διάφορα καὶ ποικίλα εἴδη τῶν ἐν γενέσει καὶ φθορᾷ γίνεται. Ἔστι δὲ τέτταρα τὸν

1. πρότερα Π: πρότερα ἐκ τοῦ τὸ πρῶτον γραφέντος πρώτερα Ε
2. μετὰ ταῦτα Π: μεταταῦτα Ε 4. τἆλλα ἔγραψα: τ'ἄλλα ΕΠ
8. ποῖά εἰσι ἔγραψα: ποῖα εἰσὶ ΕΠ 11. τοσαῦτά ἐστι ἔγραψα: τοσαῦτα ἐστὶ ΕΠ 13. δὲ ταυτὶ Π: ταῦτα Ε 14-19 Μικρὸν μέρος μεταξὺ τῶν λεξεων διαθέσεις καὶ ἥκιστα διάτρητον, συνεκπεσόντων τῶν ἐν αὐτῷ γεγραμμένων Π 18. πρώτιστα Ε: πρότιστα Π ἄττα Ε: ἄτα Π εἴδει Π: εἴδει ἐκ τοῦ τὸ πρῶτον γραφέντος εἴδη Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΙΕΘΩΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἀριθμὸν, γῆ ὕδωρ ἀήρ τε καὶ πῦρ, γῆ μὲν ξηρὰ καὶ ψυχρὰ καὶ βαρεῖα οὖσα ἁπλῶς· ταῦτά τοι καὶ τὸν τοῦ μέσου τόπον ἐπέχει, κάτω γε ὄντα ἁπλῶς· ὕδωρ δὲ ψυχρόν τε ὂν καὶ ὑγρὸν, πρὸς δὲ καὶ βαρὺ οὐχ ἁπλῶς, ἀλλὰ πῇ· περὶ γὰρ τὴν γῆν ἐστί τε καὶ εἰς αὐτὴν φέρεται· ἀὴρ δὲ καὶ αὐτὸς ὑγρός ἐστι καὶ θερμὸς καὶ κοῦφος μετὰ τὸ πῦρ· αὐτό γε μὴν τὸ πῦρ θερμόν τε ἐστι καὶ ξηρὸν καὶ ἁπλῶς κοῦφον, οὗ τόπος ὁ ἀνωτάτω χῶρος, πρὸς ὃν φύσει φέρεται καὶ ἐν ᾧ ἠρεμεῖ. Συντελεῖ δὲ ταῦτα πρὸς γένεσιν, γῆ μὲν πρὸς τὸ συνέχειν καὶ συντηρεῖν τῇ ἑαυτῆς συστάσει τά τε σχήματα τά τε εἴδη· τοιαύτη γὰρ ἡ τοῦ ξηροῦ φύσις, ᾧ πρώτως ἐφαρμόττει τῇ γῇ· ὕδωρ δὲ πρὸς τὸ λαμβάνειν τὰ αὐτὰ πάλιν ῥᾳδίως. Εἰ γὰρ καὶ ῥᾷστα πάνυ ξυγχεῖται τὸ ὕδωρ τῇ ῥευστῇ φύσει καὶ τὰ ἐν αὐτῷ φθείρει σχήματά τε καὶ εἴδη, ῥᾳδίως γε μὴν τὰ αὐτὰ πάλιν λαμβάνει καὶ τῇ γῇ ξυγκεκραμένα καὶ τῷ ἐκείνης ξηρῷ φυλάττει πάνυ καλῶς τὰ αὐτά. Καὶ μὲν δὴ καὶ ἀὴρ πρὸς γένεσιν συντελεῖ τῷ οἰκείῳ μανῷ καὶ λεπτῷ· ἀραιοῦται γὰρ δι' αὐτοῦ τὰ σώματα καὶ λεπτύνεται καὶ πρὸς τὸ ἀνώτερον φέρεται. Καὶ τὸ πῦρ δὲ πεπαίνει τε καὶ λεπτύνει καὶ μίγνυσι καὶ γῆς καὶ ὕδατος τὸ ψυχρὸν καταστέλλει καὶ ἁπλῶς τὴν κρᾶσιν ἀποτελεῖ.

Ταυτὶ μὲν οὖν τὰ στοιχεῖα. Κρᾶσις δ' ἐστὶ ποιότης ἐκ τῆς πρὸς ἀλλήλας τῶν ἐναντίων ποιοτήτων τῶν ἐν τοῖς πρώτοις στοιχείοις δράσεώς τε καὶ πείσεως γινομένη τε καὶ ἀνίσχουσα. Κράσεως δὲ εἴδη ἐννέα· μία μὲν ἡ εὖ ἔχουσά τε καὶ εὔκρατος, ἣ τὸ γεωμετρικὸν μέσον ἐπέχει τῶν πρώτων γε ποιοτήτων, οὐ τὸ ἀριθμητικὸν, τὸ κατὰ τὸ ἴσον διάστημα· τῶν δὲ λοιπῶν αἱ μὲν ἁπλαῖ, αἱ δὲ ξύνθετοι λέγονται, ὥςπερ καὶ τῶν ἁπλῶν ἡ μὲν θερμοτέρα,

1. ἀριθμὸν Π: ἀρῖμὸν Ε 2. ταῦτά τοι ΕΠ. Ἴδε καὶ ἀνωτέρω σ. 160, 14 καὶ κατωτέρω σ. 169, 16. 5. ἐστι Π: ἔστι Ε
9. συνέχειν Ε: συνέχειν ἐκ τοῦ τὸ πρῶτον γραφέντος συντρέχειν Π 14. ξυγκεκραμένα ἔγραψα: συγκεκραμένα ΕΠ
16-19. τῷ οἰκείῳ - ἀποτελεῖ Ε: λείπουσι Π 22. πείσεως Π: πήσεως Ε τε Ε: τὲ Π κράσεως Π: κράσεων Ε
25. ἁπλαῖ Π: ἁπλαὶ Ε

ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἡ δὲ ψυχροτέρα, ἡ δὲ ὑγροτέρα, ἡ δὲ ξηροτέρα, καὶ τῶν ξυνθέτων αὖ πάλιν ἡ μὲν θερμοτέρα καὶ ὑγροτέρα, ἡ δὲ θερμοτέρα καὶ ξηροτέρα, ἡ δὲ ψυχροτέρα καὶ ὑγροτέρα, ἄλλη δ' αὖ ψυχροτέρα καὶ ξηροτέρα καλεῖται. Θερμοτέραν γε μὴν καὶ ψυχροτέραν ἢ ὑγρο-
5 τέραν καὶ ξηροτέραν οὐκ ἔστιν εὑρεῖν κράσεις ξυνθέτους τῷ μὴ ξυνίστασθαι ταυτασί γε τῶν ποιοτήτων, ὡς ἐν τοῖς φυσικοῖς ἀποδέδεικται.

Χυμὸς δέ ἐστι σῶμα ὑγρὸν καὶ ῥευστὸν, εἰς ὃ πρῶτον μεταβάλλει τὸ τρέφον. Καὶ τούτου δὲ εἴδη εἰσὶ τέτταρα· ὁ μὲν γάρ
10 ἐστιν ὑγρὸς καὶ θερμὸς, τὸ αἷμα· ὁ δὲ θερμὸς καὶ ξηρὸς, ἡ ξανθὴ χολή· ἄλλος δ' αὖ ξηρὸς καὶ ψυχρὸς, ἡ μέλαινα, ὥςπερ καὶ ἄλλος τις αὖ πάλιν ψυχρὸς καὶ ὑγρὸς, τὸ φλέγμα. Ὧν δὴ καλῶς κεκραμένων καὶ μεμιγμένων καὶ μήθ' ὑπερβαλλόντων, μήτε μὴν ἐλλειπόντων τῷ λόγῳ, ὑγιαίνει τε καὶ τὰς οἰκείας ἀποτελεῖ πράξεις
15 καὶ ἐνεργείας τὸ ζῷον, ἤ, εἰ βούλει, ὁ ἄνθρωπος, περὶ οὗ μάλιστα τοῖς ἰατροῖς ὁ λόγος καὶ ὁ σκοπός. Εἰ δὲ κατά τι τούτων διαμαρτία τις γένοιτο, ἀνάγκη καὶ τὸν ἄνθρωπον αὐτίκα μάλα νοσάζεσθαι. Οὐκ ἀγνοῶ δὲ ἐνταῦθα καὶ ὅτι τινὲς τῶν παλαιτέρων Ἀσκληπιαδῶν τρεῖς ἔλεγον εἶναι μόνους χυμοὺς ἐν τῷ σώματι, τὸ φλέγμα
20 δῆλον ὅτι καὶ ἀμφοτέρας γε τὰς χολὰς, τὸ δ' αἷμα τὸ ἐκ τῶν τριῶν μίγμα, καλῶς ἐχόντων καὶ κεκραμένων κατὰ λόγον πρὸς ἄλληλα. Ἀλλὰ περὶ τούτου νυνὶ λέγειν περιεργότερον ἂν εἴη μᾶλ-

1-3. Μικρὸν μέρος μεταξὺ τῶν λέξεων ψυχροτέρα ἡ δὲ καὶ ὑγροτέρα, ἀντιστοιχοῦν ἐν τῷ ὄπισθεν τοῦ φύλλου πρὸς τἀνωτέρω ἐν σ. 162, 14-19, διάτρητον, συνεκπεσόντων τῶν ἐν αὐτῷ γεγραμμένων Π
4. ἢ Π: καὶ Ε 6. ξυνίστασθαι ἔγραψα: συνίστασθαι ΕΠ
[1] Σώζεται αὐτόγραφος ἐν τῷ Archivio di Stato τῆς Φλωρεντίας, ἐν τῷ τμήματι Carteggio Mediceo avanti il Principato, ἐν φακέλῳ (Filza) XXXVII ἀρ. 591. Φέρει δὲ ὄπισθεν τὴν ἐπιγραφὴν Magnifico uiro domino Laurentio medici amico suo carissimo, Florentie καὶ περαιτέρω ἄλλῃ χειρὶ + 1471 A domino Joanne argyropilo die p° nouembris, δι' οὗ σημειώματος δηλοῦται ἡ εἰς τὰ γραφεῖα τοῦ Λαυρεντίου Μεδίκου ἄφιξις τῆς ἐπιστολῆς.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

sumus. Quod si aut iure aut gratia consequendum esse uidetur: a quonam queso potius quam abs te est impetrandum. Te enim et ciuem uistissimum: liuor cesset: aut inuidia rumpantur ilia Codro: et gratum erga tuos amicos: quique de te tuisque maioribus benemeriti sunt: aperte nunquam desistimus predicare. Quare illud a nullo alio homine compluribus de causis equo animo consequi patiemur. Non plura. Ie enim ut laconem gaudere perbreuibus noui: atque hoc addere tuis laudibus consueui Vale et nos id postere nunc scias quod a statutis uestri gymnasij datur et quod a patre tuo uiro clarissimo suisque collegis cum conducebamur oblatum est nobis scripto atque promissum.

Ex Urbe XXVI. octobris.

7.

ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ

(Ἐκ Ῥώμης, 5 Δεκεμβρίου 1471)[1].

Johannes Argyropylus Magnificentissimo Laurentio suo.

Benefitio tuo mi Laurenti: res nostras nuper accepimus sine sumptu ullo uectigalium tuaque benignitate omnibus in rebus semper nos conplexus es, nec ullo iure sive magno sive paruo tua humanitas benignitasque nunquam nobis non presto fuit. Nunc obliuione libelli qui clam uel potius scartabelli relicti istic sunt, eos huc afferi iussi. Ceterum ne impediantur te precor: iubeas ut sine impedimento ex-

[1] Σώζεται αὐτόγραφος ἐν τῷ Archivio di Stato Φλωρεντίας, ἐν τμήματι Carteggio Mediceo avanti il Principato, ἐν φακέλῳ (Filza) XXVII ἀρ. 561. Φέρει δὲ ὄπισθεν τὴν ἐπιγραφὴν Nobilissimo et magnificentissi[mo] viro domino Laurentio Me[d]ico suo carissimo. Florentie καὶ περαιτέρω ἄλλῃ χειρί + 1471 Da Roma a di 13 di dicembre, δι' οὗ σημειώματος δηλοῦται ἡ ἡμέρα τῆς ἀφίξεως.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΔΙΕΓΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΣΙΣΙΛΙΑΝΟΥ
ΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

trahi liceat. Quominus res est magna; eo uerecundius a te peto. Sed quam facile tu potes et soles in nos esse beneficus: tam facile ipsi debemus tua beneficia non negligere: quin etiam expetere ultro et tibi pro ys perpetuas immortalesque gratias
5 habere. Ut si quid etiam pro te ipsi possumus: paratos nos esse intelligas: ad omnia uidelicet: que aut tua aut tuorum interesse putemus. Quod iam sine nostra pollicitatione persuasum tibi esse non dubitamus. Vale et me ut soles ama. Ex urbe vij decembris.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

8.

ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ

(Ἐκ Ῥώμης, 3 Ἀπριλίου 1472)[1].

Jesus.

10 Iohannes argyropylus Magnifico Laurentio. S[alutem].

Isatius tuus ad illustrissimum ducem nunc proficiscitur. Atque cum sit inter illum et te summa beniuolentia summusque amor; et nos omnia nostra ad tuam nobilissimam domum: et te tuosque referamus: rogo et obsecro ut litte-
15 ris tuis ipsum Isatium illustrissimo illi principi comendes, non comendatione quadam uulgari: Sed ea qua princeps

[1] Σώζεται αὐτόγραφος ἐν τῷ Archivio di Stato τῆς Φλωρεντίας, ἐν τῷ τμήματι Carte Strozziane Serie 1ª, ἐν φακέλῳ (Filza) CXXXVII ἀρ. 86. Φέρει δὲ ὄπισθεν τὴν διεύθυνσιν Nobilissimo et magnificentissimo uiro domino l aurentio medici suo [amico ca]rissimo. Περαιτέρω δὲ δι' ἄλλης χειρὸς φέρεται τὸ σημείωμα τόδε· 1472 Da Roma il di VIIIj d'aprile. Ὁ Legrand, ἐκδοὺς τὴν ἐπιστολὴν ἐν ταῖς Cent-dix lettres grecques de François Filelfe. Ἐν Παρισίοις. 1892 σ. 343 κ. ἑ., συνεπλήρωσε πλημμελῶς τὴν διεύθυνσιν suo [patrono observand]issimo. Ἐνταῦθα δ' ἐκδίδων τὴν ἐπιστολὴν κατὰ νέον ἀπόγραφον ἐκ τοῦ πρωτοτύπου, ὑποσημειόνω τὰς παρὰ τῷ Legrand (L.) διαφορὰς πλὴν τῶν περὶ τὴν στίξιν.

11. *Isacius* L 12. *benevolentia* L 14. *licteris* L 15. *Isacium* L 16. *vulgari* L

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ille· nos tuos penitus esse cognoscat: tueque domui preclarissime deditos addatur et hoc: beneficijs sine numero illis que a maioribus tuis atque abs te in nos liberalissime sunt collata. Nihil aliud nos profecto expetimus, nihil aliud affectamus: nisi ut ille princeps cetereque omnes gentes et nationes nos tuos esse ut sumus: et tuo generi nobilissimo preclarissimeque tue domui deditos omnino percipiant. Vale perpetuo felix atque beatus et nobis ut tuis semper mandare uelis pro honore tuo tuorumque semper paratis etiam negligere uitam.

Ex urbe iij aprilis.

9

ΠΡΟΣ ΤΟΝ ΔΟΥΚΑ ΜΕΔΙΟΛΑΝΟΥ

ΓΑΛΕΑΤΣΟΝ ΜΑΡΙΑΝ ΣΦΟΡΤΣΑΝ

(Ἐκ Ῥώμης, 3 Ἀπριλίου 1472)[1].

Illustrissimo Principi G. M. Duci mediolanensi etc.

Ioannes Argyropylus Salutem Plurimam Dicit. Et antea nobilissime tuae virtutes Illme Princeps nos ad te diligendum non mediocriter compellebant. Sunt enim profecto non solum ad hominem sed ad principem etiam accomodatissime, a quo multarum gentium nationum civitatumque salus dependet, et nunc tuę ad nos littere omni humanitate officioque referte adeo nos ad te amandum colendumve compulerunt ut si te summa beniuolentia semper, summoque

2. *beneficiis* L 9. *velis* L 10. *vitam* L

[1] Σώζεται αὐτόγραφος ἐν τῷ Archivio di Stato τοῦ Μεδιολάνου, ἐν τῷ φακέλῳ Autografi. Uomini celebri. Argiropulo Giov Φέρει δὲ ὄπισθεν τὴν διεύθυνσιν Illustrissimo et Excellentissimo Principi Duci inclito Mediolani etc. Papię Anglerięque comiti, Janue et Cremone domino. Εὕρηται δὲ κάτωθεν τῆς ἐπιστολῆς ἐπὶ χάρτου ἐπικεκολλημένου τὸ ἐν τῷ Προλόγῳ τοῦ παρόντος βιβλίου παρατεθὲν ἀπότυπον τῆς σφραγῖδος τοῦ Ἀργυροπούλου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

amore non prosequamur, nos ipsos ingratissimos ac iniquissimos esse putemus.

Nos itaque pro tuo erga nos officio atque humanitate quo nihil maius esse existimamus id agimus, nos ipsos Excellentię tuę offerimus atque adeo ut pro quovis tuo commodo vitam etiam negligamus. Vale semper victor foelix atque beatus, et Isaacium tuę celsitudini deditissimum atque observantissimum ut consuevisti facere cum humanitate suscipe ut iussit Celsitudo tua ita feci, necque medius fidius mihi iocundius quicquam erit quam hunc Excellentię tue obtemperare obsequi atque servire. Ex Urbe. iij Aprilis 1472.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΙΑΤΟΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΑΠΓΙΟΥ

10.

ΠΡΟΣ ΛΑΥΡΕΝΤΙΟΝ ΜΕΔΙΚΟΝ ΤΟΝ ΜΕΓΑΛΟΠΡΕΠΗ

(Ἐκ Ῥώμης, 11 Φεβρουαρίου 1476)[1].

Ioannes Argyropylus Laurentio suo salutem.

Antonius Rocca Pisanus, vir egregius et mihi familiarissimus, meas ad te litteras iure amicitie impetravit, quibus te ad iusticiam servandam interfecti illius Petri Mastrani iura exequenda hortarer. Hortor itaque te, mi suavissime Laurenti, quem ut in ceteris bonis humanis, sic et in iusticia defendenda nemini tempestatis huiusce homini cedere certo scio, ut hac etiam in causa id agas quod et in ceteris agere semper consuevisti. Quid enim aliud aut te facere, aut me te admonere hac in causa decet? Tu es equitatis amator. Ego sum utriusque amicus, atque ideo iura illius tuo ma-

[1] Σώζεται αὐτόγραφος, ἀνήκουσά ποτε εἰς τὴν συλλογὴν αὐτογράφων τοῦ θανόντος Γάλλου μαρκίωνος Queux de Saint-Hliaire, ὅστις ἀνεκοίνωσεν αὐτὴν εἰς τὸν I egrand, ἐκδόντα ἐν ταῖς Cent-dix lettres grecques de François Filelfe. 1892 σ. 344 κ.ἑ., ἐξ ἧς ἐκδόσεως καὶ παρέλαβον αὐτὴν ἐνταῦθα. Τῆς συλλογῆς τῶν αὐτογράφων τοῦ Saint-Hilaire πωληθείσης ἐν δημοπρασίᾳ, ἄγνωστον ποῦ νῦν ἀπόκειται τὸ πρωτότυπον.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

xime munere servari percupio. Si pater homicide conscius est cedis, cur non et homicida et ipse lueret penas? Illud igitur inquiratur iusticie lege, consciusque si fuerit inventus, obnoxius crimini iudicetur. Plusquam verisimile profecto esse videtur compulsu patris auctoritateque filium cedem egisse, si uterque, magisque pater, interfectum illum odio tanto persequebatur. At eum patrem, quem ita rem gesisse constaret, quis non asseruerit una cum filio et manus ad idem scelus movisse, et mucronem eundem ad eandem necem strinxisse? Illum magis homicidam profecto quam filius, ratione sane primi principii, auctoramenti deliberationisque, omnes homines, si vera fateri velint, uno ore unaque sententia iudicarent. Tu, mi Laurenti, hac in causa ita agas velim, ut ab universis hominibus plus apud te societatis humane salus quam nonnullorum hominum valere gratia videatur. Vale perpetuo felix et me, ut soles, ama. Raptim.

Rome, tertio idus februarii.

11.

ΠΡΟΣ ΛΑΥΡΕΝΤΙΟΝ ΜΕΔΙΚΟΝ ΤΟΝ ΜΕΓΑΛΟΠΡΕΠΗ

('Εκ 'Ρώμης, 31 Μαΐου 1476)[1].

Jaannes Argyropylus magnificentissimo Laurentio suo salutem perpetuamque felicitatem.

Libris depositis: habitisque pecuniis: ad te iocundissime mi Laurenti sumpta oportunitate proficiscar. Ita est statutum ubi tibi placet. Vale dimidium animi mei perpetuo felix atque beatus. Et me ut soles ama.

Ex urbe, pridie Kalendis Juniis.

---

[1] Σώζεται ἐν τῷ Archivio di Stato τῆς Φλωρεντίας, ἐν τῷ τμήματι Carteggio Mediceo avanti il Principato, ἐν φακέλῳ (Filza) XXXIII ἀρ. 427. Φέρει δὲ ὄπισθεν τὴν διεύθυνσιν Magnificentissimo et sapientissimo viro. d. Laurentio Medici amico suo percolendo. Florentie (βραχυγραφικῶς). 'Εν δὲ τῇ ἄνω ὥρᾳ φέρεται τὸ σημείωμα τόδε· 1476 Dni Iohannis Argiropili Die VII Iunii.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

12.

ΠΡΟΣ ΔΟΜΙΝΙΚΟΝ ΡΟΒΟΡΕΟΝ

ΚΑΡΔΙΝΑΛΙΟΝ ΤΑΥΡΙΝΟΥ

(Ἄνευ χρονολογίας).

Joannes Argyropylus Dominico Roboreo cardinali Taurinensi salutem perpetuamque felicitatem.

Meus erga te amor summaque benevolentia, Sapientissime Pater, id agere me optimo suo jure compellit: quod ni facerem, nemo homo nimirum esset, qui non meum me munus officiumque aut ignorare aut negligere posthabereque putaret, quorum utrumque turpitudinem non mediocrem prae se ferre nemo est qui ignoret. Nam quid amor affectat, quid benevolentia flagitat, ignorare nimium hebetis sane, nimium vecordis hominis esse constat. Et id quod benevolentiae ratio postulat, quod e praecordiis amoris emergit negligere posthabereque ejus est profecto, cui res eadem placet atque non placet, quique maximis in rebus honestissimisque suapte sponte delinquit. Omitto mutuae benevolentiae mutuique amoris merita juraque referre quibus si quispiam quoad vires suppetunt haud respondeat, ingratitudinis obnoxius iniquitatisve crimini non injuria fuerit: a quibus humana probitas ingenuique mores potissimum abhorrere videntur. Tu vitae talem tenere pulcherrime cursum instituisti, ut domesticis rebus familiaribusve bene lauteque dispositis partim amplissimi magistratus officio

[1] Ἐσώζετο χειρόγραφος προτασσομένη τοῦ ἐν ἔτει 1904 πυρποληθέντος κώδικος 433 τοῦ ἐν Ταυρίνῳ Ἀθηναίου, ἐν ᾧ περιλαμβάνεται Aristotelis opus de anima a Joanne Argyropylo emendatione ultima elegantius causa Dominici Roborei cardinalis Taurinensis traductum. Ἐξεδόθη δὲ ὑπὸ τοῦ *Migne* ἐν Ἑλληνικῇ Πατρολογίας Τόμῳ PNII' σ. 1007-1010

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΙΔΡΥΜΑ ΕΥΓΕΝΙΔΟΥ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΘΗΓΗΤΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Θ. ΠΑΤΣΙΟΥ
Ε.Υ.Δ τ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

munereque caeteris hominibus vivas: partem in litterarum tibi studiis doctrinisque nobilissimis satisfacias, utramque summam vivendi rationem complexus. In qua tibi me quoque comitem atque socium ascivisti: non inscius studia quibus incumbimus expeditius, exactius hoc pacto meliusve fieri posse. Ego qui res omnes humanas, optime fine sublato, vanas esse nihili pendendasque semper putavi: cujus illa sententia perpetua fuit: hominem utriusque vitae rationem complexum: oculis utrisque praedito corpori: carentem altera lusco, praestantiore dextro aspectu: inferiore sinistro: expertem utriusque caeco penitus persimilem esse. Cui religio sanctissima nostra, nobis oblata divinitus, hac quo que ratione quod perornatos perfectosque homines utroque vivendi modo suis pulcherrimis legibus institutisque reddere tam naturae quam Opifici suo conatur, vehementer placet: quem denique praeter honestatem omnino sapientiaeque studia nihil delectat: quid erga te faciam quaeso quid agam: quod ad utrosque nos accommodatissimum fuerit: tum instante, urgente compellenteque amore: tum instituto vitae perinde atque natura movente, et veluti recta ratione jubente. Nonne id omne quod affectas modo nobis facultas adsit: ut non inepti videamur, non ignari penitus rationis, alia quaevis offerentes non ea quibus est opus. Nonne id omne quod ad exoptatum hominis finem facile consequendum tibi conducere potest: ad quem jam ipse toto studio conatuque pergis. Succurrere porro quoad vires mihi suppeditant: plaeclarissimis ac honestissimis tuis studiis: operamque tibi dare frequentem: caeteris rebus neglectis atque posthabitis: operae predium esse duxi: atque tibi vias itineraque quibus ad felicitatem humanam beatitudinemque recta pergitur, demonstranda esse putavi. Tecum una mihi legendos esse scriptores et auctores bonarum artium pervolutandosque censui. Evocandam in lucem esse veritatem in illis inclusam omnem existimavi. Disserendi denique facultatis formulas ac rationes degustandas, haud posthabendas esse

Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

dijudicavi: sine quibus investigatio veritatis perceptioque recta minime fieri potest. Quocirco nec id sane negligendum esse censui: quod quidem haud mediocriter sine dubio nobis conferet ad id ad quod tendere maximopere cupimus. Aristotelis, inquam, illius nostri praestantissimi philosophi summique artificis opera nonnulla bonorum omnium sola meo judicio fontes, unde finis humanus emanat, elegantius nunc traducere tibique offerre: ab eo potissimum initio sumpto, quo scientia de anima traditur. Qua plane non modo caeterorum omnium animantium, sed nostrum etiam exactissime naturam, humanaequc felicitatis originem, causas, principia fontesque percipere possumus. Nam ut te non praeterit, utrumque curae non injuria nobis esse: nos jam diu statuimus: rerum inquam notitiam, tam earum quae nullius egent operae nostrae: quam earum quarum nos auctores sumus: quaeque sub potestate nostra sunt collocatae: et elegantiam linguae: dicendi rationem: delectum verborum: ornatum, venustatem ac copiam: quo res sententiaeque dictioni: et rebus sententiisque dictio sit conveniens atque accomodata si sensis orationes: sensa rebus accommodanda sint, ut tum ipsorum ratio naturaque, tum institutio sapientum hominum expetit, efflagitat atque exposcit. Non enim ii nobis ut exemplaria sint proponendi: qui vel ornatu verborum utuntur sine notitia rerum: vel scientia praediti sunt, sine peritia rationis dicendi. Insignis profecto turpitudinis est utrumque, tam vane quam prave loqui, quanquam alterum, vel impotentiae forte fortuna, vel segnitiei ratione: secundum potius est expetendum. Conjungamus nos ea quae conjungenda omnino sunt, non ea quae sine dedecore suo potest unquam conjungere nemo, ac sapientiam ab elegantia, lepore venustateque verborum orationisque non separemus. Hanc igitur operam ipse mea sententia non inhonestam, non inutilem, non injucundam, non a communi nostro proposito: non a mutua nostra benevolentia dissidentem ac abhorrentem: dandam esse quasi lege quadam assiduam a

Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

me tibi frequentemque censui, statui, definivi, atque adeo, ut nisi naturae necessitudo, nulla vis eam nobis adimere possit. Quae cum ita sint, opus Aristotelis de anima, veluti nostrae quamdam operae partem, elegantius ultima nunc emendatione limatiusve causa tui traductum, uti materies fert, ratioque praescribit interpretandi (non enim in talibus amplus campus conceditur) tibique a nobis oblatum, legere aggrediare bona fortuna. Habebis et nos in hoc etiam legendo percipiendoque, quoniam ita voluimus ac instituimus, comites, adjutores ac duces non pigros quidem, non inertes, non segnes, sed ad omnem promptissimos subeundum laborem, fructus cujus is consequendus est tibi finis, ob quem natura te procreavit, opifexque rerum Deus tot tantisque viribus facultatibusque condecoravit. Vale plusquam dimidium animi mei, et tibi persuade mihi te chariorem neminem esse.

ΕΓΑΣ ΤΗΣ ΙΟΥΔΑΙΩΝ ΔΙΕΤΟΦΗΣΕΝ ΤΟ ΜΕΓΑ ΦΩΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΟΝΟΜΑΣΕΝ ΝΟΕΡΑΝ ΚΑΙ ΚΑΤΕΣΤΗΣΕΝ ΑΝΤΙΟΧΕΙΑΝ ΤΟΥ ΘΕΟΥ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΙΣΑΑΚΙΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ

ΕΠΙΣΤΟΛΗ

ΠΡΟΣ ΤΟΝ ΔΟΥΚΑ ΜΕΔΙΟΛΑΝΟΥ ΓΑΛΕΑΤΣΟΝ ΣΦΟΡΤΣΑΝ[1]

(5 Ἀπριλίου [1473]).

Jesus.

Illustrissime Princeps et Domine Domine mi post debitam commendationem etc.

El magnifico capita ha messo in executione per me quanto li ha scritto Vostra Excellentia, homo certamente digno et apto a simile officio et obedientissimo al suo Signore et gratioso con li amici et humano et clemente con omni homo, il perchè a sua petitione ho scritto a vostra Illustrissima Signoria quando e la facenda importa e il suo desiderio adimanda in servire a vostra Illustrissima Signoria. Ceterum l'organo et apresso che finito e registri son fatti e adesso attendiamo a fare la cassa e straforare. Habbiamo ancora avolte tutte le canne di tela in su le forme et habiamo cavate alcune dalle forme et sono durissime come osso;

[1] Σώζεται αὐτόγραφος ἐν τῷ Archivio di Stato τοῦ Μεδιολάνου ἐν τῷ φακέλῳ Autografi. Uomini celebri. Argiropulo. Φέρει δὲ ὄπισθεν τὴν διεύθυνσιν Illmo et Excll^mo Principi et Domino Domino meo Singularissimo duci inclito Mediolani etc. Καὶ στερεῖται μὲν σημειώματος περὶ τοῦ ἔτους καθ' ὃ ἐστάλη εἰς τὸν δοῦκα, ἀλλ' ὡς τοιοῦτον ὁρίζει τὸ 1473 ὁ τὴν ἐπιστολὴν ἐκδοὺς *Adr. Capelli* Giovanni et Isacco Argiropulo ἐν τῷ Archivio Storico Lombardo Τόμ. 1Η' σ. 172.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΠΛΩΜΑΤΙΚΗ ΕΠΙΣΤΗΜΗ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΣΤΗΜΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ Θ. ΠΑΤΣΙΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

non viddi mai Illustrissimo Signore la più bella cosa che saranno queste canne et bone. La prima è lunga palme sette et quello che è bellissimo in questa cosa tutte sono d'un pezo cioè integre, che a Napoli non le possono fare manco di duo o di tre pezi. Non altro per adesso. Bene valeat Illustrissima Dominatio Vestra victrix semper foelix atque beata. Me commendo eidem. V Aprilis.

Servitor indignus
Isaacius.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΓΙΟΥΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΦΡΑΓΚΙΣΚΟΥ ΦΙΛΕΛΦΟΥ

ΕΠΙΣΤΟΛΑΙ ΠΡΟΣ ΙΩΑΝΝΗΝ ΑΡΓΥΡΟΠΟΥΛΟΝ[1]

1.

Φραγκίσκος ὁ Φίλελφος παπᾷ Ἰωάννῃ τῷ Ἀργυροπούλῳ ἱερεῖ τε καὶ κριτῇ τοῦ δημοσίου χαίρειν.

(Ἐκ Μεδιολάνου 13 Ἀπριλίου 1441)[2].

Κομισάμενός σου τὴν ἐπιστολήν, ὦ θαυμάσιε, ἥσθην κατ'
5 ἄμφω, τοῦτο μέν μοι καὶ ὡς ἤκουσαν παρὰ σοῦ, ἀνδρὸς ἄντικρυς τὰ πρῶτα φέροντος τῶν ἐν τῇ Ἑλλάδι σοφῶν, τοῦτο δὲ ὡς οὕτω

[1] Περιλαμβάνονται ἐν τῷ κώδικι Guelferbytanus (Wolfenbüttel) Aug. 10. 8, αἰῶνος ιε', καὶ τῷ τῆς ἐν Μεδιολάνῳ βιβλιοθήκης Trivulziana 873 (Scaff. N° 83 Palch. N° 7), αἰῶνος ιε'. Ἐξεδόθησαν δὲ τινὲς μὲν πλήρεις, τινὲς δ' ἐν μέρει ὑπὸ *Theodor Klette* (Beiträge zur Geschichte und Litteratur der Italienischen Gelehrtenrenaissance. III. Die Griechischen Briefe des Franciscus Philelphus. Nach den Handschriften zu Mailand (Trivulziana) und Wolfenbüttel. Greifswald. 1890) καὶ ὑπὸ τοῦ *Legrand* (Cent-dix lettres grecques de François Filelfe. Ἐν Παρισίοις. 1892), μόνον τὸν κώδικα τοῦ Μεδιολάνου λαβόντος ὑπ' ὄψιν.

Τὴν μὲν ἔκδοσιν τοῦ Klette ἐδήλωσα κατωτέρω διὰ τοῦ K. τὴν δὲ τοῦ Legrand διὰ τοῦ L. – M = ὁ κῶδιξ τῆς Trivulziana. G = ὁ Guelferbytanus. Οὐδὲν δ' ἐσημείωσα περὶ τῶν ἐμῶν διορθώσεων περὶ τὴν στίξιν.

[2] Ἐξεδόθη πλήρης ὑπὸ Klette ἔνθ' ἀν. σ. 115 κ. ἑ. καὶ ὑπὸ τοῦ Legrand ἔνθ' ἀν. σ. 50 κ. ἑ. ὑπ' ἀρ. 24.

1. Ἀργυροπούλῳ KL: αργυροπούλῳ M 2. ἱερεῖ KL: ἱερεῖ M 5. παρὰ σοῦ KL: παρά σου M

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΕΠΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΤΡΟΠΗ ΕΚΔΟΣΕΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΗΜΟΣΙΟΓΡΑΦΙΑ ΙΩΑΝΝΗΣ Ν. ΚΑΛΟΓΕΡΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

φράσεως ἔχουσαν ὡς καὶ δοκεῖν ἀκριβῶς ὑπό τινος τῶν Μουσῶν ἐξειργάσθαι. Καὶ δή σου τὸ τῆς φύσεως εὐφυές τε καὶ περιδέξιον ἐπιεικῶς ἐμακάρισα, ὅτι περ οὕτως ἐν ἀμφοτέροις ἐξαρκεῖς τοῖς λόγοις, τῷ τε τῶν ῥητόρων καὶ τῷ τῶν φιλοσόφων, ὡς οὐδ' ἄν τις ἕτερος περὶ θάτερον ἤδη χωρίς. Ὦ Μοῦσαι καὶ Ἑρμᾶ καὶ Ἄπολλον, οἵους, οἵους ἡμῖν τροφίμους ἀπεργάζεσθε. Καὶ γὰρ ἐγὼ τοῖς σοῖς γράμμασιν ἐντυχών, ὦ μακάριε, πάνυ γε δὴ ἐδόκουν τινὶ τῶν πάλαι ἐκείνων τοῖς ἑλληνικοῖς μάλιστα προςδιατετριφότων λόγοις συνεῖναι. Οὕτω καθάπαξ ἑλληνίζουσα ἦν κατ' ἀκρίβειαν ἡ καλὴ παρὰ σοῦ πρὸς ἡμᾶς ἐπιστολὴ ἢ μᾶλλον, ὡς εἰπεῖν, ἀττικίζουσα, καθάπερ τινὸς οὖσα τῶν Ἀθήνησι τοὺς λόγους καὶ τὴν φιλοσοφίαν παιδευθέντων.

Τῆς μέντοι γε διαθέσεως, ἣν πρὸς ἡμᾶς ἔχειν φῆς, πολλὴν οἶδά σοι χάριν, καί σοι πολλὰ πρὸς θεοῦ ἀγαθὰ γένοιτο. Πιστεύω δέ σε οὕτω διακεῖσθαι πρὸς ἡμᾶς, ὅτι περ καὶ ἡμεῖς οὕτως ἔχομεν περὶ σέ· οὐ γὰρ ἂν τὸν ἐμὸν παῖδα Μάριον παρὰ σοὶ φοιτᾶν ἐβουλόμην, μή τινος καὶ πρὸς τῇ τῶν σῶν ἠθῶν εὐκοσμίᾳ, προηγησαμένης σχέσεως ψυχῆς, εἰ καὶ ταχέως ὁ Μάριος, ὡς ἤνεγκεν ἡ φήμη ἡμῖν, τὸν τῆς διδασκαλίας ζυγὸν ἀποσεισάμενος, τὸν ἄνετον βίον ἠγάπησε, τῆς πατρικῆς σου καὶ γλυκείας ἐπιστασίας ἀποστάς· ᾧ καὶ συνέφερεν ἄν, ὡς ἔμοιγε δοκεῖ, καὶ πολλῷ μᾶλλον, ἐνταῦθα μένειν παρ' ἡμῖν ἢ αὐτόθι παρεῖναι, ἐρήμῳ γε οὕτως ὄντι προστάτου. Οὐ γὰρ δὴ μόνον οἷς εἶχεν οὐ προςέθηκεν, ἀλλὰ καὶ ἅπερ αὐτόσε ἦλθεν ἔχων ἀφ' ἡμῶν προςαφῄρηται. Τί γὰρ ἄν τις οὐ λέγοι τἀληθῆ πρὸς σέ, φίλον γε πάλαι ὄντα καὶ ἄνδρα καλὸν κἀγαθόν; Ἀλλὰ περὶ τούτων ἅλις.

Διάγει αὐτόθι παρὰ τῷ τῶν Ἐνετῶν λεγομένῳ βαΐλῳ Πέτρος

3. ὅτι περ L: ὅπερ K ἐξαρκεῖς K: ἐξαρκοῖς L 5. Ἑρμᾶ L: Ἑρμᾶν (sic) K: ἑρμᾶν M 8. προσδιατετριφότων MGK: προσδιατετροφότων L 9. καθάπαξ L: καθ' ἅπαξ K 11. καθάπερ τινὸς KL: καθάπέρ τινος M 13. φὴς L: φῇς K 14. οἶδά KL: οἶδα M 17. μή τινος M: μοί τινες G κατὰ K 19. τὸν τῆς L: τὸ τῆς K

ΕΡΓΑΣΤΗΡΙΟ ΕΚΔΟΣΕΩΝ ΙΩΑΝΝΙΝΑ ΦΙΛΟΣΟΦΙΑΣ ΠΡΟΤΟΜΕΑΣ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΕΠΟΦΗΤΕΙΑΝΩΝ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τις ὁ Περλέων, νεανίσκος τὴν ἀρετὴν ἐν τοῖς μάλιστα ἀσπαζόμενος, ὃν καὶ τοῖς ἡμετέροις υἱέσιν εἰκότως συναριθμῶ. Καὶ γὰρ οὐ μόνον ἐμοὶ ἐγένετο μαθητής, ἀλλὰ καὶ πλεῖστα ἡμᾶς ἀγαπᾷ τε καὶ φιλεῖ, μᾶλλον, ὡς λόγον εἰπεῖν, ἢ τὸν ἑαυτοῦ πατέρα, ὥςτε
5 κἀμοῦ κελεύοντος ἕτοιμος οὗτος κἂν εἰς πῦρ κατὰ παροιμίαν ἐμβῆναι· καὶ, ὡς οἶμαί γε, εὖ τε καὶ καλῶς οὕτως ἔχει· ὁ μὲν γὰρ τὴν ὕλην οἰονεὶ μόνην δέδωκεν αὐτῷ τοῦ εἶναι, ἡμεῖς δὲ τὸ εἶδος, τιμιώτερον δὲ πολλῷ τὸ εἶδος, ὡς οἶσθα, τῆς ὕλης· εἴπερ ἐκείνη μὲν ἐφίεσθαι δοκεῖ τοῦ εἴδους μᾶλλον, τοῦτο δὲ ἐκείνης ἧττον.
10 Τιμιώτερος οὖν νομισθείη ἂν τῷ Πέτρῳ ὁ τό γε κρεῖττον αὐτῷ καὶ τιμιώτερον παρεσχηκὼς καὶ κατὰ τὸ εἰκὸς ἄρα ἥδη καὶ φίλτερος. Τοῦτον τοίνυν συνίστημί σοι, ὦ φίλτατε, ὡς ἐμὸν φίλον τε καὶ υἱὸν ἐμοὶ μὲν ὄντα, σαυτῷ δὲ ἐσόμενον, εἴπερ καὶ σὺ τῷ ἐμῷ χρώμενος παραδείγματι διδάξεις αὐτόν. Διατρίβει γὰρ παρ,
15 ὑμῖν τῆς ἑλληνικῆς μαθήσεως ἕνεκεν, οὐκ ἄμοιρος ἐλθὼν τῶν Μουσῶν. Ἔρρωσο.

Μεδιολάνοθεν, ταῖς εἰδοῖς Ἀπριλίου, ἔτει ἀπὸ τῆς Χριστοῦ γεννήσεως χιλιοστῷ τετρακοσιοστῷ πρῶτῳ.

2.

(Ἐκ Μεδιολάνου, 5 Νοεμβρίου 1457)[1].

Φραγκίσκος ὁ Φίλελφος Ἰωάννῃ τῷ Ἀργυροπούλῳ χαίρειν.

20 Βουλόμενος ἔγωγε καὶ τοῖς τῶν Ἑλλήνων μέλεσιν ἄλλοις τε καὶ ἄλλοις καὶ τὰς λυρικὰς ἡμετέρας χρῆσθαι ᾠδὰς, γέγραφά σοι

[1] Εὕρηται ἐκδεδομένη ὑπὸ τοῦ Klette ἔνθ' ἀν. σ. 131 καὶ ὑπὸ τοῦ Legrand ἔνθ' ἀν. σ. 90 ὑπ' ἀρ. 48.

1. Περλέων ἔγραψα: Περλέων K: ὁ Περλίων L 5. κἂν M κατὰ L: λείπει ἐν τῷ G κατὰ K 13. τε L: λείπει K 14. διδάξεις ἔγραψα: διδάξῃς KL 15. ἕνεκεν L: εἵνεκεν K ἄμοιρος L: ἄμειρος K 21. ἡμετέρας KL: ἡμετερας M

ΕΓΑΖΗΡΙΟ ΕΠΙΣΤΗΜΟΝΙΚΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΗΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

διὰ στίχων, ὡς οἶσθα, τὸ παρὸν ἐλεγεῖον, τὴν ἡμετέραν δηλονότι φιλίαν πᾶσιν ἀνθρώποις ἐναργῆ ποιησόμενος. Μὴ θαύμαζε δὲ μουσικώτατος ὢν τὴν ἐμὴν ἀμουσίαν· Λατῖνος γὰρ ὑπάρχων αὐτὸς, οὐ δὴ πάμπαν δύναμαι ἑλληνίζειν. Ἄλις δὲ ὑμῖν τοῦ ἐπαίνου, ὅτι ἔξεστιν ἐν τοῖς ἡμετέροις τολμᾶν καί τι τὸ μὴ ὂν πάντη κοινὸν τοῖς πολλοῖς. Σὺ μὲν οὖν, ὦ φίλτατε, ποιήσεις πρᾶγμά μοι ποθεινὸν, τὴν σοῦ διάνοιαν περὶ τούτου δηλώσων· τὰ γὰρ φαινόμενά σοι γενήσεταί μοι χρησμὸς δελφικός. Ἔρρωσο.

Μεδιολάνοθεν, ταῖς νώναις Νοεμβρίου ϛυνζ'.

3.

(Ἐκ Μεδιολάνου, 13 Νοεμβρίου 1457)[1].

Φραγκίσκος ὁ Φίλελφος Ἰωάννῃ τῷ Ἀργυροπούλῳ χαίρειν.

Ἐπέστειλά σοι μὲν καὶ πρότερον, οὔθ' ἅλις δὲ, οὔτε πρὸς τὰ ἔμοιγε ἀναγκαῖα ἐπέστειλα, ἀλλὰ οὔτ' ἔτι πρὸς τὰ σοί. Οἶσθα μὲν οὖν, ὅτι ἀπελθόντι σοι ἀφ' ἡμῶν τέτταρα ὑπάρχειν εἶπον ἐγὼ, ἅπερ ἂν χαρισάμενός μοι πρᾶγμα ἐποίεις ἐν τοῖς μάλιστα ποθεινὸν, τὴν ἅπασαν δηλονότι περὶ τῶν πέντε διαλέκτων γραμματικὴν πραγματείαν, ἐν πρώτοις δὲ τὴν αἰολικὴν, καὶ δεύτερον περὶ πο-

[1] Εὕρηται ἐκδεδομένη ὑπὸ τοῦ Klette ἔνθ' ἀν. σ. 132 κ. ἑ. καὶ ὑπὸ τοῦ Legrand ἔνθ' ἀν. σ. 92 ὑπ' ἀρ. 50.

2. ἐναργῆ KL: ἐνεργῆ M 4. ὑμῖν L: ἡμῖν K 5. καί τι KL: καὶ τὶ M 6. πολλοῖς KL: καλοῖς πολλοῖς ἐν τῷ G κατὰ K πρᾶγμά KL: πρᾶγμα M 7. τὴν σοῦ KM: τήν σου L 8. ἔρρωσο LM: ἔρρῶσο M 9. Νοεμβρίου KL: νουεμβρίου M 13. τὰ σοὶ KM: τά σοι L 16. γραμματικὴν L: γραμματικῶν K

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

σότητος συλλαβῶν, καὶ τρίτον περὶ προςῳδιῶν, τὸ τελευταῖον δὲ περὶ συντάξεως. Ταῦτα γὰρ ἔφης παρεῖναι πάντα γε, ἄλλα μὲν σοὶ, ἄλλα δὲ φίλοις τισί. Σπουδαῖον τοίνυν, ὦ φίλων ἄριστε, γενέσθαι μοι αὐτὰ ὅσον δύνασαι τάχιστα.

5 Καὶ ταῦτα μὲν ἐμά. Νῦν δὲ περὶ σοῦ ἄκουσον διὰ βραχέων.

Ἐρωτήσαντι πάνυ γε πολλάκις ἐμοὶ περὶ τῶν σῶν πραγμάτων ἀπαγγέλλουσιν ἅπαντα κατὰ τὴν ἐπιθυμίαν ἐμὴν, καὶ ὅτι ἔχεις εὖ καὶ καλῶς κατὰ σῶμα, καὶ ὅτι παρὰ πᾶσί τε καὶ ἐν πᾶσιν εὐδοκιμεῖς. Ἅπερ δὴ κἀκούων αὐτὸς καθ' ὑπερβολὴν ἥδομαι· ἓν δὲ καὶ 10 μόνον λυπεῖ οὐκ ὀλίγους, ὅτι τὰ τοῦ καλοῦ κἀγαθοῦ ἀνδρὸς ἐκείνου Λεονάρδου τοῦ Ἀρρητίνου γεγραμμένα ἀποδοκιμάζων διάγεις· ἀλλὰ μὴ ποίει τοῦτο σὺ, ὦ φίλτατε ἄνερ· μᾶλλον δὲ ἐπαινεῖσθαι βουλόμενος, ἐπαίνει καὶ αὐτὸς, σοφὸς ὤν. Ὁ ἀνὴρ γὰρ ἐκεῖνος τοιοῦτος τὴν φήμην παρὰ Λατίνοις ἐγένετο ἅπασιν, ὥςτε καὶ, 15 καθ' Ὅμηρον, τὸ κλέος οὐρανὸν ἥκει. Ἓν δὲ αὐτὸς ὁμολογεῖν τοῦτο οὐκ ὀκνῶ, ὅτι οὐδεὶς ἐκείνου μέχρι τοῦ νῦν παρὰ τοῖς ἡμετέροις ἐφάνη ἐν τοῖς λογίοις ὠφελιμώτερος ἀνήρ. Καὶ ταῦτά σοι παρ' ἡμῶν κατὰ νόμον φιλίας. Ἔρρωσο.

Μεδιολάνοθεν, ταῖς εἰδοῖς Νοεμβρίου, ἔτει ϛυνζ'.

---

1. συλλαβῶν KL: συλλαβῆς M 2. ἄλλα KL: ἀλλὰ M μὲν σοὶ KM: μέν σοι L 3. ἄλλα KL: ἀλλὰ M 5. ἐμά KL: εμὰ M 8. ἐμὴν KL: εμὴν M 8. πᾶσί τε KL: πᾶσϊ τὲ M 10. λυπεῖ L: λυπεῖν KM 11. Λεονάρδου L: Λεωνάρδου KM Ἀρρητίνου KL: ἀρρήτίνου M 12. ἄνερ KL: ἔνερ M 17. λογίοις KL: λογίοις et avec le premier i en surcharge κατὰ L ἀνὴρ KL: ανὴρ M ταῦτά σοι L: ταῦτα σοὶ KM 18. Ἔρρωσο KL: ἔρρώσο M

ΕΠΑΣΗΡΙΟ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΘΝΟΥΣ ΚΑΙ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΘΥΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΑΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

4.

(Ἐκ Μεδιολάνου, 26 Φεβρουαρίου 1458)[1].

Φραγκίσκος ὁ Φιλέλφος Ἰωάννῃ Ἀργυροπούλῳ χαίρειν.

Ἰάκωβος Ἀκτίολος ὁ τὴν παρ' ἐμοῦ ἀποδιδούς σοι ἐπιστολὴν νεανίσκος ἐστὶν ἐν τοῖς πρώτοις καλὸς τά τε ἤθη καὶ τὴν περὶ λογιότητα σπουδήν. Τοῦτον τοίνυν, ὄντα ἐμὸν, ἔτι δὲ καὶ σὸν γενέσθαι βουλόμενον, συνίστημί σοι παντὶ τοῦ κοινοῦ ἡμῖν καθήκοντος σθένει. Ἐν πάσῃ πόλει καὶ δήμῳ ἀγαθῶν γε δεῖ φίλων, μάλιστα δὲ ἐν τῇ δημοκρατίᾳ· αὐτόθι γὰρ αἰεὶ μεταβολὴ τῶν πραγμάτων πέφυκεν εἶναι καὶ πάντα μεστὰ ταραχῆς. Ἐγὼ μὲν οὖν μέχρι τοῦ νῦν μίαν καὶ μόνην τυγχάνω λαβὼν παρὰ σοῦ ἐπιστολὴν, καὶ ταύτην μὲν ἐπαινοῦσαν ἡμᾶς οὐ κατ' ἀλήθειάν γε, ἀλλὰ κατ' εὔνοιαν, οὐδὲν δὲ περὶ τῶν τῇ ἐμῇ ἐφέσει συντεινόντων ἀναγγέλλουσαν. Ἐπέστειλα γάρ σοι αἰτῶν ἂν ἔχῃς τι οὐ κοινὸν τοῖς πολλοῖς περὶ ποσότητος συλλαβῶν καὶ περὶ προσῳδιῶν, ἔτι δὲ καὶ περὶ λόγου συντάξεως καὶ περὶ τῶν πέντε διαλέκτων διαφορᾶς, μάλιστα δὲ περὶ τῆς αἰολικῆς· πρὸς ταῦτα γοῦν γράψας τὸ ἀκριβὲς, πρᾶγμα ποιήσεις ἡμῖν οὐκ ἀναγκαιότατον μόνον, ἀλλὰ καὶ ὡς ἥδιστον. Ἔρρωσο.

Μεδιολάνοθεν, τῇ δ' ἡμέρᾳ πρὸ Μαρτίου καλενδῶν, ἔτει ϛυνη'.

---

[1] Εὕρηται ἐκδεδομένη ὑπὸ τοῦ Legrand ἔνθ' ἀν. σ. 100 ὑπ' ἀρ. 53 καὶ ἐν μέρει ὑπὸ τοῦ Klette ἔνθ' ἀν. σ. 134.

1. Ἰωάννῃ KL: ιὀαννῃ M 2. ἐμοῦ KL: ἐμου M 3. τά τε KL: τὰ τὲ M 9. οὖν L: οὖν M 10. ἐπαινοῦσαν L: ἐπαινοῦσάν M 12. ἔχῃς L: ἔχεις KM 13. συλλαβῶν L: συλλαβῆς KM 14. συντάξεως L: καὶ συντάξεως K 15. διαφορᾶς L: διαφόρας K γοῦν L: γοῦν M 16. ἀκριβὲς L: ἀκρηβὲς M 17. ὡς ἥδιστον. Ἔρρωσο L: ὡσήδιστον ἔρρῶσο M

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΠΕΤΡΙΟΣ ΚΕΝΤΡΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Φ. ΠΕΤΡΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

5.

(Ἐκ Μεδιολάνου, 4 Ὀκτωβρίου 1458)[1].

Φραγκίσκος ὁ Φιλέλφος Ἰωάννῃ τῷ Ἀργυροπούλῳ χαίρειν.

Ὁ ἀποδιδούς σοι τὴν ἐπιστολὴν Γεώργιος Ἀλεξανδρινὸς ἐγένετο ἡμῖν μαθητής· ἔστι δὲ νεανίσκος καλὸς καὶ οὐκ ἄμοιρος τῶν Μουσῶν. Οὗτος οὖν τῆς σῆς ἐρῶν ἀρετῆς τε καὶ σοφίας
5 ἔρχεται εἰς Φλωρεντίαν· συνίστημί σοι τὸν ἄνθρωπον ὡς ἐμὸν μαθητὴν γεγονότα πρότερον, ἤδη καὶ σὸν γενησόμενον. Ἡμεῖς γὰρ ἄλλα δὴ πράττομεν. Ἔρρωσο, φίλη κεφαλή.

Τῇ πρὸ τῶν Ὀκτωβρίου νωνῶν τετάρτη, ἔτει φυνη'.

6.

(Ἐκ Μεδιολάνου, 11 Ὀκτωβρίου 1466)[2].

Φραγκίσκος ὁ Φιλέλφος Ἰωάννῃ Ἀργυροπούλῳ χαίρειν.

10 Γεώργιον μὲν Ἀσάνην, ὃν συνέστησάς μοι δι' ἐπιστολῆς σου τῆς ἡδίστης, εἶδόν τε ἀσμένως καὶ, ὡς εἰκὸς, ἐδεξάμην ἀσπα-

[1] Ἐξεδόθη ὑπὸ τοῦ Legrand ἔνθ' ἀν. σ. 103 κ. ἑ. ὑπ' ἀρ. 57 καὶ ὑπὸ τοῦ Klette ἔνθ' ἀν. σ. 136.

[2] Ἐξεδόθη ὑπὸ τοῦ Legrand ἔνθ' ἀν. σ. 125 ὑπ' ἀρ. 73 καὶ ὑπὸ τοῦ Klette ἔνθ' ἀν. σ. 148.

2. Ἀλεξανδρινὸς L: Ἀλεξανδρῖνος K ἐγένετο KL: εγένετο M 4. ἀρετῆς KL: αρὲτῆς M 7. ἄλλα KL: ἀλλὰ M 8. Τῇ KL: τὴ M 9. Ἰωάννῃ L: Γεωργίῳ Ἰωάννῃ M 11. τε ἀσμένως KL: τὲ ασμένως M

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΓΘΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΑΠΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

σίως· ἐγενόμην δὲ καὶ συνεργὸς αὐτῷ δι' ἐμῶν γραμμάτων ὅσον οἷός τε ἦν. Τί γὰρ ἂν ἄλλο καὶ δυναίμην ἐν τοιούτοις κλύδωσι καιρῶν; Κατοικτείρω μὲν οὖν τὴν τοιούτων ἀνδρῶν δυστυχίαν· ψέγω δὲ τὴν εὐτυχούντων πρὸς αὐτοὺς ἀμέλειαν, ἄλλως τε τῶν οὐκ εἰδότων τὸ σοφὸν ἐκεῖνο, τὸ εἰμαρμένον ἥξειν. Καὶ περὶ τούτων μὲν ἅλις. Συνήδομαι δέ σοι, ὦ φίλτατε, τῆς παρούσης ὑμῖν εὐδαιμονίας, ἣν καὶ ἀΐδιον διαμένειν εὔχομαι. Πλὴν ἐν τούτῳ δέομαί σου, ἵνα καὶ περὶ ἡμῶν ἐν καιρῷ λόγον τινὰ ποιήσῃς πρὸς τὸν καλὸν κἀγαθὸν ἄνδρα Πέτρον τὸν Μεδίκην. Οἶδε γὰρ καὶ αὐτὸς ἀκριβῶς ὅσον ἡμῖν πολλάκις ὑπεσχέθη.

Πρὸς τούτοις δ' ἂν ἐβουλόμην ὑπάρξειν ἡμῖν Ἐτυμολογικὸν ἐκεῖνο τὸ ἀρχόμενον *Ἄλφα παρὰ τὸ ἁλφῶ τὸ εὑρίσκω.* Τοῦτο γοῦν ἐάν ἐστιν αὐτόθι, διὰ τῶν σῶν γραμμάτων ἐμοὶ δηλώσας, πρᾶγμα ποιήσεις τῷ φίλῳ σου ποθεινόν. Ἔρρωσο, χρυσεία μοι κεφαλή.

Μεδιολάνοθεν, τῇ ε' πρὸ τῶν εἰδῶν Ὀκτωβρίου, ἔτει ᾳυξς'.

---

2. κλύδωσι KM: κλύδοσι L 3. δυστυχίαν KL: δυστυχείαν M 4. αὐτοὺς KL: αὐτους M 6. μὲν L: λείπει K φίλτατε KL: φίλτατὲ M 7. εὐδαιμονίας KL: εὐδαίμονίας M ἀΐδιον KL: ἀϊδιὸν M 10. ἀκριβῶς KL: ακριβῶς M 11. δ' ἂν KL: δὲν M 12. εὑρίσκω KL: εὑρισκω M 13. ἐάν ἐστιν L: ἐὰν ἐστὶν KM 14. ἔρρωσο KL: ἔρρῶσο M

ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΑΡΙΣΤΟΤΕΛΕΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΑΠΑΣΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

7.

(Ἐκ Μεδιολάνου, 22 Ἰουνίου 1469)[1].

Φραγκίσκος ὁ Φίλελφος Ἰωάννῃ τῷ Ἀργυροπούλῳ χαίριεν.

Ἀκούσας ἐγὼ τὴν καλλίστου σου καὶ ἠγαπημένου παιδὸς κατὰ Ῥώμην νεωστὶ ἄωρον τελευτήν, καὶ συνήλγησά σοι, ὡς δέον, τῆς συμφορᾶς καὶ οὐκ ὀλίγον ἐδάκρυσα· τοῦτο γὰρ καὶ ἡ φιλία ἡμῖν καὶ τὸ τῆς φύσεως ἀσθενὲς προεξένησεν· οὔτε γὰρ σιδηρῖτις ἡμῖν ἡ καρδία οὔτε θηριῶδες τὸ ἦθος,

« ἀλλ' ἤτοι θάνατον μὲν ὁμοίϊον, καθ' Ὅμηρον, οὐδὲ θεοί περ
καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν, ὁππότε μὲν δὴ
μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο ».

Διὸ πρέπει ἡμῖν, ὦ φίλτατε, εἴπερ γε φρονοῦμεν καλῶς, μετρίως φέρειν τὰ δοθέντα παρὰ θεοῦ, ἐπείπερ οὐδὲν ἄνευ τούτου συμβέβηκε τοῖς ἀνθρώποις· ἀτὰρ θεὸς καὶ, κατὰ τὸν ποιητὴν, ἄλλοτ' ἄλλῳ

Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ· δύναται γὰρ ἅπαντα.

Ἀφείλετο τοίνυν σοι ἡ παρὰ θεοῦ εἱμαρμένη τὸν προσφιλέστατον παῖδα· ἀλλὰ χἄτερον ἔχεις εὐσεβῆ τε καὶ συνετόν· ἔχεις καὶ θεοῦ εὐεργεσίᾳ ἄλλα πολλά τε καὶ καλά· τούτοις χρῆσθαι

[1] Ἐξεδόθη ὑπὸ τοῦ Legrand ἔνθ' ἀν. σ. 142 κ. ἑ. καὶ ἐν μέρει ὑπὸ τοῦ Klette ἔνθ' ἀν. σ. 156.

2. σου KL: του M 5. προεξένησεν ἔγραψα: προσεξένισεν M: προὐξένησεν L: ἐν τῷ ἀνεκδότῳ μέρει K 6. σιδηρῖτις L: σιδηρίτης M 8. ἀλαλκέμιν ἔγραψα: ἀλάλκεμεν L: ἐν τῷ ἀνεκδότῳ μέρει K ὁππότε L: ὁπποτε M 9. τανηλεγέος L: τανυλεγέος M 11. δοθέντα L. δωθέντα M ἄνευ L: ἀνεὺ M

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΟΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

χρεὼν καὶ χάριν εἰδέναι τῷ θείῳ. Καὶ γάρ, ὡς οἶσθα, οὕτως

. . . οὐ πάντεσσι θεοὶ χαρίεντα διδοῦσιν
ἀνδράσιν, οὔτε φυὴν, οὔτ' ἄρ φρένας, οὔτ' ἀγορητύν.
Ἄλλος μὲν γάρ τ' εἶδος ἀκιδνότερος πέλει ἀνὴρ,
ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει, οἱ δέ τ' ἐς αὐτὸν 5
τερπόμενοι λεύσσουσιν· ὁ δ' ἀσφαλέως ἀγορεύει,
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισιν,
ἐρχόμενον δ' ἀνὰ ἄστυ θεὸν ὡς εἰςορόωσιν.
Ἄλλος δ' αὖτ' εἶδος μὲν ἀλίγκιος ἀθανάτοισιν,
ἀλλ' οὔ οἱ χάρις ἀμφὶ περιστέφεται ἐπέεσσιν. 10

Ταῦτα μὲν τοίνυν σὺ σοφὸς ὢν καὶ τὰ τοιαῦτα διανοούμενος οὐ χρήσῃ παραμυθίᾳ. Εἶεν. Οὐ γὰρ λανθάνει ἡμᾶς τό τε μεγαλόψυχόν σου καὶ τὸ καρτερικὸν καὶ τὸ φρόνιμον κατὰ πᾶσαν περίστασιν.

Ἄκουσον νῦν τὸ ἐμόν. Ζητῶ παρὰ τῶν αὐτόθι κρατούντων δημοσίας πίστεως γράμματα. Ἀναγκάζομαι γὰρ ἰδίας πράξεως 15 χάριν εἰς Σήνην ἀπελθεῖν, ἐπανελευσόμενος καὶ σὺν τάχει Μεδιολάνοσε. Περὶ δὲ τούτου κατ' ἀκρίβειαν γέγραφα εἰς τόν τε κορυφαῖον ἄρχοντα Πέτρον Μεδίκην καὶ πρὸς τὸν καλὸν κἀγαθὸν ἱππέα χρυσοῦν Θωμᾶν Σωδερῖνον.

Ἀξιῶ δὲ καὶ σὲ παντὶ σθένει σπουδάσαι ὑπὲρ ἡμῶν, τοῦτο δὲ 20 καὶ λαθραίως διὰ τοὺς ἐπιβούλους· οὐ γὰρ ἀγνοεῖς τὰ ἡμέτερα. Ἔρρωσο, φίλη κεφαλή.

Μεδιολάνοθεν, τῇ δεκάτῃ πρὸ Ἰουνίου καλενδῶν, ἔτει ἀπὸ Χριστοῦ γεννήσεως ϛυξθ΄.

---

3. ἀγορητὺν L: ἀγορήπιν K 6. λεύσσουσιν L: λεύσουσιν M 7. μετὰ L: μετα M 8. ἐρχόμενον ἔγραψα: ἐρχόμενοι L: λείπει K ὡς L: ὡς K 9. αὖτ' ἔγραψα: αὖ L: λείπει K 10. ἀμφὶ περιστέφεται ἔγραψα: ἀμφιπεριστρέφεται L: ἐν τῷ ἀνεκδότῳ μέρει K 15. ἀναγκάζομαι L: ἀναγκαζομαι K 20. καὶ σὲ M: καί σε L ὑπὲρ L: ὑπερ M 21. λαθραίως KL: λαθρέως M ἡμέτερα L: ἡμέτερα K 22. Ἔρρωσο L: ἔρρῶσο M

ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΤΟΜΕΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝΑΣΤΑΣΙΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

8.

(Ἐκ Μεδιολάνου, 18 Ἰουλίου 1474)[1].

Φραγκίσκος ὁ Φιλέλφος Ἰωάννῃ Ἀργυροπούλῳ χαίρειν.

Ἰδὼν μὲν ἐγὼ ὥςπερ ἐν ἡλίου λαμπηδόνι τὴν ἀγάπην σου πρὸς ἐμὲ, ἡγησάμενος δὲ ὅτι καὶ τὴν ἡμετέραν εὔνοιαν περὶ σὲ ἐκ τῶν πρόπαλαι κατορθωμάτων ἡμῶν οἶσθα σαφῶς, ἀφικνοῦμαι νῦν καὶ μετὰ θάρσους πάνυ γε πολλοῦ, τῇ τε φροντίδι σου καὶ φρονήσει χρησόμενος παρὰ τῷ αὐτόθι ἀρχιερεῖ. Οὐ γὰρ ἀγνοεῖς, οἶμαι, πῶς ἐνταῦθα διάγομεν, ἐπεὶ ἐκ τοῦ κοινοῦ παιδὸς, τοῦ καλοῦ τε καὶ ἀγαθοῦ νεανίσκου Ἰσακίου, μεμάθηκας ἅπαντα· οἶδε γάρ τὰ παρ' ἡμῖν ἀκριβῶς. Τί γοῦν βουλόμενος γράφω; Ποιήσειν σε λόγον ἐν δέοντι ὑπὲρ ἡμῶν πρὸς ἀρχιερέα καὶ παρακινήσειν αὐτὸν πρὸς τὴν τῶν Μουσῶν ἁρμονίαν ἀπὸ τῆς καλογερικῆς λεγομένης ἀμουσίας. Παμμέγιστός τις ὢν ὑπάρχει αὐτὸς, ὁμολογῶ, καὶ λαμπρότατος ἀνὴρ περὶ πᾶσαν φυσικὴν φιλοσοφίαν καὶ τὰς θείας ἐπιστήμας· ἀλλὰ χρὴ κοσμεῖν ταύτας ταῖς ἡδείαις φωναῖς τῶν Μουσῶν· τούτων γὰρ ἄνευ πᾶς λόγος ἀγροικότατος πέφυκεν εἶναι. Πῶς ἄρα τοῦτο ποιεῖν νομιστέον, ἐὰν τῶν Μουσῶν τοὺς ὑπηρέτας οὐκ ἀσπάζεται μόνον, ἀλλὰ καὶ μεγαλοπρεπῶς ἀσπάζεται δὴ καὶ τιμᾷ· τὰ δ' ἄλλα σε τοσοῦτον ὄντα καὶ τοιοῦτον τὴν

[1] Ἐξεδόθη ὑπὸ τοῦ Legrand ἔνθ' ἀν. σ. 178 ὑπ' ἀρ. 101 καὶ κατὰ μέγα μέρος ὑπὸ τοῦ Klette ἔνθ' ἀν. σ. 169.

2. μὲν L: λείπει K λαμπηδόνι KL: λαμπηδῶνι M 5. πολλοῦ KL: πολλου M 6. ἀρχιερεῖ KL: ἀρχιερει τοῦ πρώτου ει διαγεγραμμένου M 10. παρακινήσειν L: παρακινεῖν K 11-12. λεγομένης L: ἐν τῷ ἀνεκδότῳ μέρει K 13. πᾶσαν L: πᾶσασαν M: ἐν τῷ ἀνεκδότῳ μέρει K 18. ἄλλα σε L: αλλ' ἄσε M: ἐν τῷ ἀνεκδότῳ μέρει K

ΕΠΑΣΗΡΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝΑΠΛ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τε γλῶτταν καὶ τὴν σοφίαν οὐ λέλησται. Ποίησον τοίνυν ὑπὲρ ἡμῶν ὅσον ἀπαιτεῖ λόγος τε καὶ νόμος φιλίας. Ἔρρωσο.

Μεδιολάνοθεν, τῇ πέμπτῃ καὶ δεκάτῃ πρὸ Αὐγούστου καλενδῶν, ἔτει ἀπὸ Χριστοῦ γεννήσεως ᾳυοδ'.

9.

(Ἐκ Βονωνίας, 30 Ἰουνίου 1475)[1].

Φραγκίσκος ὁ Φιλέλφος Ἰωάννῃ Ἀργυροπούλῳ χαίρειν. 5

Συνέτυχον περὶ σοῦ ἐς Φλωρεντίαν ἐλθὼν τῷ τε Λαυρεντίῳ Μεδίκῃ, ἀνδρὶ περιφανεῖ τε καὶ ἀρίστῳ, καὶ τοῖς ἄλλοις σου φίλοις τε καὶ γνωρίμοις, μηθὲν ὅλως παρελθὼν ὅσα πρός σου τὴν ἀξίαν συμφέρειν ἐνόμισα. Ἀσπάζονται μὲν οὖν ἅπαντες τοὔνομά σου καὶ τὴν σοφίαν ἐπαινοῦσι· σαφὲς δὲ ἄλλο μηθὲν ἀποφαίνονται. Ἡ 10 παρουσία σου, ὡς ἔμοιγε δοκεῖ, πολλὴν ῥοπὴν ἕξει πρὸς τὸ πέρας ἀφίξεσθαι. Ἔρρωσο.

Βονωνίαθεν, πρὸ τῶν Ἰουλίου καλενδῶν τῇ πρώτῃ ἡμέρᾳ, ἔτει ἀπὸ Χριστοῦ γεννήσεως ᾳυοε'.

---

[1] Ἐξεδόθη ὑπὸ τοῦ Legrand ἔνθ' ἀν. σ. 182 ἐν ἀρ. 103 καὶ ὑπὸ Klette ἔνθ' ἀν. σ. 170.

1 οὐ L: ού M λέλησται ἔγραψα: λέληται M: λέλεκται L: ἐν τῷ ἀνεκδότῳ μέρει K 2. λόγος L: λογος M Ἔρρωσο L: ἔρρῶσο M 3. πέμπτῃ L: πρώτῃ K 6 τῷ KL: τῷ M 8. τε KL: τὲ M πρός σου L: προς σου M: πρὸς σοῦ K 10. μηθὲν L: μηδὲν K 11. ἔμοιγε L: ἐμοὶ K 12. ἀφίξεσθαι K: ἀφῖξαι L Ἔρρωσο KL: ἔρρῶσο M

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΤΟΧΟΣ ΤΗΣ Κ. Ν. ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΔΙΑΦΟΡΩΝ ΕΠΙΣΤΟΛΑΙ

ΠΡΟΣ ΙΩΑΝΝΗΝ ΑΡΓΥΡΟΠΟΥΛΟΝ

1

ΜΙΧΑΗΛ ΑΠΟΣΤΟΛΗ ΑΡΓΥΡΟΠΟΥΛΩ[1]

Ἑσπέρας, ὅτε ἤδη συνεσκόταζεν, ἄραντες ἐκ Βυζαντίου τὸ τῆς Προποντίδος διεπλέομεν πέλαγος, γαληνιαῖον ἡμῖν ἄνεμον τοῦ Ποσειδῶνος ἐμπνεύσαντος, ἅτε νέον αὐτὸν ἐγνωκόσι καὶ τὸν
5 αὐτοῦ γε πατέρα, μηδέν τοι τοιοῦτον νὴ Δία πρῶτον ἰδοῦσιν ὅτε τούτῳ ἦμεν ἐν ἀγνωσίᾳ. Καὶ πρὶν τέτταρας ἡμέρας ἐκτελεσθῆναι μηδενὸς τοῦ τῶν ἐν θαλάττῃ πειραθέντες δεινῶν ἣν Μίνως Διὸς παῖς ἐκόσμει τῇ εὐνομίᾳ κατήρκαμεν, πάντ' ἄνω καὶ κάτω τὰ τῆς πόλεως εὑρηκότες, πόλεμόν τε κακὸν καὶ ἀφορίαν τῆς Δήμη-

[1] Ἐξεδόθη ὑπὸ Αἰμιλίου Legrand (L) ἐν τῇ Bibliographie hellénique... aux XVe et XVIe siècles. Ἐν Παρισίοις. 1815. (Τόμ. Β' σ. 251) κατὰ τοὺς ἑξῆς κώδικας· α') Παρισιακὸν τῆς Ἐθνικῆς βιβλιοθήκης ὑπ' ἀρ. Suppl. grec. 205, αἰῶνος ιε' τελευτῶντος (P)· β') κώδικα τῆς βιβλιοθήκης Ἀμβροσίου Firmin Didot (V)· γ') κώδικα ἀγοσθέντα ὑπὸ τοῦ Legrand ἐν Κωνσταντινουπόλει (v). Ἐγὼ δ' εἶχον ὑπ' ὄψιν καὶ τὸν ὑπ' ἀρ. Phil. gr. LXXXV (Nessel) τῆς ἐν Βιέννῃ Αὐτοκρατορικῆς βιβλιοθήκης, ις' αἰῶνος (B).

1. Ἐπιγραφή: Ἀργυροπούλῳ PBvL: τῷ σόφῳ Ἀργυροπούλῳ V 3. γαληνιαῖον L: γαληνναῖον PV· γαληναῖον vB
5. τοιοῦτον PvBL: τοιοῦτο V

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΚΡΑΤΗΤΙΡΙΟ ΕΡΕΥΝΩΝ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΓΝΩΣΗΣ Ν. ΕΛΛΑΔΟΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τρος, ταῦτα δὴ τὰ γινόμενα, οἷς δὴ καὶ οὗ ἕνεκεν ἐγεγόνειμεν ἀπωλέσαμεν. Οὐδὲ γὰρ οὐδ' εἰσὶν οἱ παρ' ἐμὲ φοιτῶντες τῶν τεττάρων ἐπέκεινα τοῖς τε ἄλλοις ἃ ἡμῖν προκατείλεκται καὶ μάλισθ' ὅτι τὰ Ῥωμαίων εἰώθασιν ἐκπαιδεύεσθαι. Οἱ δέ γε ἡμῖν ὄντες μόλις ἂν ἀρκεῖεν ᾧ πίνομεν ὕδατι. Κακὸν οὖν φυγόντες εὕρομεν ἄμεινον, τὸ τοῦ λόγου, εἰ δὴ κακὸν ἐκεῖνο κλητέον πρὸς τόδε παρατιθέμενον. Καὶ εἰ μὴ παρόντες ἡμῖν ἐτύγχανον Ἀπολλώνιος καὶ Διὸς μεγάλου τὸ δῶρον, ἀλλὰ καὶ Πολυδεύκης σὺν Ἀλκινόῳ, οὐδὲν ἂν ἦν τὸ κωλῦον εἰς τὸ σύννομον ἄστρον ἡμᾶς ἀφικέσθαι ἢ τάχα που καὶ εἰς γυναικὸς βίον ἐλεύσεσθαι. Ἀλλὰ ταυτὶ μὲν οὐκ ἄνευ θεῶν ἡμῖν ἡμαρτήκει, μή τινος τῶν θυραίων ἀγαθῶν ἀπολελαυκότες τάχιστά τε ἐντεῦθεν ἀπῶμεν πρὶν τὸν ἱερὸν τοῦ Διὸς σηκὸν κατιδεῖν καὶ τῶν ἄλλων θεῶν ἀσπάσασθαι τὰ ἀγάλματα. Πάντα μὲν οὖν ἡμῖν ὑποιστέα τούτους ἔχουσί τε συμμάχους καὶ οὕςπερ ἔφημεν γράφουσιν. Οὐδὲ γὰρ μεταβαίημεν ἂν ἔστ' ἂν διδοίη θεὸς ἃ ἂν βουλώμεθα διανῦσαι, εἶτ' αὖθις δεισίθεος ἡμᾶς διαδέξεται Πλάτων, σοὶ καὶ τοῦτ' εἰ δοκείη.

---

5. ᾧ PVL: ὅ vB ὕδατι PvBL: ὕδατος V 7. μὴ PVBv: μὲν L Ἀπολλώνιος PVvB: Ἀπόλλωνος L 9. κωλῦον ἔγραψα: κωλύον PVvBL σύννομον PVvL: σύνομον B ἀφικέσθαι PVBv: ἀφίκεσθαι L 10. τάχα PVvL: τάχά B 11. θυραίων PVvL: θυρέων B 15. οὕςπερ ἔφημεν γράφουσιν PvBL: οὓς προέφημεν μεταγράφουσι V

ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΑΝ. ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΑΠΑΓΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

2.

ΤΟΥ ΑΥΤΟΥ

ΙΩΑΝΝΗ ΑΡΓΥΡΟΠΟΥΛΩ[1]

Ζεὺς, ᾧ πάντα δουλεύει, θεοὶ καὶ δαίμονες καὶ ψυχαὶ καὶ ἃ θεῶν ἔργα, ᾗ θεῖος ὁ Πλάτων διακελεύεται, Ἑρμῆς τε, ᾧ λόγον ἐνέταξεν ὁ καὶ τῶν ἄλλων ἑκάστῳ τάξεις τε ἀϊδίους καὶ ἐνεργείας διανειμάμενος, καὶ οἳ τοῦ γένους ἡμῶν εἰλήχασι κήδεσθαι καὶ τῆς ἐμῆς, εἰ οἷόν τ' εἰπεῖν, σωτηρίας καὶ ὠφελείας ἀντιποιούμενοι, ἐς τὸ ἱερὸν τέμενος τοῦ Διὸς, ὁ Μίνως ἐκόσμει τε καὶ Ῥαδάμανθυς, κατηνάγκασαν ἀφικέσθαι. Δήμῳ γὰρ παλαιῶν ἐντετυχηκὼς φιλοσόφων, ὧν ἔργον μοι βουλομένῳ καταριθμεῖν τὰ ὀνόματα, θεόν τε ἔγνων τὸν τοῦ παντὸς ποιητὴν καὶ, ὅτε δεῖ, προνοούμενον, οἷς τε λόγοις κυβερνᾶται τὸ πᾶν καὶ ὅπως γένος ἀνθρώπων διαιτᾶται καὶ δεδιήτηται. Καὶ σοὶ δὲ τὼμαυτοῦ φίλῳ, ὅτε θεός τις κατελθὼν προνοήσαιτο, τῶν θεόθεν μοι ἀγαθῶν κοινῶν μεταδώσω· θυραίων δὲ ἀγαθῶν εἰ τῇδε κατηρκότες οὐ μετεσχήκαμεν, καὶ τοῦτο θεῶν ἡγούμεθα δῶρον. Τουτὶ γὰρ τὸ θνητὸν, ἐξ οὗ πάντα φύεται πάθη θνητὰ, εἴ τινος ὕλης ἐντύχοι τῶν παθῶν δεκτικῆς,

[1] Ἐξεδόθη ὑπὸ τοῦ Alexandre (Plethon Traité des lois. Ἐν Παρισίοις. 1858 σ. 372 κ. ἑ.) κατὰ τὸν Παρισιακὸν κώδικα Supplement grec 205 (P), αἰῶνος ιε' τελευτῶντος, καὶ ὑπὸ τοῦ Legrand (Bibliographie hellénique... aux XVe et XVIe siècles. Τόμ. Β' σ. 242) (L) κατὰ τοὺς αὐτοὺς καὶ ἡ προηγουμένη ἐπιστολὴ κώδικας P, V καὶ v. Ἐνταῦθα δ' ἐκδίδεται μετ' ἀντιβολὴν πρὸς τὸν ἐν τῇ Αὐτοκρατορικῇ βιβλιοθήκῃ τῆς Βιέννης Phil. Gr. LXXXV, ις' αἰῶνος (B).

2. Ἰωάννῃ ἀργυροπούλῳ v: ἀργυροπούλῳ B: Ἰωάννῃ κορέστῃ V: Ἰωάννῃ P 7. οἷόν L: οἷον B 8. ἐκόσμει τε L: ἐκόσμη τὲ B 14. κοινῶν B: λείπει PVv 15. κατηρκότες PVB: κατηρτηκότες v 17. τινος ὕλης δεκτικῆς PvB: τινι ὕλη. . . δεκτικῇ V

ΙΔΡΥΜΑ ΜΕΛΕΤΩΝ ΙΣΛΑΜΙΚΟΥ ΠΟΛΙΤΙΣΜΟΥ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΙΣΤΟΡΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΕΤΟΥΝΗΣΑΝ ΑΛΙ ΤΟΥ ΛΑΟΥ ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Θ. ΠΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τάχιστά τε ἀπαυθαδιάζεται καὶ τὸν κυβερνήτην παρακρουσάμενον ὅπου βούλεταί τε καὶ πέφυκεν ἄπεισι καὶ τὰ οἰκεῖα προσαπεργάζεται. Τούτων τοίνυν τῶν λόγων ἡμεῖς εἰκότως ἐχόμενοι, οὐχ ὅπως πάνθ' ὑποίσοιμεν ἂν ὅσα δοκοίη τῇ δαίμονι, ἀλλὰ καὶ χάριν εἰδέναι δίκαιοι ἂν εἴημεν προσοφείλοντες. Ἐπὰν δὲ ἡμῖν διαπραχθείη τὸ βούλημα· τοῦτο δ' ἐστὶν ἢ τῶν ἐξαιρουμένων ἡμῖν φιλοσόφων δεσπόσειν ἢ μὴ ἀπᾶραι τῶν τῇδε· θεοσεβὴς ἡμᾶς διαδέξεται Πλήθων, θεῷ καὶ τοῦτ' εἰ δοκείη.

3.

ΒΗΣΣΑΡΙΩΝΟΣ ΚΑΡΔΙΝΑΛΙΟΥ [1]

Βησσαρίων καρδινάλις Ἰωάννῃ τῷ Ἀργυροπούλῳ εὖ πράττειν.

Ἀνέγνωμεν ἃ πρὸς τὰ ἐν προοιμίοις τῆς ὑπὲρ Πλάτωνος ἀπολογίας ἐνιστάμενος γέγραφας. Ἐθαυμάσαμεν οὖν, ὅτι πρὸς οὕτω βραχὺν καὶ σαφῆ λόγον ἑλληνικὸν, ζητοῦντα κατ' ἐπιδρομὴν καὶ ἐπιτετμημένως εἰ ἔνια τῶν εἰδῶν εἰσι χωριστὰ ἢ πάντη ἀχώριστα, καὶ, εἰ χωριστὰ, πότερον καθ' αὐτὰ ὑφεστηκότα ἢ ἐν

[1] Περιλαμβάνεται ἐν τῷ Vaticanus graecus 1393, φ. 9^{θ}-$^{\alpha}$, αἰῶνος ιε' (B) καὶ ἐν τῷ ἐξ αὐτοῦ ἐκγραφέντι μετά τινων διορθώσεων χειρὶ τοῦ Ἀλλατίου κώδικος τῆς βιβλιοθήκης Vallicelliana τῆς Ῥώμης CVIII, 5 φ. 1^{α}-3^{α}, αἰῶνος ιζ' (Λ).

3. οὐχ L: οὐχ' B 4. ὅπως PvB: οἷον V ὑποίσοιμεν L· ὁπόσοι μὲν B 5. εἴημεν L: εἴη μὲν B 7. ἀπᾶραι L: ἀπαραι B 10. Ἀνέγνωμεν ἔγραψα: Ἀνέγνομεν BΛ προοιμίοις Λ: προοιμίοις ἐκ τοῦ τὸ πρῶτον γραφέντος προοιμείοις B 13. ἔνια ἔγραψα: ἔνοια BΛ εἰσι ἔγραψα: εἰσὶ B: εἰσὶ Λ 14. αὐτὰ ἔγραψα: αὐτὰ BΛ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἐπινοίαις κείμενα· ἄλλως γὰρ ἂν ἐνῆν τὰ Πορφυρίου πρὸς ἔπος ἐκθέσθαι, γνώριμα καὶ παισὶν ὄντα· τοσοῦτον λόγων πλῆθος ἀντέθηκας, οὐδέν, ὡς οἶμαι, δέον. Ἅπερ καὶ ὡς περὶ μεγίστων δὴ τὸν λόγον ποιούμενα οὐ διερρήξαμεν ἀναγνόντες, ὡς αὐτὸς ὑπετίθου, καὶ ἅμα ὅτι οὐδὲν ἂν ἐγίνετο προὔργου διαρραγέντων· καὶ γὰρ δὴ πολλοῖς καὶ πρὸ ἡμῶν ἔγνωσται, ἐν ταῖς δημοσίαις πρὸς τοὺς ἀκροατὰς ὁμιλίαις καὶ ταῦτά σου πολλάκις παρενείραντος, εἴτε πρὸς τὸ προκείμενον εἴτε καὶ μὴ οὐδὲν δεῖ λέγειν. Διερρήξαμεν οὖν αὐτὰ οὐδαμῶς· αὐτοὶ δὲ μηδεμίαν, ὡς ὁρᾷς, σχολὴν ἄγοντες φιλοσοφεῖν, φεύγοντες ἅμα καὶ τὸ ἐρίζειν καὶ μάτην ἐπιδείκνυσθαι, Θεόδωρον ἐξετάσαι τοὺς λόγους ὅσον δύνανται προετρέψαμεν καὶ κοινῇ συνδιασκέψασθαι μετὰ σοῦ, εἰ τὰ ἡμῖν εἰρημένα οὔτ' ἐπὶ τῶν ὄντων οὔτ' ἐπὶ τῶν μὴ ὄντων ἀληθεύει, ὡς φῆς, καὶ ἅμα γυμνασίας λογικῆς ἕνεκα καὶ ὥστε ἢ πεισθῆναι ἢ μεταπεῖσαι ἡμᾶς. Ἐκεῖνος μὲν οὖν τὸ κελευσθὲν ἐποίησεν· ἡμεῖς δὲ ὥσπερ καὶ πρότερον ταῦτα ἀκηκοότες καὶ εἰδότες, ὅμως οὐδένα πρὸς σὲ πεποιήμεθα λόγον, δεδιότες μὴ χαλεπήνῃς διὰ τὸ εὐόργιστον, καὶ, περὶ πλείονος ποιούμενοι τὸ εὐνοϊκὸν τῆς δοξοσοφίας, οὐδὲν τῆς ἀρχαίας περὶ σὲ διαθέσεως ἠμείψαμεν. Οὕτω καὶ νῦν εὐλαβούμεθα πέμψαι σοι τὰ γεγραμμένα, οὐκ ἐλπίζοντες ὁμοίᾳ ψυχῆς

1. ἐπινοίαις Λ: ἐπϊνοίαις ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἐπεινοίαις Β 3. οἶμαι Β: οἶμαι ἐκ τοῦ τὸ πρῶτον γραφέντος οἶμαι Λ 4. ποιούμενα Λ: ποιούμενα ἐκ τοῦ τὸ πρῶτον γραφέντος ποιούμενον Β 5. προὔργου ἔγραψα προύργου ΒΛ 7. ταῦτά ἔγραψα: ταῦτα ΒΛ 9. σχολὴν Λ: σχολὴν ἐκ τοῦ τὸ πρῶτον γραφέντος σχολῆν Β 10-11. ἐπιδείκνυσθαι Β: ἐπιδείκνυσθαι ἐκ τοῦ πρῶτον γραφέντος ἐπιδείκρυσθαι Λ 11. θεόδωρον Λ: θεόδορον Β 12. κοινῇ συνδιασκέψασθαι ἔγραψα: κοινῆσεν δϊασκέψασθαι ΒΛ 13. οὔτ' ἐπὶ τῶν μὴ ὄντων ἐν συνεχείᾳ τοῦ κειμένου Β: πρόςθετα ἐν τῇ ᾧᾳ Λ 18-19. τῆς δοξοσοφίας – διαθέσεως ἐν συνεχείᾳ τοῦ κειμένου Β: πρόςθετα ἐν τῇ ᾧᾳ Λ 19. οὕτω Λ: οὕτῳ Β

ΕΘΝΙΚΟ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΝΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΕΠΙΣΤΗΜΟΝΙΚΟ ΠΕΔΙΟ ΑΝΘΡΩΠΙΣΤΙΚΩΝ ΚΑΙ ΚΟΙΝΩΝΙΚΩΝ ΕΠΙΣΤΗΜΩΝ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἠρεμίᾳ καὶ σὲ οἴσειν, καίτοι μετρίως τε καὶ πρὸς τὸν λόγον, οὐ τὸν λέγοντα εἰρημένα, καὶ ἅμα σοῦ ἄρξαντος. Τοῦτο δὲ οὐ δεινὸν, εἴ τις ἀπολογεῖται κατηγορούμενος, μᾶλλον δὲ τοῦτο μὲν ἀναγκαῖον, ἐκεῖνο δὲ περιττὸν καὶ μάλισθ' ὅτι καὶ μετὰ πάντας τοὺς ἄλλους ἡμῖν ἐκοινώσω, δέον πρὸ πάντων ἡμῖν, εἰ ἀπ' εὐνοίας, ὡς φῆς, ἐγεγόνει. Τὸ γὰρ ἀπ' εὐνοίας καὶ πρώτοις καὶ μόνοις τοῖς φιλουμένοις κοινούμεθα. Ἢ οὖν ἔφημεν, οὐ πέμπομέν σοι τὰ γεγραμμένα, οὔτ' ἴσως πέμψομεν, εἰ μὴ ἐπαγγέλλοιο πρῶτον ἢ μὴν ἄνευ ἔριδος καὶ χολῆς καὶ διιέναι καὶ ἀντειπεῖν, εἰ βούλοιο, καὶ πᾶσαν τῆς ψυχῆς ἀπελάσαι μῆνιν καὶ θυμὸν καὶ χόλον. Τοῦτο δέ φαμεν ὡς οἷόν τε μὲν ἀνθρώπῳ καὶ μέρος τι παθητικὸν ψυχῆς ἔχοντι, σοφῷ δὲ ἄλλως καὶ διὰ τῆς ἱερᾶς ἡγμένῳ φιλοσοφίας. Εὖ πράττειν.

---

1. ἠρεμίᾳ ἔγραψα: ἠρεμία ΒΛ τε Λ: τὲ Β 3. μᾶλλον Β: μᾶλ(ἕπεται μαλ διαγεγραμμένον)λον Λ 5. ἐκοινώσω ἔγραψα: ἐκοινώσῳ ΒΛ πρὸ Β: πρὸ ἐκ τοῦ τὸ πρῶτον γραφέντος περὶ Λ ἡμῖν εἰ ἀπ' Λ: ἡμῖν εἰ ἀπ' Β 7. κοινούμεθα ἔγραψα: κινούμεθα ΒΛ ἔφημεν ἔγραψα: ἔφαμεν ΒΛ 8. ἐπαγγέλλοιο Β: ἐπαγγέλοιο Λ 9. καὶ χολῆς Β: και χολῆς Λ ἀντειπεῖν Λ: ἀντειπεῖν ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀντῖπεῖν Β 11. δέ φαμεν ἔγραψα: δὲ φαμὲν ΒΛ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΓΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΑΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

4.

ΔΟΝΑΤΟΥ ΑΤΖΑΪΩΛΗ

(6 Αὐγούστου 1454)[1].

D[onatus] Acc[iaolus] Johanni Argyropolo sal[utem].

Marchus Venetus familiarissimus tuus et propter tuam in me benivolentiam mei quoque amantissimus dixit mihi nuper habuisse se litteras a te Bononie datas, mihique tuo nomine salutem dixit, pro qua quidem re summas gratias tibi ago. Eam scilicet humanitatem, quam hic presens mihi declarasti, absens etiam tuis litteris maximam pre te fers, cum ostendis te mei sedulo esse memorem. Mihi versa vice tu tuaque omnia non solum memorie sunt, sed etiam tante cure, ut die noctuque cogitare non desinam, nisi quonam pacto te virum doctissimum meique amantissimum ornare dignitate et beneficiis afficere possim. Tue igitur fidei et prudentie est curare ut quam primum ad nos redeas ea quidem mente, ut hanc civitatem tibi patriam perpetuo esse velis. Nam si ulla patria est, que in gravissimis casibus fortunarum tuarum te delectare possit, hec est profecto, que et pulchritudine sua et amenitate loci ceteris aliis est anteferenda. Iam vero mores horum hominum, natura, humanitas animum tuum movere vehementissime debent; ut in ea urbe vivere velis in qua non barbari, non insolentes viri, sed humani, domestici beneque morati homines vitam ducunt. Habes preterea hic permultos tibi familiaritate coniunctos eosdemque sapientie tue amatores, quorum benivolentis apud te plurimum valere debet;

[1] Εὕρηται αὐτόγραφος ἐν τῷ κώδικι Magliabecchianus VIII 1390 φ. 87[6] τῆς ἐν Φλωρεντίᾳ Ἐθνικῆς βιβλιοθήκης.

ΕΛΛΗΝΙΚΟ ΙΔΡΥΜΑ ΠΟΛΙΤΙΣΜΟΥ ΙΩΑΝΝΙΝΩΝ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΤΟΧΟΝ ΗΣ: ΑΝΚΑΘΗΓΗΤΗΣ ΝΙΚΟΛΑΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

de me vero quid dicam nescio, quem vel amicissimum tibi vel amantissimum sapientie tue preter ceteros habes. Sed hec omitto, que ante discessum tuum familiarissime inter nos et amicissime disputata fuerunt; tuum igitur erit ad nos redire, nostrum vero curare ut rediens locum honorificum habeas neque alienum a dignitate tua. In quo tantum laborabimus, quantum poterimus in eo consequendo opera et studio contendere, et propter benivolentiam in nos tuam et propter studio in te nostro. De negotio Marci nostri quod tu tantopere mihi commendasti, puto te litteris suis certiorem esse factum: res scilicet ex voto nostro successit, eamque nos opera nostra maxime iuvimus, cum propter commendationem tuam, tum quia ille sanctissime reliquie amplitudine huius civitatis non videbantur indigne. Supplicationes pro ea re solempni pompa facte fuerunt et Marcho nostro debitum pretium persolutum, ut ex eo poteris plenissime cognoscere. Vale.

Florentie, die VI Augusti 1454.

5

ΤΟΥ ΑΥΤΟΥ

(20 Αὐγούστου 1454)[1].

Do[natus] J[ohanni] Argyropolo bisantio sal[utem].

Paucis ante diebus scripsi ad te brevem epistolam, quam dedi quidem amico ad te in Peloponessum perferendam.

[1] Εὕρηται αὐτόγραφος ἐν τῷ κώδικι Magliabecchianus VIII 1390 φ 87[6] τῆς ἐν Φλωρεντίᾳ Ἐθνικῆς βιβλιοθήκης.

ΕΠΕΤΗΡΙΣ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Deinde Johannes noster Macedo dixit mihi te adhuc esse Venetiis ibique navem expectare que te erat in Greciam portatura: statui igitur exarare aliquos versus et ad te mittere antequam isthinc discederes; non tam quia aliquid habeam dignum auribus tuis, quam ut intelligas me tui non esse immemorem; ego scilicet cursum tuum felicissimum cupio, reditum velocissimum exopto, deum fortunis tuis propitium esse vehementer precor. Cura igitur ut valeas et semper cogites de reditu tuo: nos vero laborem non desistimus ut de se satis nostro desiderio fiet et ratio maxime habeatur et utilitatis et dignitatis tue. Res Marci tui ex voto successit, valdique opera nostra adiuta est, quam propter tuam commendationem et diligentissime libentissimeque prestitimus. Vale.

Florentiae, XX Augusti 1454.

6.

ΙΑΚΩΒΟΥ ΠΙΚΚΟΛΟΜΙΝΗ

ΚΑΡΔΙΝΑΛΙΟΥ ΠΑΒΙΑΣ

(Μάϊος 1467)[1].

Nescio quo animo filii tui obitum feras, si bono, est quod gratuler tibi, cui ratio medeatur, non tempus. Philosophiae tuae haec debetur constantia, cuius tota contentio mortis est commentata. Sin te hominem prestas, hoc est, pressuram doloris substines, quid ego brevis orae temptum epistola, quod Plato, quod Aristoteles, quod tota doctorum cohors, tot jam annos non potest. Diuturni proposui non subitae consolationis esse id robur oportet, confido tamen que

[1] Εὕρηται ἐκδεδομένη ἐν ταῖς Epistolae et commentarii Jacobi Piccolomini cardinalis Papiensis. Ἐν Μεδιολάνῳ. 1506 φ. 116ᵃ-117ᵃ καὶ ἐν τῇ ἐκδόσει Φραγκοφορτίου 1714 ὑπ' ἀρ. 200. Ἐξεδόθη δὲ καὶ ὑπὸ τοῦ Legrand (Cent-dix lettres grecques de François Filelfe. Ἐν Παρισίοις 1892. σ. 147 κ. ἑ.).

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΑΤΣΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

est sapientia tibi te non deesse. Sed quod in libris antehac dies docuisti, verioribus nunc experimenti tui argumentis probare, quam ob causam in consolationem non scribo doctissimo praesertim sui temporis non necessariam, nihil enim dici de hoc genere potest, quod tibi non sit, quam caeteris notius. Tenes nil mali esse in morte, in ea praesertim, quae in Domino accidit. Nosti quoque vitae nostrae condicionem vapori assimilem esse, et quotidianis casibus subditam, in eiusque diuturnitate agenti ita dolores et detrimenta, et luctum vicissim contingere, ut longum iter habenti pulvis et lutum et pluvia. Anaxagorici quoque dicti es memor: Scisse se genuisse mortalem. Q. etiam Fabii, Paulique Aemilii memoriam habes, quorum alter spectatae virtutis consularem filium extulit, alter uno ante triumphum: duobus post amissis filiis, in concione ita locutus est, ut consolari populum non consolationem quaerere videretur. Poro autem intelligis. quid nobis christiana lex iubeat, quid gentilis etiam dictet, In altera lugeri vetantur mortui, quoniam iam quieverunt: altera lugendi terminum praeveniens foeminis, viris nullum praestituit, quoniam et nullum honestum. Sola tantum officia, quae languenti et mortuo praestita sunt. brevi significabo non tam ut moerorem, si quis est, per haec tollam, quam ut ea commemoratione intelligas, quanta hic in te, et filium inventa sit charitas. Doluit supra modum nefario scelere Paulus, nec ingemuit aliter, quam si de filio nuncium id accepisset. Crassatores anxia vestigatione missis qui ad vias exciperent, iussit conquiri. Recquisivit etiam horis pene singulis, in aliqua vitae spes haberetur, at excedenti peccata fragilitatis nostrae indulsit. Ipse vero Pater Nicenus, qui vulnera illius corde tuo excepit et consolationem non invenit, septem adhibitis medicis, ab ore morientis numquam discessit: nullum levaminis aut ministerii genus intemptatum relinquens, sed contrahens undique omnia per quae tam charo apud se posito pignori servari spiritus posset. Imprimis autem viaticum futurae quietis, plenum perfectumque, sen-

Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

sibus adhuc integris, ministrare curavit, quod ille non minori religione accepit, quam pietate pater tantus impenderit. In complexo denique et benedictionibus suis Creatori animam reddidit. Eum porro defunctum flevit omnis curia, atque ad sepulchrum usque, non privati alicuius, sed Principis pompa est prosecuta, ut plane sit indicatum, quanti filius et in eo pater apud nos haberentur. Monimento autem intra Basilicam Petri indultus est locus parte admodum celebri, quae Calixtum continet, eius nominis tertium, et nec nisi magnis indulgeri est solitus. Ad summas quoque Basilicae gradus qui extra vestibulum sunt: Vicarius templi cum omni sacerdotum collegio, funebri solemnitate cadaver excepit. Si maius aliud potuisset conferri, contulissem libenter desideria nostra, dileximus etenim illum, et excellenti doctrinae tuae deberi indicavimus omnia. Videns ego Nicenum nostrum tanta affectum moestitia, ut sine lachrymis scribere horum quicquam non possit, ne perirent apud se sua, et caeterorum officia, commemoranda tibi ea putavi, pernicionem dolens, quod cui nulla antehac necessitas scribendi occasionem attulerit, attulerit nunc hic acerbissimus casus. In quo quaeso te, mi Argyropule, ut tui sis memor utque Xenophontis etiam facti imitationem tibi proponas. Etenim ille ut accepta inter sacrificandum morte filii, qui eadem qua Epaminondas, pugna occideret, coronam deposuit, moxque ut honestum exitum novit: eam resumpsit, sacrificiumque continuans ne lachrymatus est quidem: Ita tu ex me audiens Bartholomaeum tum in fideli patris sui ministerio accepisse vulnus, et plenam religionis mortem obiisse: tum autem viventi, et mortuo suprema pietatis opera cumulate indulta, si quam naturae imperio virtutis vim posuisti, pari constantia recipe et homo christianus Christum tuum Sancti Iob verbis alloquere: Dedisti Domine filium et abstulisti: factum est quod placuit tibi. Sit nomen tuum benedictum in saecula. Vale.

Romae, maii 1467.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΜΙΧΑΗΛ ΑΠΟΣΤΟΛΗ ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ

ΠΡΟΣΦΩΝΗΜΑ ΕΙΣ ΤΟΝ ΑΥΤΟΥ ΔΙΔΑΣΚΑΛΟΝ ΙΩΑΝΝΗΝ ΤΟΝ ΑΡΓΥΡΟΠΟΥΛΟΝ ΟΤΕ ΗΡΞΑΤΟ ΔΙΔΑΣΚΩΝ ΠΡΟΤΡΟΠΗ ΒΑΣΙΛΕΩΣ ΕΝ ΤΩ ΤΟΥ ΞΕΝΩΝΟΣ ΚΑΘΟΛΙΚΩ ΜΟΥΣΕΙΩ[1]

Τοῖς εὐγνώμοσι τῶν ἀνθρώπων τοὺς σφῶν αὐτῶν εὐεργέτας θαυμάζειν μὴ ὅσον οἶμαι χρεών, ἀλλ' εἴπερ ἄλλο τι καὶ τοῦτο τῶν ἀναγκαίων πολλοῖς τε ἄλλοις σοφίᾳ συνεζηκόσι πολλοῦ ἄξιον εἶναι δόξαν καὶ νόμῳ δήπου τῷ τῶν Περσῶν, ᾧ γε δὴ τοσοῦτον ἐςέτι καὶ νῦν τὸ χρῆμα μέλει τουτὶ, ὡς μηδενὶ ἂν συγχωρεῖν ὅτῳ τοιαῦτα γένοιτο ἁμαρτεῖν τὸν αὐτοῦ βίον ἀθώῳ διαπερᾶν. Ἐμοὶ δὲ, ἄριστε διδασκάλων, πρὸς σοῦ τοσούτων ἀγαθῶν ἀπολελαυκότι·

[1] Περιλαμβάνεται ἐν τῷ Βιενναίῳ Phil. Gr. LXXXV φ 21[6]-23, αἰῶνος ιε' (B), τῷ Ἐσκουριαλείῳ Σ-I-18 φ. 21[6]-23[6], αἰῶνος ιε' (E) καὶ τῷ τοῦ ἐν Σμύρνῃ Συλλόγου Ὁμήρου, νῦν ἐν τῇ βιβλιοθήκῃ τῆς Εὐαγγελικῆς Σχολῆς, φ. 18[6]-20[α] (Σ). Εὕρηται δ' ἐκδεδομένον πλημμελῶς ὑπὸ *Γ. Κ. Ὑπερίδου* Μιχαήλου Ἀποστόλη πονημάτια τρία. Ἐν Σμύρνῃ. 1876. σ. 38-41.

Ξ = ἅπαντες οἱ κώδικες

Ἐπιγραφή: Τοῦ αὐτοῦ μιχαὴλ ἀποστόλη τοῦ βυζαντίου προςφώνημα εἰς τὸν σοφώτατον καὶ λογιώτατον αὐτοῦ διδάσκαλον ἰωάννην τὸν ἀργυρόπουλον ὅτε ἤρξατο διδάσκων προτροπῇ βασιλέως ἐν τῷ τοῦ ξενῶνος καθολικῷ μουσείῳ Σ: Τοῦ αὐτοῦ προςφώνημα εἰς τὸν αὐτοῦ διδάσκαλον ἰωάννην τὸν ἀργυρόπουλον ὅτε ἤρξατο διδάσκων ἐν τῷ τοῦ ξενῶνος μουσείῳ BE

2. ἄλλο ἔγραψα: ἄλλό Ξ 4. τῷ Σ: λείπει BE 5. μέλει Σ: μέλλει AB μηδενὶ ΣB: μὴδενὶ E 6. τὸν αὐτοῦ βίον ἀθῴῳ διαπερᾷν BE: λείπουσι Σ 7. διδασκάλων BE: διδασκάλων καὶ γενναιότατε Σ

ΕΡΓΑΣΤΗΡΙΟ ΤΟΜΕΑΣ ΙΣΤΟΡΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΙΕΤΟΣ ΟΝΤΗΣ ΑΝΑΚΑΛΗΨΗ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ἐῶ γὰρ λέγειν τὰ προσδοκώμενα· καὶ οἵων οὐκ ἄν τις παρὰ πατρὸς ἤλπισεν, εἰ μὴ ὧν ἡμῖν ἐχαρίσω μέρος εἰσοίσομεν ὁτιοῦν, εὐγνώμονες εἶναι πρὸς τοῖς ἄλλοις μαθόντες, τίς ἂν παραίτησις γένοιτο ἢ τί οὐκ ἂν τοῖς ὑβρίζειν ἐπισταμένοις λέγειν παρέξομεν
5 ἐφ' ἡμᾶς; Ἵν' οὖν ἐκείνων μὲν τῇ φύσει μηδὲν ἡμῖν ἀποδεκτέον προσγένηται, μηδὲ τοῖς ἀγαθοῖς σου δόξαιμεν ἂν ἕπεσθαι λαθεῖν παραγγέλμασι, σοὶ μὲν ἀποδοτέον ἂν ἡμῖν εἴη ὧν ἂν μέρος λαβόντες ἔχωμεν παρὰ σοῦ, ἐμοὶ δὲ εἴ τι μὴ σοὶ προσῆκον ῥηθείη, σοὶ παρέχειν δίκαιον τὴν συγγνώμην.

10 Πολλῶν δὲ ὄντων ἅ τις ἂν εἰπεῖν ἔχοι, βουλόμενός σε τὸν πάντων ἄριστον ἐπαινέσαι, ἔν τι κἀκεῖνο τῶν καλλίστων εἶναι δοκεῖ καὶ τὰ νῦν ἀναγκαῖον λέγεσθαι πρὸ τῶν ἄλλων, ὅ μοι καὶ τὸν λόγον μᾶλλόν ἐστι πεποιηκὸς, ἐκείνων τε ἄλλου δεομένων καιροῦ καὶ κρείττονος ἧς γε νῦν περὶ λόγους δυνάμεως ἔχομεν.
15 Τὸ γὰρ περιόν σοι τοῦ λόγου, ὁ πόνοις οὐκ ὀλίγοις ἐκτήσω καὶ ἀναλώμασιν, ἔτι τε αὖ κινδύνοις ἠπείρῳ γινομένοις τε καὶ θαλάττῃ, ἀφθόνως οὕτως ἐθέλειν μεταδιδόναι οἷς οὐδέν τι λόγου τῶν ἄλλων ἐκρίθη φίλτερον εἶναι, πῶς οὐ μεγάλων ἐγκωμίων καὶ θαύματος ἄξιον; Ὡς γὰρ ἐκ τῆς τῶν Εὐρωπαίων, ὦ παρόν-
20 τες, ἀφίκετο γῆς, οἵ τὰ τῆς Ἑλλάδος μετῴκισται ἀγαθὰ, βλέψας

1 προσδοκώμενα BE: προσδοκώμενα ἐκ τοῦ τὸ πρῶτον γραφέντος προσδωκόμενα Σ 6. μηδὲ Σ μὴδὲ BE λαθεῖν BΣ: λαθεῖν ἐκ τοῦ τὸ πρῶτον γραφέντος λαβεῖν E 7. ὧν Σ: ὃν BE 8. ἔχωμεν Σ: ἔχομεν BE 9. σοὶ BΣ: σοὶ ἐκ τοῦ τὸ πρῶτον γραφέντος σοῖ E 11. κἀκεῖνο Σ: κᾀκεῖνο BE 12. τὰ νῦν Σ: τανῦν BΣ 13. μᾶλλόν ἐστι ἔγραψα: μᾶλλον ἔστι Ξ τε BE: τὲ Σ ἄλλου BE: ἄλλου ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἄλλων Σ 16 ἠπείρῳ BΣ: ἠπείρῳ E γινομένοις BE: γινομένοις ἐκ τοῦ τὸ πρῶτον γραφέντος γεινομένοις Σ 17. μεταδιδόναι BE: διδόναι Σ 19. Εὐρωπαίων Σ: εὐρωπαίων B: εὐρώπων ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ὥρᾳ εὐρωπαίων Σ 20. οἵ BΣ: οἷα E

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΑΠΟΘΕΤΗΡΙΟ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΟΝΥΣΙΟΣ Θ. ΡΕΤΣΟΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΡΕΤΣΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

εἰς τὰ τοὔνομα μόνον μουσεῖα φυλάττοντα ὅπως τε διητᾶτο καὶ οἷα μηδεμιᾶς οὔσης ἐπιμελείας ἐγένετο, τήν τε φίλην πατρίδα κακῶς ἠλέησεν ἔχουσαν καὶ τοὺς λόγους ἐν ἀτιμίᾳ κειμένους ἐθρήνησε, βουλὴ δέ τις ἀρίστη τῷ γενναίῳ παραχρῆμα συνέστη τὰ τῶν λόγων ἐπανορθώσασθαι. Καὶ δὴ μουσεῖόν τε ἦν αὐτίκα ἀνεωγὼς οὐχ ὡς ἂν ἦν αὐτῷ κατὰ γνώμην οὐδ' οἷον ἐξ Ἰταλίας ἐβούλετο ἐπανήκων, τοῦ καιροῦ καὶ τοῦτο ὥςπερ καὶ τἆλλα δήπου συγχέαντος, πλὴν ἀλλὰ τῶν γε ἐφ' ἡμῶν πάντων πολλῷ τῷ μέσῳ διενηνοχὸς, ἄντικρυς ἄλλην Ἀκαδημίαν καὶ Στοὰν καὶ Περίπατον, τὰ τῶν ἡγεμόνων τῆς φιλοσοφίας βασίλεια. Οὐδὲ γὰρ τοῖς ἐκεῖσε κρουνηδὸν ἐπιρρέουσι τοιαῦτα ἀκούειν ἦν, οἷα καὶ παρ' ἄλλοις φοιτῶσιν, ἀλλ' οἷά τε Ὁμήρῳ ἐλέγετο καὶ Δημοσθένει καὶ Πλάτωνι. Τούτων τοίνυν τὰ μὲν ἰδὼν ὁ γενναῖος ἡμῶν καὶ φιλόσοφος βασιλεὺς, τὰ δ' ἀκούων παρ' ὧν ἐδόκει βέλτιον εἶναι, οὐκ ἐν λειμῶνι καὶ παραδείσῳ διέγνω ταῦτ' εἶναι λέγεσθαι δίκαια, ἀλλ' οἷα κόσμον φέρει τῇ πατρίδι λεγόμενα, μᾶλλον δ' ὅπου νῦν ὑμεῖς αὐτὸν καθορᾶτε ἐφ' ὑψηλοῦ καθήμενον βήματος, ὅθεν, οἶμαι, καὶ τοὺς μέγα τι περὶ αὐτῶν οἰομένους ὀλίγ' ἂν καὶ μὴ κατὰ τέχνην ἐπισταμένους ἐλέγξειε. Ῥεῖ γὰρ ἐκ τῶν χειλέων αὐτοῦ

1. τοὔνομα ΒΕ: τούνομα Σ τε ΒΕ: τὲ Σ 2. μηδεμιᾶς ΕΣ: μὴδὲμιᾶς Β 4. ἀρίστη ΕΣ: ἀρίστῃ Β 5. μουσεῖόν τε ἔγραψα: μουσεῖον τε ΕΣ: μουσεῖον τὲ Β 6. ἀνεωγὼς Σ: ἠνεωγὼς ΒΕ οὐχ ἔγραψα: οὐχ' Ξ 7. τἆλλα Σ: τ' ἄλλα ΒΕ

8. ἡμῶν Σ: ἡμῖν ΒΕ 9. διενηνοχὸς Β: δἳενηνοχὸς οὐδενὸς ἀνταποκρινομένου εἰς τὸ ὕπερθεν τοῦ ο σημεῖον ἐν τῇ ᾧᾳ Ε: διενηκὸς Σ 10 γὰρ ἐν τῷ κειμένῳ ΒΣ: πρόςθετον ἐν τῇ ᾧᾳ Ε

11. ἦν Σ: λείπει ΒΕ 12 οἷά τε ἔγραψα: οἷα τὲ ΒΕ: οἷα τὲ καὶ οἵως Σ 13. ἰδὼν ΕΣ: ἰδὼν ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἰδῶν Β 15. δίκαια ΕΣ: δίκαια ἐκ τοῦ τὸ πρῶτον γραφέντος δίκαιον Β 16. οἷα Ε: οἱ ΒΣ 17. ὑψηλοῦ ΕΣ: ὑψηλοῦ κατὰ διόρθωσιν ἐκ τοῦ ὑκηλοῦ Β 18. τι ἔγραψα: τί Ξ αὐτῶν Σ: αὐτῶν ΒΕ ὀλίγ' ἂν Σ: ὀλίγα ΒΕ

ΕΛΛΗΝΙΚΗ ΕΤΑΙΡΕΙΑ ΤΟΥ ΙΩΑΝΝΙΝΑ ΦΙΛΟΣΟΦΙΑΣ ΑΓΓΛΟΕΛΛΗΝΙΚΗ ΦΙΛΟΣΟΦΙΑ ΑΝΑΛΥΤΙΚΗ ΦΙΛΟΣΟΦΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΤΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

οὐχ ὅτι μένος τῆς πανδήμου ῥητορικῆς, οὐδ' αὖ πάλιν ποιητῶν τε καὶ συγγραφέων, ἀλλὰ καὶ ἣν διαλεκτικὴν ὀνομάζειν ἐγνώκαμεν, ᾗ τὸ τῆς ἀληθείας κάλλος πρεσβεύειν καὶ ἀπελέγχειν ἔργον τὸ ψεῦδος. Ἀλλὰ γάρ τίς οὐκ ἂν μὲν ὅτῳ λόγος ἔνεστι τὼ χεῖρε κροτήσειε καὶ αὐτῷ γενέσθαι δόξει τὸ μακάριον ἐκεῖθέν ποτε κατελθὸν σοφίᾳ τοῦ διδασκάλου καὶ λόγῳ βασιλικῷ; Τίς δὲ τῶν ἐν βασιλείοις, τίς δ' αὖ τῶν ἐν ἀγορᾷ; Μέχρι γὰρ οἶμαι, χειροτεχνῶν καὶ βαναύσων, εἴ τις αὐτοῖς αἴσθησις τοῦ καλοῦ, τὸ τῆς ἡδονῆς κάλλος διαδεδράμηκε, σφᾶς τε αὐτοὺς καὶ τοὺς σφῶν αὐτῶν παῖδας μακαρίους ἀποκαλούντων, ἀγαθοῦ γε ὅτου τετυχηκότας ἐπ' αὐτῶν γενομένου. Γίνεται γὰρ καὶ βαναύσοις τῶν ἀγαθῶν σπουδὴν ἔχειν, εἴ γε τοῖς ἄρχουσι τούτων εὐνοεῖν μέλοι τοῖς ἀγαθοῖς.

Ἀλλ' ὦ φίλη καὶ γενναία πατρίς, ἐῶ λέγειν σοι χαίρειν ὅσον βούλει, καὶ κατὰ κόρον ἐξὸν, τοιοῦτον ἐνεγκαμένη οἷός σοι τῶν λόγων τὸ γνώριμον ἐπανορθώσασθαι πέφυκε καὶ ὅς σοι τῶν ἀρετῶν τὴν εἰκόνα φυλάττει εἰς κάλλος ἀπεξεσμένην ἀμήχανον. Χαίροις ἡ τῶν λόγων ἱερὰ μήτηρ, εἰ καὶ μὴ τοῖς πᾶσιν ἔξεστιν, οὕτω τῇ πάντα δόξαν ἀγούσῃ προνοίᾳ, ἀλλὰ τῷ λόγῳ κἂν γοῦν τὸ ἴδιον ἀνακαλέσαντι κάλλος, σημεῖον τῶν ἐσομένων ἡμῖν παρὰ θεοῦ δωρεῶν, εἴ τι μόνον ἐκείνῳ προσῆκον ἡμῖν διαγίγνεται καὶ ᾧ

1. οὐχ Σ: οὐχ' ΒΕ πανδήμου ΕΣ: πανδήμου ἐκ τοῦ τὸ πρῶτον γραφέντος πανδήλου Β 4. ὅτῳ λόγος ἔνεστι ἔγραψα: ὅτῳ λόγος ἔνεστι λόγος Σ: ὁ τῷ λόγῳ ἔνεστι λόγος ΒΕ 5. αὐτῷ ΒΕ: αὐτῷ Σ ἐκεῖθέν ποτε ἔγραψα: ἐκεῖθεν ποτὲ Ξ 5-6. κατελθὸν ΒΕ: κατελθὸν ἐκ τοῦ τὸ πρῶτον γραφέντος κατελθὼν Σ 9 διαδεδράμηκε Σ: διαδραμεῖν ΒΕ 10. τετυχηκότας ΒΣ: τετυχηκότος Ε 11. Ἐν τῇ ᾧᾳ Γνωμικὸν Σ 12 εὐνοεῖν Β: εὐρ εῖν Ε: εὑροεῖν Σ μέλοι ἔγραψα: μέλει Σ: μέλλοι ΒΕ 14. γενναία ΕΣ: γενναῖα Β 15. οἷός ἔγραψα: οἷος Ξ 18. ἔξεστιν Σ: ἐξῆν ΒΕ 19. οὕτω Σ: οὕτῳ ΒΕ 20. τὸ ΒΣ: τὸν Ε

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΔΡΥΜΑ ΜΕΛΕΤΗΣ ΚΑΙ ΕΡΕΥΝΩΝ ΝΟΕΡΑΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὰ τῶν πραγμάτων πεσόντα ῥᾷον ἐγείρεσθαι πέφυκε. Χαίρετε δὲ καὶ ὑμεῖς οἱ τῶν λόγων ἐρῶντες, ὑμῶν τὴν πολλὴν ἀχλὺν τῆς ἀμαθείας ὡς ἀληθῶς οὐ τῆς Ἀθηνᾶς σκεδασάσης, ἀλλ' ᾧ μέγα τε ἡ σοφία καὶ ἀντὶ πλούτου παντός. Ἐγὼ δὲ, ὦ τί ἄν σε καλέσας οὐκ ἔχω, φῶς καὶ βάθρον καὶ διδάσκαλε καὶ πατὴρ, τίς ὁρῶν 5 ταῦτα καὶ ἀκούων γενοίμην ἢ δῆλος καὶ χρῷ, τὸ τοῦ λόγου, τῇ φαιδρότητι τὴν χαρὰν μηνύων ὑπερχειλῆ; Ἢ τί ἂν εἰπὼν καὶ ποιήσας δόξαιμ' ἄν τι καὶ ὁπωσοῦν τῆς πρὸς ἡμᾶς σου καλοκἀγαθίας ποιήσειν ἀντάξιον; Μόλις γὰρ ἂν αὐτὴν παραιτησάμενος τὴν ψυχὴν, εἰ δὴ διὰ σὲ τὸ εὖ εἶναι ταύτῃ γεγένηται· ὁ τίς ἂν 10 τοῦ ἁπλῶς εἶναι ἡγήσαιτο προτιμότερον; Εἰ δὲ δή τι καὶ ἡμῖν παρὰ θεοῦ χρηστὸν γένοιτο, τότ' ἂν κοινόν σοι τοῦτο προθέμενοι δόξαιμεν ἄν τι προσενεγκεῖν. Θεῷ γὰρ καὶ σοὶ μέλειν προεθέμην τά γε ἡμέτερα.

---

2. ὑμεῖς ΒΣ: ἡμεῖς Ε ἀχλὺν Σ: ἀχλὴν ΒΕ 4. τε ΒΣ: τὲ Ε ὦ τί Σ: ᾧ τι ΒΕ σε ΒΕ: λείπει Σ 7. χαρὰν ἔγραψεν ἀρχίσας νὰ γράψῃ χάριν Σ: χάριν ΒΕ μηνύων ΒΕ:μηνύειν Σ

8. καλοκἀγαθίας ἔγραψα: καλοκαγαθίας ΒΕ: καλομαγαθίας Σ 12. σοι ΒΕ: λείπει ἐν τῷ κειμένῳ, φαίνεται δὲ προστεθὲν ἐν τῇ ὥρᾳ, ἀλλ' εἶνε κεκαλυμμένον ὑπὸ κηλῖδος μέλανος Σ προθέμενοι Σ: προθέμενος ΒΕ 13. σοὶ ΕΣ: σοι Β μέλειν Σ: μέλλειν ΒΕ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΚΔΟΣΕΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΟΥ & ΝΕΟΥ ΕΛΛΗΝΙΣΜΟΥ ΔΙΕΥΘΥΝΤΗΣ: Ν. ΚΑΘΕΔΡΑΣ ΠΑΠΑΔΗΜΗΤΡΟΠΟΥΛΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΕΠΙΣΤΟΛΗ

ΙΣΑΑΚΙΩ ΑΡΓΥΡΟΠΟΥΛΩ[1]

D. Isacio Argyropyli.

Havemo inteso quanto ne scrivete de uno organetto por la nostra capella che intentimo volere fare. Dicemo che debiate venire qne da nuy recevuta che haverete la presente, perchè intenderemo voluntieri.

Date Galiate die 12 Nouembris 1472.

Per Laurentium.

---

[1] Σώζεται αὐτόγραφος ἐν τῷ Archivio di Stato τοῦ Μεδιολάνου, Registri Missive N° 105 φ. 369[6].

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΙΑΝΟΥ ΛΑΣΚΑΡΕΩΣ ΡΥΝΔΑΚΗΝΟΥ

ΕΠΙΓΡΑΜΜΑ

ΕΙΣ ΑΡΓΥΡΟΠΟΥΛΟΝ ΤΟΝ ΦΙΛΟΣΟΦΟΝ [1]

Καὶ σύ, φίλη κεφαλή, βαιὸν σπινθῆρ' ἀναφλέξας
αἰπυτάτης σοφίης λείψανον ἀδρανέος,
κεῖσ' Ἀργυροπύλοιο πάτρης ἑκὰς ἔνδοθι Ῥώμης,
Ῥώμης δ' ὁπλοτέρης γνώριμος ἀστὸς ἔφυς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

---

[1] Ἐξεδόθη ἐν τοῖς Jani Lascaris Rhyndaceni Epigrammata. Ἐν Παρισίοις. 1527, ὧν ἀντίτυπον ἀπέκειτο ἐν τῇ βιβλιοθήκῃ Γεωργίου Μαυροκορδάτου. Ἀνετυπώθη δὲ καὶ ὑπὸ Αἰμιλίου Legrand ἐν Bibliographie hellenique... aux XVᵉ et XVIᵉ siècles. Ἐν Παρισίοις. 1885. Τόμ. Α' σ. 197.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΤΟΥ ΤΙΜΙΩΤΑΤΟΥ ΔΙΚΑΙΟΦΥΛΑΚΟΣ
ΤΗΣ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ
ΚΥΡΙΟΥ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΑΓΑΛΛΙΑΝΟΥ
ΑΝΑΣΚΕΥΗ ΤΟΥ ΥΠΕΡ ΤΗΣ ΔΟΞΗΣ ΛΑΤΙΝΩΝ ΒΙΒΛΙΟΥ
ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ

Χάρις πολλὴ τῷ πάντα ἀρίστῳ καὶ σοφῷ Ἀργυροπούλῳ, ὅτι καὶ τοῦ δέους ἡμᾶς ἀπήλλαξεν ἐμφανίσας ἐν οἷς πρὸς τὸν θαυμάσιον μέγαν δοῦκαν γράφει τὸ τῆς ῥωμαϊκῆς ἐκκλησίας φρόνημα, ὅπως τε συμβήσεται τῷ νῷ καὶ τίνι τρόπῳ συνάσεται τῇ τῆς
5 Ἀνατολῆς ἐκκλησίᾳ ἐν τῷ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, ὥςτε καὶ τὸν υἱὸν φρονεῖσθαι καὶ κηρύττεσθαι ἀρχὴν καὶ αἰτίαν τοῦ ἁγίου Πνεύματος ζητήματι, ὡς αὕτη διδάσκει, ἐκ τούτου μόνου λαμβάνων ὡς ὁμολογούμενον αὐτὸ, καίτοι πολλοῖς καὶ γενναίοις ἀντιλεγόμενον καὶ ἐλεγχόμενον λόγοις ὑπὸ πολλῶν
10 τῶν ἐν ταῖς τῆς Ἀνατολῆς ἐκκλησίαις οὐχ ἧττον ἐν σοφίᾳ ἢ ἁγιωσύνῃ διαλαμψάντων, τὰ δὲ τῶν ἁγίων ἕλκων καὶ πρὸς τὸν τοιοῦτον νοῦν μεταρρυθμίζων καὶ ταῦτα πρὸς τοιοῦτον καὶ τηλικοῦτον αὐτὰ γράφων ἄνδρα, ᾧ πολὺ μέτεστι τῆς ἐν τοῖς τοιούτοις γνώσεως, ὡς καὶ αὐτὸς μαρτυρεῖ, καταγνοὺς, ὡς οἶμαι, οὐχ ὅτι γε

Ἐξεδόθη τὸ πρῶτον ὑπὸ τοῦ Δοσιθέου Ἱεροσολύμων ἐν Τόμῳ ἀγάπης. Ἐν Γιασίῳ τῆς Μολδοβλαχίας. 1698 σ. 333-366 (Δ), ἐξ αὐτοῦ δ' ἀνετυπώθη ὑπὸ τοῦ Migne ἐν Ἑλληνικῆς Πατρολογίας Τόμ. PNH' σ. 1011-1052 (M). Κώδικες δέν μοι εἶνε γνωστοί.

Διαφορὰς ἐν τῇ ἐμῇ ἐπανεκδόσει περὶ τὴν σύνταξιν καὶ τὴν κεφαλαιογράφησιν ἢ μὴ λέξεών τινων, δι' ὧν πολλαχῶς ἐπανορθοῦται τὸ κείμενον, ὑπέλαβον περιττὸν νὰ ὑποσημειώσω.

3. δοῦκαν ἔγραψε: δούκαν Δ: Δούκαν M 10. ἐκκλησίαις M; ἐκκλησίας Δ

ΕΘΝΙΚΟ ΙΔΡΥΜΑ ΕΡΕΥΝΩΝ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΗΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΗΜΕΤΡΙΟΣ Θ. ΠΕΤΣΙΟΣ ΚΑΘΗΓΗΤΗΣ ΤΩΝ ΛΑΤΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

αὐτοῦ καὶ ἡμῶν πάντων τῶν τοὺς τοιούτους διδασκάλους μετιόντων, ἀλλὰ καὶ τῶν πρὸ ἡμῶν σοφῶν τε καὶ ἁγίων ἀνδρῶν ἀγροικίαν, ὧν ἐνίους τοῖς παλαιοῖς ἐκείνοις φωστῆρσιν ἴσους ἐγώ τε καὶ πᾶς τις εὖ φρονῶν θείη δικαίως, εἰ μήτε τῆς φωνῆς ἢ τῆς θεολογίας, μήτε τοῦ σκοποῦ ἐπαίειν οἷοί τε ἐγένοντο, ἢ οὐκ ἠθέλησαν, ὃ καὶ χεῖρον, ἀλλ' αὐτοὶ ἑαυτοῖς ἀπωλείας αἴτιοι ψυχικῆς καὶ πᾶσιν ἡμῖν τοῖς ἐφεξῆς εἵλοντο γεγονέναι, ὅ τίς ἀλάστωρ καὶ βάσκανος ἢ μᾶλλον εἰπεῖν φρενῶν ἐκπεπτωκέναι νεανιεύσαιτο;

Ὡς ἐμοί τε τοῦτο τὸ δέος ἠνώχλει τὰ μάλιστα καὶ ἠνία τὴν ψυχήν, δύνασθαί τινας λέγοντας ἀποδεῖξαι τὴν λατινικὴν δόξαν ἐν τοῖς ἁγίοις πυθομένῳ, μᾶλλον δὲ διατεινομένους καὶ οὕτως ἔχει φάσκοντας τἀληθές, ἡμᾶς δὲ μὴ ἐπαίειν ἀλογίᾳ τε φερομένους καὶ ἄλλοις πάθεσιν, ὥςτε καὶ τῇ μὲν ἐμαυτοῦ περὶ τῶν τοιούτων εἰδήσει, ἥνπερ ἐκ πολλοῦ τοῖς τοιούτοις ἐκμελετῶν συνειλόχειν, μὴ πιστεύειν, τὰς δὲ τῶν ἄλλων, ὅσοι περὶ τῶν τοιούτων διαλέγονται ὑποτοπάζειν· καὶ ὡς εἰπεῖν δέος ἐδεδίειν οὐ μικρόν, εἰ οὕτω μὲν ὡς αὐτοὶ λέγουσιν ἔχει, τῷ δὲ μὴ δύνασθαι μὲν αὐτὸς οἴκοθεν νοῆσαι, ἑτέροις δ' ἕπεσθαι οὐκ ὀρθῶς ὑφηγουμένοις ἔξω τοῦ ὀρθοῦ φρονήματος εὑρεθείην καὶ ἐν τῷ μεγίστῳ πλανώμενος. Ἀλλὰ νῦν ἐν τούτοις πᾶσαν τὴν τοῦ λόγου ἰσχὺν θεασάμενος καὶ τὴν ἐλπίδα τῆς τῶν ἐκκλησιῶν ἑνώσεως ἐπὶ τούτων σαλεύειν κατανοήσας, ἐπεὶ καὶ διὰ τοῦτο ἡγοῦνταί τινες τοὺς σοφωτέρους ἐπισπάσεσθαι· τοὺς γὰρ μὴ τοιούτους καὶ εὐληπτοτέρους ἴσως εἶναι πιστεύουσιν· ἐθαυμάσαμεν ὅπως σοφοὶ ἄνδρες, νοῦ τε καὶ παιδείας εὖ ἔχοντες καὶ πείρᾳ θεολογίας προβεβηκέναι δοκοῦντες, τοιούτοις τισὶ τὴν πίστιν καὶ τὴν τῶν πατέρων θεολογίαν κρίνειν καὶ ταλαντεύειν πειρῶνται, ἢ αὐτοὶ σφᾶς αὐτοὺς ἀπατῶντες ἢ ἄλλους ῥᾳδίως ὑπ' αὐτῶν τοῦτο πείσεσθαι νομίζοντες. Ἀπήλλαγμαι δ' ὡς ἔφην καὶ τοῦ δέους, βέλτιον τῇ πατρίῳ δόξῃ στηριχθείς. Πέφυκε

7. ὅ τίς ἔγραψα: ὅ τὶς Δ: ὅ τις M 8. νεανιεύσαιτο; ἔγραψα: νεανιεύσαιτο. ΔM 10. δύνασθαί τινας M: δύνασθαι τινὰς Δ 22. ἡγοῦνταί τινες M: ἡγοῦνται τινὲς Δ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝΑΚΑΛΗΨΗ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΣΠΕΤΣΙΕΡΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

γάρ πως τὰ τῶν ἐναντίων ἐλεγχόμενα τοὺς τούτοις διαφερομένους βεβαιοτέρους ἢ καὶ γενναιοτέρους ποιεῖν.

Καὶ ὁ μὲν οἰουδήτινος ἁπτόμενος ἐλέγχου δόξειεν ἂν ἴσως ἐνισχημένος τινὶ πάθει τοῦτο ποιεῖν, ἐφ' ᾧ τὰ μὲν καλῶς ἔχοντα διαστρέφειν καὶ παρερμηνεύειν, τοῖς δὲ σαθροτέροις ἐπιφύεσθαι καὶ πρὸς τοῦτο μόνον τείνειν τὸν σκοπὸν, ὅπως ἱκανῶς δόξειε τὸ ἀνταγωνιστὸν ἑλὼν, ἐγὼ δὲ τοῦτο ἐν οἱῳδήτινι πράγματι ἀπεικὸς εἶναι νομίζων καὶ ἄδικον· τῆς γὰρ ἀληθείας ἐστὶ κατάγνωσις καὶ τῆς συνειδήσεως φθορὰ, οὐχ ἥκιστά γ' ἐν οἷς περὶ πίστεως γίγνονται λόγοι καινοῦ τινὸς πράγματος καὶ μεγίστου καὶ κεφαλαίου τῶν πάντων· ἀνόσιον ἡγοῦμαι τοῦτο καὶ ἀσεβὲς, μὴ ἀπαθεῖ καὶ καθαρῷ νοῖ τὰ περὶ τούτων καταστοχάζεσθαι, ἀλλὰ πρὸς ἔριν ἢ φιλονεικίαν ἢ ἄλλο τι τῶν ἀνθρωπίνων τοὺς λόγους ποιεῖσθαι. Τῷ τοι καὶ τὴν ἀλήθειαν αὐτὴν ἐν τούτοις μαρτύρομαι, ὡς ὅσα μοι καθαρῶς ὑπαγορεύει τὸ συνειδὸς, ἀφ' ὧν ἔχω μαθὼν πρὸς τῶν προηγησαμένων σοφῶν καὶ ἁγίων ἀνδρῶν καὶ τῶν κοινῶν τῆς εὐσεβείας διδασκάλων καὶ τῶν ἀρχῶν τῆς πίστεως, λέξων ἔρχομαι ἢ, μᾶλλον εἰπεῖν, οὐδ' ἐξ οἰκείου δικαστηρίου τὴν ψῆφον αὐτὸς οἴσω· παραθεὶς δὲ μόνον ταῦτα ταῖς τῶν ἁγίων γραφαῖς, τόν τε νοῦν τούτων τῷ ἐκείνων παρεξετάσας, δικαστὰς τοὺς εὐγνώμονας καὶ ἀπαθῶς τὰ παρόντα διελευσομένους προστήσομαι, οὓς καὶ ἀξιῶ μὴ τῇ λέξει προσέχειν ἀφελῶς ἔχουσαν, τὸν δὲ νοῦν ἐξετάζειν καὶ τὴν ἀλήθειαν ἐπιζητεῖν.

Τῶν μὲν εἰς τὸν ἐνδοξότατον μέγαν δοῦκαν ἐγκωμίων κἀγὼ χάριν ὁμολογῶ σὺν πᾶσι τοῖς ἄλλοις αὐτῷ· κοινῇ τε γὰρ ἅπαντες ὀφείλομεν τὰς χάριτας τῷ τοιούτῳ ἀνδρὶ, προθύμῳ τε ὄντι περὶ τὰ κοινὰ καὶ ἐπωφελῇ, καὶ ἰδίᾳ ἕκαστος διὰ τὴν πρὸς ἕκαστον εὔνοιαν αὐτοῦ, κοινὸν πρυτανεῖον ἑαυτὸν ἀγαθοῦ καὶ πάσης χρείας

7. ἑλὼν M: ἑλὼν Δ 13. ἄλλο M: ἄλλό Δ 22. Τὸ ἔχουσαν ἐγράφη πιθανώτατα οὕτως ἀντὶ τοῦ ἐχούσῃ ὑπ' αὐτοῦ τοῦ Ἀγαλλιανοῦ 24. δοῦκαν ἔγραψα: δούκαν Δ: Δούκαν M κἀγὼ M: κἀγὼ Δ

ΕΡΓΑΣΙΑ ΕΠΙ ΤΗΣ ΟΜΟΤΙΜΟΥ ΚΑΘΗΓΗΤΟΥ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΓΑΠΗΤΟΥ ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

καὶ βοηθείας ἑκάστου παρασχομένῳ. Τὰ δὲ κατ' αὐτοῦ ταῦτα ἐγκώμια ἀντὶ πολλῶν καὶ μεγάλων τῶν προσηκόντων αὐτῷ βραχέα καὶ αὐτὸς εἶναι ὁμολογῶ, καὶ ἀνθρώπου πεφεισμένως ἄγαν καὶ ἄκροις ὡς εἰπεῖν δακτύλοις τούτων ἁψαμένου, τῷ βραχυτάτῳ τὸν ἐνεστηκότα ξυγχωρεῖσθαι χρόνον καὶ τῷ μήπω τὸν καιρὸν ἥκειν τῶν ἐγκωμίων τῶν τελεωτέρων ἴσως· τοῖς γὰρ ἀγαθοῖς ἅπας ἀνεῖται καιρὸς εἰς ἔπαινον. Τὸ δὲ χάριεν τῶν αὐτοῦ καλῶν, τὸ μὴ μόνον ἐφιστάνειν τοῖς δόγμασιν οἷόν τε ὄντα, ἀλλὰ καὶ τοῖς ἄλλοις ἀνακοινοῦσθαι περὶ τούτων, οὐ μόνον οἷς σύνοιδεν ὑγιῶς φρονεῖν, ἀλλὰ καὶ τοῖς μὴ οὕτως ἔχουσιν, ἵν' ἐκ πάντων τὸ καλὸν κατὰ τὴν σοφὴν μέλιτταν ἀναλέγοιτο, οὐ χάριεν αὐτὸς ἂν φαίην, ὡς ἄν τις εἴποι, ἀλλὰ γενναῖον καὶ θαυμαστὸν καὶ λογίας ὄντως ἴδιον ψυχῆς. Ὅθεν καὶ τὰ περὶ τούτων ἀφειμένῳ ἰτέον ἤδη μοί ἐστι πρὸς τὰ θεολογικώτερα, οὐ περιέργως τοῦτο ποιοῦντι οὔτε νῦν οὔτ' ἄλλοτε· προὔργου γὰρ τοῦτό γε τυγχάνον πάντως· οὔτ' ἀμελῶς εἴπερ γὰρ ἄλλο τι τοῦτο προσοχῆς τελείας ἄξιον, εἰ μή που περιέργως θεολογεῖν καὶ περιεργότερον ἔτι θεολογήσειν εἴποι τις τὸν μηδὲν ἀναγκαῖον λέγοντα ἢ ἐροῦντα καὶ τῆς ἱερᾶς θεολογίας ἄξιον. Τί οὖν φησι τὰ τῆς θεολογίας;

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Τριῶν ὄντων ἐν τοῖς θείοις προσώπων κατὰ τὰς θεολογικὰς ὑποτυπώσεις καὶ ἀρχάς, πατρὸς, υἱοῦ τε καὶ θείου Πνεύματος, ἡνωμένων μὲν τῇ οὐσίᾳ, διακρινομένων δὲ ταῖς ἰδιότησι χρήματι.

ΑΓΑΛΛΙΑΝΟΣ

Ὁ μὲν θεμέλιος ὡς εὐσεβὴς καὶ ἀληθὴς καὶ θεολογικώτατος

5. ξυγχωρεῖσθαι ἔγραψα: ξυγχωρῆσθαι ΔΜ 15. τυγχάνον Μ: τυγχάνων Δ 17. θεολογήσειν Μ: θεολογήσων Δ τις Μ: τὶς Δ 19. φησι Μ: φησὶ Δ

ΕΛΛΗΝΙΚΟ ΙΔΡΥΜΑ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΕΥΝΩΝ ΜΟΕΛΛΗΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΚΑΔΗΜΙΑΣ ΑΘΗΝΩΝ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἀρχή τε καὶ ὑπόθεσις τῆς πίστεως ἀληθεστάτη, εἰ καὶ τὰ ἐποικοδομούμενα αὐτῷ σύμφωνα τοῖς τῶν ἀρχιτεκτόνων καὶ οἷς ἕπεσθαι προστετάγμεθα ἐπιτεθείη. Διακρίνεσθαι γάρ φησι τὰ θεῖα πρόςωπα ταῖς ἰδιότησι. Καλὸν οὖν πυθέσθαι πρὸς τῶν θεολόγων πατέρων τίσιν εἰσὶν αἱ τῶν προςώπων ἰδιότητες, αἳ καὶ διακρίνουσι τὰ πρόςωπα καὶ οὐδὲ μεταπίπτειν πεφύκασιν· ἀμιγεῖς τε καὶ ἀκοινώνητοι κατονομάζονται. Λυδία γάρ τις ἂν εἴη πρὸς τὰ ἑξῆς τό τε κίβδηλον ἐμφαίνουσα καὶ τὸ εἰλικρινές. Εἰ γὰρ τηρήσει τὴν θέσιν, τὴν ἀρχὴν καὶ τὸ αἴτιον ἔνδον ἐν τῇ θεότητι, ὡς ἰδιότητα τοῦ πατρὸς αὐτῷ μόνῳ φυλάξει· εἰ δὲ κοινὰ νομοθετήσει πατρὶ καὶ υἱῷ, πάντως τὰς θεολογικὰς ὑποτυπώσεις παρασαλεύσει.

Αὐτίκα γὰρ ὁ Θεολόγος Γρηγόριος « Αἱ ἰδιότητες, φησί, πατρὸς μὲν καὶ ἀνάρχου καὶ ἀρχῆς ἐπινοουμένου καὶ λεγομένου ». Καὶ ὁ ἱερὸς Διονύσιος « Μόνη πηγὴ τῆς ὑπερουσίου θεότητος ὁ πατήρ ». Καὶ Κύριλλος « Εἰ γνώρισμα τῆς τοῦ πατρὸς ὑποστάσεως ἡ καρπογονία, εἴτουν θεογονία, φυσική τις ἐστὶ πάντως ἰδιότης αὐτοῦ ». Καὶ ὁ μέγας Βασίλειος « Ἴδιον τοῦ πατρὸς ἡ ἀγεννησία καὶ τὸ καλεῖσθαι πατήρ ». Ὅπερ ἀναπτύσσων ὁ Γρηγόριος « Τοῦτό ἐστι, φησίν, ὁ πατήρ, γεννήτωρ καὶ προβολεύς. Ἴδιον δὲ τοῦ υἱοῦ τὸ καλεῖσθαι υἱὸν, καὶ τὸ γεννᾶσθαι ἐκ τοῦ πατρός. Ἴδιον δὲ τοῦ Πνεύματος τὸ καλεῖσθαι Πνεῦμα ἅγιον καὶ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι ». Ἀλλὰ ταῦτα μὲν, ὡς ἔφην, κείσθησαν ὡςανεί τις γνώμων καὶ κανὼν, παρ' οὗ τῶν ἐφεξῆς αὐτοῦ συμπεραινόντων κατάδηλον ἔσται τὸ ἐφαρμόζον. Τί δὲ τὰ ἐφεξῆς;

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Παράγει μὲν τὸ ἓν ὁ πατὴρ, παράγεται δὲ τὰ δύο, υἱός τε καὶ Πνεῦμα ἅγιον.

4. πυθέσθαι M: πύθεσθαι Δ 7 8. τό τε M: τότε Δ
19. τοῦτό ἐστι M: τοῦτο ἐστὶ Δ 23. παρ' M: πάρ' Δ

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΙΗΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΘΝΗΣ ΑΝΘΡΩΠΙΣΤΙΚΗ ΕΤΑΙΡΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΓΡΗΓΟΡΙΟΣ ΠΑΛΑΜΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΑΓΑΛΛΙΑΝΟΣ

Τίνος τῶν θεολόγων ἀκήκοας, ἄνθρωπε, ταύτῃ τῇ λέξει χρησαμένου, τῷ *παράγει;* Ταύτῃ γὰρ οὐ μόνον τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ καὶ τὸν μονογενῆ κτίσμα φρονεῖν δοκεῖς. Ἢ ἀγνοεῖς, ὅτι τὸ παράγειν, ἐν τοῖς τοιούτοις λεγόμενον, τὸ ἔξω ἑαυτοῦ καὶ τῆς φύσεώς τι ποιεῖν ἔστι τὸν θεὸν, ὡς ἡ λέξις ἐμφαίνει; Παράγει γάρ, φησι τὰ σύμπαντα· καὶ, Παρήγαγε τὸν κόσμον ἀπὸ τοῦ μὴ ὄντος. Διὸ καὶ οἱ διδάσκαλοι τῆς ἐκκλησίας τῷ *προάγει* καὶ τῷ *πρόεισι* μᾶλλον ἐχρήσαντο ἐπὶ τῆς ἔνδον θεολογίας. Τῇ γὰρ τοιαύτῃ προθέσει μᾶλλον ἔγνωσαν τὴν τῶν ἐνδοτέρων γίνεσθαι προόδων ἔμφασιν. Ἠκριβωμένας δὲ δήπου καὶ τὰς λέξεις εἶναι δεῖ τῶν θεολογούντων, ἵνα μήθ' ἑκόντες μήτ' ἄκοντες κακὴν δόξαν περὶ σφῶν αὐτῶν παράσχωσι καὶ ὧν προὔθεντο.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Οὔτε γὰρ ἀφ' ἑαυτῶν ἔδει ταῦτα εἶναι, ἵνα μὴ ἑτερότης γένηται φύσεως, οὔτ' ἐξ ἀλλήλων παράγεσθαι οἷς αὐτό τι ἑαυτὸ παράγειν ἀμήχανον.

ΑΓΑΛΛΙΑΝΟΣ

Καὶ τοῦτο, οἶμαι, ἀτέχνως ἅμα καὶ περιττῶς εἴρηται. Ἔδει γὰρ μᾶλλον εἰπεῖν, ὡς οὔτ' ἀφ' ἑαυτῶν ἔδει ταῦτα εἶναι οἷς αὐτό τι ἑαυτὸ προάγειν ἀμήχανον, καὶ ἅμα ἵνα μὴ ἑτερότης γένοιτο φύσεως, οὔτ' ἐξ ἀλλήλων προϊέναι, ἵνα μὴ ἐξ ἀλλήλων αἱ ἀρχαὶ εἶεν, καὶ οὕτως οὐδεμία εἴη ἀρχὴ, μηδενὸς ὄντος ἀγεννήτως καὶ

5-6. φύσεώς τι M: φύσεως τὶ Δ 6. γάρ φησι Δ: γὰρ φησὶ M
16. αὐτό τι M: αὐτὸ τὶ Δ 20. αὐτό τι M: αὐτὸ τὲ Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Ν. ΑΣΚΗΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΟΙΚΟΝΟΜΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἀναιτίως, εἰ καὶ οὕτω χριστιανικώτατον ὂν, καὶ οὔτ' ἐξ ἀλλήλων, οὔτ' ἐξ ἑαυτῶν εἶναι ταῦτά φαμεν, οὕτω τῆς Γραφῆς διδασκούσης. Καὶ γὰρ Γρηγόριος ὁ θεῖος, πολὺ βελτίων ὢν θεολόγος, Διὰ τοῦτο ἐπὶ τῶν ἡμετέρων ὅρων ἱστάμενοι, φησὶ, τὸ ἀγέννητον εἰσάγομεν, 5 καὶ τὸ γεννητὸν καὶ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, ὥς που φησιν αὐτὸς ὁ Θεὸς Λόγος. Τῷ γὰρ τῆς Γραφῆς ἐρείδεται ἀξιώματι καὶ τοῖς ἐκεῖθεν πεπηγόσιν ὅροις ἐμμένειν φησὶν, οὗ δὴ καὶ τὸ ἐκ πατρὸς ἐκπορευόμενον προστεθεικὼς πᾶσαν κακοφωνίαν τῶν τοὺς ὅρους τούτους παρεξιόντων ἀνεῖλεν.

10 ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ἓν οὖν φησι δι' αὐτὸ τό γε παράγον, τὰ δὲ λοιπὰ παραγόμενα.

ΑΓΑΛΛΙΑΝΟΣ

Καλῶς ἔχει τοῦτο πλὴν τῆς λέξεως, εἰ μέχρι τούτου σταίης· εἰ γὰρ ἕν ἐστι τὸ προάγον ἐν τοῖς τρισὶ, τοῦτο δ' ἐστὶν ὁ πατὴρ, 15 καὶ μόνος, εἴπερ ἓν, οὐκ ἄρα ὁ υἱὸς, οὐδὲ μετὰ τοῦ υἱοῦ ὁ πατήρ. Τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν προϊόντων· δύο εἰσὶ τὰ προϊόντα, ὁ υἱὸς καὶ τὸ Πνεῦμα· οὐκ ἄρα ὁ υἱὸς προάγει. Τοῦτο καὶ Γρηγορίῳ δοκεῖ τῷ Θεολόγῳ ἐν τοῖς πρὸς Ἥρωνα λέγοντι· Ἀληθῶς πατέρα τὸν πατέρα, ὅτι μόνως· ἰδιοτρόπως γάρ· καὶ μόνος· οὐ γὰρ μετὰ 20 συζυγίας· καὶ μόνου· μονογενοῦς γάρ· καὶ μόνον ἀληθῶς υἱὸν τὸν υἱὸν, ὅτι μόνος καὶ μόνου καὶ μόνως καὶ μόνον· εἰ γὰρ πατὴρ, καὶ ὅλον υἱός. Εἰ οὖν μόνως πατὴρ ὁ πατὴρ καὶ οὐ μετὰ συζυγίας· τοῦτο δ' ἐστὶν ὁ πατὴρ, γεννήτωρ καὶ προβολεύς· καλῶς

1. εἰ ἔγραψα: ἢ ΔΜ 2. ταῦτά φαμεν Μ: ταῦτα φαμὲν Δ 3. βελτίων Μ: βέλτιων Δ 4. φησὶ Μ: φησὶν Δ 7. φησὶν Μ: φησὶ Δ 11. φησι Μ: φησὶ Δ 14. ἐστι Μ: ἐστὶ Δ ἐστὶν Δ: ἔστιν Μ 22-23. Μετὰ τὸ συζυγίας κενὸν Δ:..... Μ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ι. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἂν εἶχέ σοι μέχρι τούτου στῆναι καὶ τοῖς ὅροις τούτοις ἐμμένειν. Σὺ δὲ προϊὼν τὴν καινὴν μίξιν ἐπινοήσεις, τὸ γεννητοαγέννητον καὶ τὸ αἰτιατοαίτιον ἤ, κατὰ σὲ φάναι, παραγομενοπαράγον, ὅταν ὃν φῆς παράγεσθαι συμπαράγειν νουθετήσεις τὸ συμπαραγόμενον πρόςωπον, τέρατά τινα παραδιδοὺς καὶ θεολογίαν ἀνήκουστον. 5 Ἀλλ' ἀποτρέπει σε Ἀθανάσιος ὁ μέγας ἐν τῷ περὶ ἀϊδίου ὑπάρξεως λέγων «Ἔσται τὸ αὐτὸ αἴτιον καὶ αἰτιατὸν, γεννῶν καὶ γεννώμενον, ὅπερ ἄτοπον» καὶ ὁ Θεολόγος, καινὴν μίξιν ὀνομάζων τὸ γεννητοαγέννητον. Τί γὰρ ἐν τῷ μέλιτι κρύπτεις τὸ δηλητήριον, ἀλλ' οὐκ εὐθὺς ἀνακαλύπτεις; Ἔδει γάρ σε λέγειν μᾶλλον 10 εὐθὺς ἓν μὲν εἶναι τὸ παράγον, ἓν δὲ τὸ παράγον καὶ παραγόμενον, ἓν δὲ τὸ παραγόμενον μόνον, ὡς ἐκ τῶν λόγων σου φανήσῃ φρονῶν. Ἀλλ', ὡς ἔοικε, τὸ μὲν ἀληθῆ που τιθέναι θεμέλιον ἐκ τῆς ἀνάγκης τῆς ἀληθείας ἐστὶ, τὸ δὲ σύμφωνα ἢ μὴ τοιαῦτα ἐποικοδομεῖν τῆς ἡμετέρας ἐν τοῖς τοιούτοις πείρας ἢ προαιρέσεως. 15 Τί τὸ ἐντεῦθεν;

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Παράγων δὲ ὁ πατὴρ παρακτικὰς δήπουθεν ἕξει δυνάμεις, διακρινομένας πως καὶ αὐτὰς οἷς δι' αὐτῶν διακρινόμενα παράγεται πρόςωπα, τὴν μὲν ᾗ τὸν υἱὸν, τὴν δ' αὖ πάλιν ᾗ παράγει 20 τὸ Πνεῦμα τὸ ἅγιον.

ΑΓΑΛΛΙΑΝΟΣ

Τοῦτό ἐστιν ὁ θεμέλιος τῆς καινοτομίας τῆς τῶν ἁγίων θεολογίας. Τίς γάρ ποτε τῶν θεολόγων εἴρηκε προςεῖναι τῷ πατρὶ

1. εἶχέ M: εἶχε Δ 3. παραγομενοπαράγον ἔγραψα: παραγομενοπαράγων ΔM 4. φῆς Δ: φῇς M 9 (καὶ 16). τί M: τὶ M 12. φανήσῃ ἔγραψα: φανήσει ΔM 23. τοῦτό ἐστιν M: τοῦτο ἐστὶν Δ θεολογίας M: θεολγίας Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΠΙΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΙΣΤΟΡΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΘΝΟΥΣ ΚΕΝΤΡΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΓΙΟΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

δυνάμεις παρακτικὰς ἐν αὐτῷ διακρινομένας, δι' ὧν προάγει τὰ θεῖα πρόσωπα; Οὐδεὶς δήπου. Τῆς δὲ καινοτέρας ταύτης θεολογίας ἐστὶν εὕρημα καὶ ὡςανεὶ θεμέλιος τοῦ δόγματος τούτου τοῦ καινοῦ, προϋποτιθέντων τῶν τοῦτο κατασκευαζόντων ἐν τῷ πατρὶ
5 ταύτας ἃς αὐτοὶ λέγουσι δυνάμεις παρακτικὰς, τάξει τινὶ προςούσας αὐτῷ, ὥςτε τὴν μὲν εἶναι προτέραν δεῖν, τὴν δὲ δευτέραν, ἵν' οὕτω προάγοιντο καὶ τὰ θεῖα πρόςωπα, προλαμβανούσης δῆλα δὴ τῆς γεννητικῆς δυνάμεως καὶ ὑφεστώσης τὸν υἱὸν, ἵνα φθάσῃ συμπροάγειν τῷ πατρὶ τὸ θεῖον Πνεῦμα, κοινοποιουμένης τῆς
10 ἑτέρας παρακτικῆς δυνάμεως, τῆς λεγομένης προβλητικῆς, τῷ υἱῷ, τῷ φθάσαι ταύτην λαβεῖν ἐν τῷ γεννᾶσθαι, τοῦ δὲ Πνεύματος ἀποκλειομένου τῷ λαχεῖν ὑστερογενεστέρας δυνάμεως τῆς παραγούσης αὐτὸ καὶ διὰ τοῦτο μὴ ἔχοντος δύναμιν παρακτικὴν κατὰ τὸν υἱὸν καὶ τὸν πατέρα, ἀλλὰ κατ' αὐτὸ τοῦτο ἐλλι-
15 ποῦς ὄντος. Ἃ πόσης ἔχονται βλασφημίας, πάντες ἂν εἰδεῖεν οἱ καὶ μετρίαν ἐν τοῖς τοιούτοις εἴδησιν ἔχοντες. Ἀλλ' ἔδει δήπου ταύτας τὰς δυνάμεις καὶ προςειπεῖν ἢ οὐσιώδεις καὶ φυσικὰς ἢ ὑποστατικάς. Οὕτω γὰρ μεμαθήκαμεν πρὸς τῆς ἱερᾶς θεολογίας πάντων τῶν ἐπιθεωρουμένων ἢ λεγομένων ἐν τῇ ὑπερουσίῳ Τριάδι
20 τὰ μὲν οὐσιώδη εἶναι, τὰ δὲ ὑποστατικά· καὶ τὰ μὲν ἀπὸ τοῦ λόγου τῆς οὐσίας ἀνίσχοντα κατηγορεῖσθαι καὶ τῶν τριῶν προςώπων· ὅσα γάρ φησιν ὁ ἱερὸς Διονύσιος ἐπὶ τοῦ πατρὸς καὶ αὐτοῦ, ἤτοι τοῦ υἱοῦ, τῷ θεαρχικῷ Πνεύματι κοινωνικῶς καὶ ἡνωμένως ἀνατίθησι τὰς θεουργίας, τὸ σέβας, τὴν πηγαίαν καὶ ἀνέκλεπτον αἰ-
25 τίαν καὶ διανομὴν τῶν ἀγαθῶν δώρων· καὶ οὐδένα τῶν τοῖς θείοις λόγοις ἀδιαστρόφοις ἐννοίαις ἐντεθραμμένων οἶμαι πρὸς τοῦτο ἀντερεῖν, ὅτι τὰ θεοπρεπῆ πάντα τῇ ὅλῃ θεαρχίᾳ πρόςεστι κατὰ τὸν θεοτελῆ λόγον· ὅσα δὲ ταῖς ὑποστάσεσι προςήκει ἢ τοιαῖςδε ὑποστάσεσιν ἀκοινώνητα παντάπασιν εἶναι καὶ ἀμιγῆ ὡς
30 ἰδιότητας, οὐδεμιᾶς ἐν τούτοις ἀντιστροφῆς ἢ ὅλως κοινότητος

7. δῆλα δὴ ἔγραψα: δηλαδὴ ΔΜ 13. αὐτὸ ἔγραψα: αὐτῷ ΔΜ
14-15. ἐλληποῦς Μ: ἐλιποῦς Δ

ΕΓΡΑΦΤΟ ΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΚΔΟΣΕΩΣ ΙΔΡΥΣΙΣ ΟΙΚΟΝΟΜΙΑΣ ΤΟΜΕΑΣ ΕΚΔΟΣΕΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΠΙΤΡΟΠΗ ΕΚΔΟΣΕΩΝ ΑΝ. ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Ο. ΠΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἐπεισαγομένης, φησὶν ὁ αὐτὸς Διονύσιος· πῶς γὰρ ἂν καὶ μείνῃ ἰδιότης κινουμένη καὶ μεταπίπτουσα; Μέσον δέ τι τούτων ἡμῖν οἱ θεολόγοι τῆς ἐκκλησίας οὐ παρέδωκαν, ἀλλ' ἡ καινὴ αὕτη θεολογία ἑκατέρωθεν ὁρῶσα ᾧ περιπίπτει, εἰ καὶ μὴ ὁμολογεῖ ἢ μὴ νοεῖ, ἵνα μὴ ἑτεροούσιον ἀποφήνῃ τὸ Πνεῦμα, εἰ οὐσιώδεις εἴποι τὰς δυνάμεις ταύτας, μὴ μετέχον καὶ αὐτὸ τοιαύτης τινὸς παρακτικῆς δυνάμεως, μήτε τῇ δυαρχίᾳ περιπέσῃ τῷ ὑποστατικὰς αὖ προσειπεῖν, ὥσπερ ἐν μεταιχμίῳ ἵστησιν ταύτας, ἀλλ' οὐδέτερον αὐταῖς προσμαρτυρεῖ, ἕως ἂν ἀρχὰς ὀνομάσῃ καὶ γονιμότητας κοινὰς πατρὶ καὶ υἱῷ, οὐ μὴν καὶ τῷ Πνεύματι, ἐναντίως καὶ τοῦτο τοῖς διδασκάλοις, τὰ κοινὰ πατρὶ καὶ υἱῷ κοινὰ καὶ τῷ Πνεύματι λέγουσιν.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ἡ κοινὰς μὲν καὶ τῷ Πνεύματι, ἀλλ' ἐν ἐκείνοις μὲν μετὰ τῆς ἐνεργείας, ἐν τούτῳ δὲ δίχα ἐνεργείας.

ΑΓΑΛΛΙΑΝΟΣ

Τί τούτου τερατωδέστερον ἤκουσεν ἄνθρωπος;

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ἀρχὰς δέ φησι καὶ γονιμότητας μήτε παραγούσας μήτε παραγομένας· ἑκάτερον γὰρ ὑποστάσεως ἴδιον.

ΑΓΑΛΛΙΑΝΟΣ

Καὶ τίς ἡ πολλὴ σπουδὴ δυνάμεις ἐπινοεῖν καὶ ἀρχὰς αὐτὰς ὀνομάζειν καὶ γονιμότητας καὶ ὅσα μηδεὶς τῶν θεολόγων ἐτόλμησεν, εἴπερ ἴδιον ὑποστάσεως τὸ προάγειν ἢ προϊέναι; Καὶ

1. μείνῃ M: μείνη Δ. Οὕτως ἔγραψε πιθανώτατ' ἀρχῆθεν αὐτὸς ὁ Ἀγαλλιανός 9. ὀνομάσῃ M: ὠνομάση Δ 11. τοῦτο ἔγραψα: τούτῳ ΔM 22. τίς M: τὶς Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΘΕΟΛΟΓΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΗΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πῶς οὐ τοσαῦται ἀρχαί, ὅσαι καὶ ὑποστάσεις αἱ προάγουσαι; Ἤ τίνα δύναμιν ἔχουσιν αἱ ἐξευρημέναι αὗται δυνάμεις τὰς ὑποστάσεις ἀμέμπτως συναλείφειν, ἣν οὐ Σαβέλλιος ἐξευρεῖν δεδύνηται, ἐφ' ᾧ καὶ ἀθῶος γενέσθαι τοῦ κατακρίματος; Τρόπον οὖν
5 ἄλλον ἡμῖν παραδίδωσιν ἡ τοιαύτη τῶν δυνάμεων ἐπίνοια καινότερον καὶ ἀνήκουστον τοῖς ἁγίοις, ὡς ἂν εἴποι τις γεννηθέντα τὸν υἱὸν διὰ τῆς μιᾶς δυνάμεως τοῦ πατρὸς, εἶτα, δραξάμενον καὶ τῆς ἑτέρας αὐτοῦ, δι' αὐτῆς μετὰ τοῦ πατρὸς προάγειν τὸ Πνεῦμα τὸ ἅγιον, ὑστερίζον κατὰ γένεσιν, μηδὲ μετέχον τινὸς τῶν δυνά-
10 μεων, ὥςπερ λόγῳ μόνῳ ἀρκοῦν τὸ συναΐδιον καὶ τὸ ἄχρονον καὶ τὸ οὐδέτερον ἑτέρου λέγεσθαι, μὴ σκοπῶν δὲ ὅπως καὶ ἀπὸ τῶν θέσεων ταῦτα ἐμφαίνοιντο, συμφωνουσῶν τοῖς λόγοις, ἀλλὰ τοὐναντίον μᾶλλον αὐταῖς συμπεραίνεσθαι.

Δυνάμεις δὲ διακρινομένας εἰπόντα, καὶ τὸν τρόπον ἔδει προς-
15 θεῖναι τῆς διακρίσεως. Εἴχομεν γὰρ ἂν ἐπιγινώσκειν αὐτὸν ἐν τίνι γένει διακρίσεως τὴν τῶν δυνάμεων διάκρισιν τίθησιν, ὡς ἔκ γε τοῦ λόγου πραγματικῶς αὐτὰς διακρίνειν. Δι' αὐτῶν γάρ φησι διακρινόμενα πρόςωπα παράγεται. Ἴσως οὖν ἐοικέναι βούλοιτ' ἄν, ὡς τῷ διακεκρίσθαι, οὕτω καὶ τῷ τρόπῳ τῆς διακρίσεως, ἐπεὶ
20 καὶ προεπινοεῖ τὴν γεννητικὴν τῆς προβλητικῆς, ὡς καὶ ἐκεῖ προτέραν οὖσαν δήπου, ὡς τὸ γεννητὸν τοῦ ἐκπορευτοῦ λέγει πρότερον. Εἰ δ' ἄλλο τι βούλοιτο λέγειν, ὀλίγον τῷ λόγῳ βοηθήσει. Ἀρχὰς δέ φησιν οὔσας τε καὶ δυνάμεις καὶ γονιμότητας.

Παραχθήτω τις τῶν ἁγίων ταῦτα λέγων καὶ ἀρχὰς καὶ γονι-
25 μότητας. Ἀλλ' οὐκ ἔστιν· αὐτὸς δὲ προϊὼν ὥςπερ ἐκ μεταμέλου τὴν τοῦ πατρὸς οὐσίαν εἶναι φήσει τὴν ἀρχὴν καὶ τὴν δύναμιν τῆς παραγωγῆς τῶν θείων προςώπων. Εἶθ' ὥςπερ τοὺς θεολόγους

2. ἔχουσιν ἔγραψα: ἔχουσαι ΔΜ 3. συναλείφειν Μ: συναλλοίφειν Δ ἐξευρεῖν Μ: ἐξευρῶν Δ 5-6. καινότερον Μ: καινοτέραν Δ 6. τις Μ: τὶς Δ 9. μηδὲ Μ: μὴδὲ Δ
17. γάρ φησι Δ: γὰρ, φησὶ, Μ 18. βούλοιτ' Δ: βούλοιτο Μ
22. βούλοιτο Μ: βούλοι το Δ

ΕΛΛΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΘΥΝΤΗΣ ΑΓΙΟΥ ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΑΠΑΣΙΣΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

δεδιὼς, μήτε προάγειν μήτε προϊέναι τὴν οὐσίαν φάσκοντας, ξυνεῖναι φήσει τῇ οὐσίᾳ, καὶ ἄλλ' ἄττα τὴν διαφορὰν ποιοῦντα τῶν δυνάμεων.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ταῦτα δὲ νοῦς ἂν εἴεν καὶ βούλησις. 5

ΑΓΑΛΛΙΑΝΟΣ

Οὐκ οἶδ' ἐξότου τοῦτο λαβών· εἰ μὲν γὰρ ταὐτὸν βούλεται τὴν δύναμιν εἶναι καὶ τὴν οὐσίαν, καὶ οὐσίας ἐρεῖ τὴν μίαν οὐσίαν, ὥςπερ καὶ ἀρχὰς καὶ δυνάμεις οὔσας καλεῖ· εἰ δὲ οὐ βούλεται τοῦτο, τὴν μὲν τῷ πατρὶ ὁριζομένην οὐσίαν εἶναι τὴν ἀρχὴν τῶν 10 ἐξ αὐτοῦ προϊόντων προςώπων. Ταύτας δὲ τὰς δυνάμεις καὶ γονιμότητας, ἃς ξυνεῖναι τῇ οὐσίᾳ λέγει, καὶ νοῦν τε καὶ βούλησιν ὀνομάζει καινοτρόπως ὡς ἰδιότητας ἐπιθεωρεῖσθαι τῇ οὐσίᾳ, ἵν' αὕτη μετὰ τῆς ἰδιότητος εἴη ὑπόστασις ἀρχὴ προακτικὴ, ἀπὸ ποίας ἀνάγκης ἀποδείξει ταύτας τὰς ἰδιότητας κοινοῦσθαι καὶ τῷ 15 υἱῷ, τῷ Πνεύματι δὲ μή; Οἶμαι, πολλὰ καμὼν οὐ δείξει, θήσει δὲ μόνον πολλὰ σαθρὰ καὶ ἐπικίνδυνα καὶ τῇ συνηθείᾳ τῶν θεολόγων ἄγνωστα.

Γονιμότητας δέ τίς ποτε τῶν ἁγίων εἶπε; Πηγαίαν μὲν οὖν ἴσως θεότητα καὶ μόνον πηγὴν καὶ ῥίζαν καὶ αἰτίαν καὶ θεογό- 20 νον τὸν πατέρα μεμαθήκαμεν, ἐνικῶς προφερόντων ταῦτα τῶν θεολόγων τῷ μίαν γονιμότητα πάντας εὐσεβῶς τιθέναι ἐν τῷ πατρὶ καὶ μίαν προακτικὴν δύναμιν τῷ τῆς ἕξεως τρόπῳ, τῇ πρὸς τὰ προαγόμενα παραθέσει μόνον κατὰ τὸν τῆς ἐνεργείας λόγον διχαζομένην. Αὐτίκα γὰρ ὁ Ἀρεοπαγίτης λέγει· Ὡς Τριάδα 25 δὲ διὰ τὴν τρισυπόστατον τῆς ὑπερουσίου γονιμωτάτην ἔκφανσιν,

7. ἐξότου ΔΜ. Γραπτέον ἐξ ὅτου; 10. ὁριζομένην Μ: ὡριζομένην Δ 26. γονιμωτάτην Μ: γονιμοτάτην Δ

ΕΘΝΙΚΟ ΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΕΡΙΟΔΙΚΟ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗ ΦΙΛΟΣΟΦΙΑ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝΑΠΛ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἐξ ἧς πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται. Ὃν φησιν ὁ Μάξιμος ἐξηγούμενος· Γονιμότητά φησι τὴν πατρικὴν ὑπὲρ ἔννοιαν πρόοδον εἰς ἔκφανσιν τοῦ υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ αὖθις ὁ Διονύσιος· Ὅτι δὲ καὶ τὴν κυρίαν ἔχει τῶν ὅλων ἡ
5 ὅλη θεότης περὶ τῆς θεογόνου θεότητος, ἢ τῆς υἱικῆς, οὐδὲ εἰπεῖν ἔστιν, οἶμαι. Ὅπου καὶ τῷ διαζευκτικῷ δείκνυσιν, ὅτι οὐ βούλεται τῷ υἱῷ προσεῖναι ὅλως τὸ θεογόνον. Καὶ ὁ μέγας Ἀθανάσιος· Μόνος ἀγέννητος καὶ μόνος πηγὴ θεότητος ὁ πατήρ. Καὶ ὁ Θεολόγος Γρηγόριος· Εἷς ἓν αἴτιον, τὸν πατέρα, υἱοῦ καὶ Πνεύματος
10 ἀναφερομένων. Καὶ ὁ Κύριλλος· Πῶς οὐ ζωὴ τὸ ῥίζαν ἔχον τὴν ζωὴν καὶ πηγὴν ὥςπερ τινὰ τὴν ἀκήρατον καὶ παντὸς ἐπέκεινα γεννητοῦ τοῦ θεοῦ φύσεως; Καὶ αὖθις· Εἰ γνώρισμα τῆς τοῦ πατρὸς ὑποστάσεως ἡ καρπογονία, εἴτουν θεογονία, φυσική τις πάντως ἐστὶν ἰδιότης αὐτοῦ. Ὅθεν δῆλον ὡς οὐ βούλονται οἱ δι-
15 δάσκαλοι δύο γονιμότητας καὶ δύο δυνάμεις διακεκριμένας καὶ ἀρχὰς τεταγμένας εἶναι ἐν τῷ πατρὶ, ὡς ἀνάξιον τῆς θεολογίας καὶ ἐπικίνδυνον· οὐδὲ τὴν γεννητικὴν δύναμιν, καὶ ταῦτα προσεπινοουμένην, καὶ τὴν προβλητικὴν μαθόντες πρότερον, οὕτω καὶ τὰ κατ' αὐτὰς προαγόμενα προσηγορεύκασιν, ἀλλὰ μᾶλλον υἱὸν θεοῦ
20 μαθόντες εἶναι τὸν Λόγον αὐτοῦ καὶ Πνεῦμα ἅγιον ἄρρητόν τινα τρόπον, καὶ αὐτὸ τὴν ὕπαρξιν ἔχον ἐξ αὐτοῦ τοῦ θεοῦ καὶ πατρὸς, εἰκότως καὶ δύναμίν τινα διὰ τὴν τοῦ λόγου σαφήνειαν ἐνόησαν τῷ πατρὶ καρπογόνον καὶ γονιμότητα τῇ πρὸς τοὺς καρποὺς ἀποβλέψει διχαζομένην, δύο ὄντας, ἐν δὲ τῷ πατρὶ τῷ
25 τῆς ἕξεως τρόπῳ συνειλημμένως τε καὶ ἑνοειδῶς νοουμένην. Καὶ πολλῷ μᾶλλον ᾗ φησι περὶ τῆς τῶν ὄντων δημιουργίας ὁ ἱερὸς Διονύσιος, ὅτι τὰς πάντων αἰτίας ἐν ἑαυτῷ μονοειδῶς ὁ θεῖος λόγος προείληφεν.

Καὶ ὁ Κύριλλός φησι διὰ μιᾶς δυνάμεως τὸν θεὸν τὰς ποι-

6. ἔστιν M: ἐστὶν Δ 11. ὥςπερ τινὰ M: ὥςπέρ τινα Δ
19. κατ' M: κάτ' Δ 23. ἐνόησαν M: ἐννόησαν Δ 25. ἑνοειδῶς M: ἑνοειδῶς Δ 29. Κύριλλός φησι M: Κύριλλος φησὶ Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

κίλας τῶν ὄντων φύσεις δημιουργεῖν· διὸ καὶ τὰ ἐξ αὐτοῦ προϊόντα φυσικῶς οὐ τάξει τινὶ τοιαύτης προϊέναι ἐθέσπισαν, οἷα ἂν εἴη τῶν ἄλλων τῶν ἀφ' ἑνὸς προϊόντων, ἐν οἷς καὶ τὸ τῷ πρώτῳ πλησιέστερον αἴτιόν ἐστι τρόπον τινὰ τῶν πορρωτέρω, οὐδὲ προεπινοεῖσθαι τὸν γεννήτορα τοῦ προβολέως ἐν αὐτῷ τῷ πατρί· οὐδὲ τὴν γεννητικὴν τῆς προβλητικῆς δυνάμεως, οὐδὲ ἄλλο τι τῶν τοιούτων παρέδωκαν ἡμῖν, πᾶσαν τὴν θεολογίαν ἠκριβωκότες. Πῶς γὰρ οἱ ἅμα τε καὶ ἀμέσως προϊέναι καὶ ἄμφω καὶ προσεχῶς ἐκ τοῦ πατρὸς διδάξαντες τό γε εἰς τὴν γόνιμον καὶ προακτικὴν ἧκον δύναμιν τοῦ πατρός; Ὁ γὰρ Διονύσιος οὐ ῥίζαν καὶ στέλεχος καὶ ἄνθος εἶπεν, ἀλλ' ὅτι ὁ υἱὸς καὶ τὸ Πνεῦμα βλαστοὶ θεόφυτοι, ἐκ μιᾶς δῆλον ὅτι ἀνισχόντες ῥίζης ἅμα καὶ ἀμέσως καὶ προσεχῶς ἄμφω, ἢ δύο ἄνθη, ἐν ἑνὶ βλαστῷ δῆλα δή, ὅτε βλαστὸν τὸν πατέρα δεῖ νοεῖν, ἅμα δύο ἄνθη προάγονται, μηδέτερον θατέρου πρότερον ἢ προσεχέστερον, ἢ ὑπερούσια φῶτα ἐκ μιᾶς λαμπάδος ἀναλάμποντα. Καὶ ταῦτά φησι πρὸς τῶν ἱερῶν λογίων παρειληφέναι, οὐκ ἀφ' ἑαυτοῦ νομοθετεῖν. Καὶ Γρηγόριος ὁ Θεολόγος πρὸς Εὐάγριον γράφων φησίν· Οἱονεί τινες τοῦ πατρὸς ἀκτῖνες ἀπεστάλησαν εἰς ἡμᾶς ὅ τε φεγγώδης Ἰησοῦς καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ μετ' ὀλίγον· Τὸν αὐτὸν τρόπον καὶ ὁ Σωτὴρ ὁ ἡμέτερος καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἡ δίδυμος τοῦ πατρὸς ἀκτίς, τῷ ὡς ἐξ ἑνὸς δῆλα δὴ ἡλίου τοῦ πατρὸς ἀπαστράπτειν ἄμφω. Ἀλλὰ καὶ δίρρυτον ποταμὸν ὀνομάζει τὸν υἱὸν καὶ τὸ Πνεῦμα, ἐκ μιᾶς πηγῆς τοῦ πατρὸς δηλαδὴ προϊόντα. Καὶ οἱ ἄλλοι δὲ πάντες τοῖς τοιούτοις χρῶνται ὁμοίως, οἷς ἂν ἐμφήνειαν ἅμα τὴν προαγωγὴν εἶναι υἱοῦ τε καὶ Πνεύματος καὶ ἀμέσως καὶ προσεχῶς ἐκ πατρὸς, καὶ ἄμφω τὰ δεύτερα φέροντα τῇ ἀπο-

4. αἴτιόν ἐστι M: αἴτιον ἐστὶ Δ 6. ἄλλο M: ἄλλό Δ
12. δῆλον ὅτι ἔγραψα: δηλονότι ΔM 13. δῆλα δὴ ἔγραψα: δηλαδὴ ΔM 16. ταῦτά φησι M: ταῦτα φησὶ Δ 20. μετ' ὀλίγον M: μετολίγον Δ 23. ὀνομάζει M: ὠνομάζει Δ

ΕΛΛΗΝΙΚΑ ΣΥΣΤΗΜΑΤΑ ΠΛΗΡΟΦΟΡΙΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΘΝΕΣ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΔΡΥΜΑ ΜΙΧΑΗΛ ΚΑΡΑΓΙΑΝΝΗ ΘΕΣΣΑΛΟΝΙΚΗ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΗ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

βλέψει τῆς κοινῆς σφῶν αὐτῶν αἰτίας, ἐξ ὧν συμπροΐασιν ὡς αἰτιατὰ μόνον, κατ' ἄλλο δ' οὐδέν.

Ἀλλ' ἡ ἄρρητος τοῦ θεοῦ σοφία τὴν ἀσθένειαν τῆς ἡμετέρας εἰδυῖα φύσεως, καὶ ὅτι οὐχ οἵα τε ἔσται ἡ ἡμετέρα νόησις καὶ ὁ λόγος συνάμα ἐκεῖνα νοεῖν τε καὶ λέγειν, οὐδὲ γὰρ οὐδὲ ἐν αὐτῷ τὸ νοεῖν καὶ λέγειν ὅτι συνάμα τοδὶ ἐστί, καὶ τοδὶ δυνάμεθα, μὴ καὶ θάτερον θατέρου προνοεῖν καὶ προεκφέρειν δυοῖν ὄντων κατὰ τὰς ὑποστάσεις, διὰ τοῦτο τὴν τάξιν ταύτην παρέδωκεν ἐν τῷ περὶ τοῦ βαπτίσματος λόγῳ, λόγοις ἴσως καὶ ἄλλοις τισὶν ἀναγκαίοις καὶ εὐσεβέσι, προταχθέντος τοῦ υἱοῦ τῆς τοῦ Πνεύματος ὑποστάσεως κατὰ τὸν μέγαν Βασίλειον ἐν τῇ Πρὸς τὰς κανονικὰς φάσκοντα· Γέγραπται τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ θεοῦ· εἰ δὲ ἐκ τοῦ θεοῦ, πῶς πρεσβύτερόν ἐστι τὸ ἐξ οὗ ἐστι; Τίς δὲ καὶ ἡ παράνοια, ἑνὸς ὄντος τοῦ ἀγεννήτου, ἀλλ' ὅτι λέγειν τοῦ ἀγεννήτου ἀνώτερον, ἀλλ' οὐδὲ τοῦ μονογενοῦς πρότερον; Οὐδὲν γὰρ μέσον υἱοῦ καὶ πατρός.

Ἔνθα καὶ ἄλλην ἀποδίδωσιν αἰτίαν τοῦ μὴ λέγειν πρότερον τὸ Πνεῦμα τοῦ μονογενοῦς, καὶ οὐ τὴν αὐτὴν ἣν εἴρηκεν ἐπὶ τοῦ πατρός. Ἐκεῖ μὲν γάρ φησιν ἡ αἰτία κωλύει· οὐ γάρ τι ἂν εἴη πρότερον τὸ ἐξ οὗ ἐστιν· ἐνταῦθα δὲ οὐ τοιοῦτόν τι ἐστι, φησίν, ἀλλ' ἡ ἄμεσος σχέσις τοῦ πατρὸς ὀνόματος πρὸς τὸν υἱόν. Εἶτα ἐπάγει· Ὥςτε ἡ περὶ τὴν τάξιν καινοτομία αὐτῆς τῆς ὑπάρξεως ἀθέτησιν ἔχει καὶ ὅλης τῆς πίστεως ἄρνησιν. Τὴν δὲ τοιαύτην τάξιν ἔλαβεν ἀπὸ τῆς θείας Γραφῆς. Προλαβὼν γὰρ ἔφη· Τέτακται δὲ, ὡς ἐν Εὐαγγελίοις δεδιδάγμεθα, παρὰ τοῦ Κυρίου εἰπόντος Πορευθέντες βαπτίζετε εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ταύτην οὖν τὴν τάξιν τὴν διὰ τὰ

4. εἰδυῖα M: εἰδυία Δ οἵα M: οἷά Δ 5 (καὶ 6). συνάμα Δ: σύναμα M 6 (δίς). τοδὶ M: τὸ δὶ Δ 8. παρέδωκεν M: παρέδοκεν Δ 13. πρεσβύτερόν ἐστι M: πρεσβύτερον ἐστὶ Δ τίς M: τὶς Δ 17. ἀποδίδωσιν ἔγραψα: ἀποδίδωσι ΔM 18. μονογενοῦς M: μονογεννοῦς Δ 20. ἐστιν M: ἐστὶν Δ τοιοῦτόν τί εστι M: τοιοῦτον τὶ ἐστὶ Δ

ΙΔΡΥΜΑ ΙΩΑΝΝΗΣ Κ. ΦΙΛΟΠΟΥΛΟΥ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΗΣΗ: Ν. ΑΘ. ΤΑΤΑΚΗ ΚΑΘΗΓΗΤΗΣ Ο. ΠΕΤΡΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

εἰρημένα τοῖς θείοις ὀνόμασι γινομένην δεῖν φασιν ἀκαινοτόμητον εἶναι καὶ μήτε ἐν τῷ βαπτίσματι μήτε ἀλλαχοῦ μεταποιεῖσθαι.

Οὐ μὲν οὖν τάξιν εἴρηκεν ὁ διδάσκαλος ἢ ἄλλος τις τῶν θεολόγων, ἣν ἐξεῦρεν ἡ καινὴ αὕτη θεολογία βαθμοῖς τισι καὶ προηγήσεσι συντεθειμένην, τῷ προτέραν εἶναι δῆλα δὴ τὴν παραγωγήν, ὡς αὐτός φησι, τοῦ υἱοῦ τῆς τοῦ Πνεύματος ὑποστάσεως τῷ προηγεῖσθαι τὴν γεννητικὴν δύναμιν ἐν τῷ πατρί, ἀρχὴν οὖσαν τοῦ υἱοῦ, τῆς προβλητικῆς ἀρχῆς οὔσης τοῦ Πνεύματος, οὐδὲ τῷ πρότερον εἶναι τὸν γεννήτορα τοῦ προβολέως τῷ προηγεῖσθαι τὸν νοῦν ἤτοι τὴν μνήμην, ὡς ὁ πρὸς ὃν ὁ λόγος ἔφη τῆς βουλήσεως.

Ταῦτα γὰρ οὐδὲ εἰς νοῦν τοῖς θεολόγοις ἀνέβη· πῶς γὰρ ἄν, εἰς μυρίας ἀτοπίας ἐκφέροντα; καίτοι τὰς ἀτοπίας καὶ αὐτὸς φεύγειν μεγαλαυχῶν, ἔστιν οὗ τὴν προεπίνοιαν ἐπιχρώννυσι. Λέγουσι μὲν οὖν οἱ ἅγιοι προεπινοεῖσθαι τὸν πατέρα τοῦ υἱοῦ ὡς αἴτιον, ἵνα τὴν τοῦ χρόνου προήγησιν ἀνέλωσιν· ἀλλ' οὐ διὰ τὸ προεπινοεῖσθαι καὶ αἴτιόν φασι τοῦ υἱοῦ. Ἀλλ' αἴτιον μὲν εἶναι ὑπόκειται καὶ τὸ προτετάχθαι ὡς αἴτιον ὡςαύτως· τὸ δὲ πρότερον τὸν χρόνον τῷ προτέρῳ τῆς ἐπινοίας διακρούονται. Ἐφ' ὧν δὲ ἡ κατὰ τὴν αἰτίαν τάξις ἀμφισβητεῖται, ἡ προεπίνοια πρὸς τὸ δεῖξαι ταύτην οὐκ ἐξαρκεῖ. Ἐπὶ δὲ τῶν δυνάμεων ἃς φησιν, ἡ προεπίνοια δὲ πολλῷ μᾶλλον ἀλυσιτελὴς πρὸς τὴν χρείαν αὐτῷ, εἰ καὶ δοίη τις εἶναι δύο δυνάμεις ταύτας ἐν τῷ πατρί.

Ἀλλ' αὐτὸς ὡς διὰ τὰς δυνάμεις, ἴσως γνωριμωτέρας οὔσας ἡμῖν τοῦ θεοῦ, τὰς ὑποστάσεις καὶ τὰς τούτων προόδους ἐπιγινωσκόντων ἡμῶν, ἀπὸ τῶν δυνάμεων ἐνσπείρειν ἄρχεται τὸ ψεῦδος, ὡς ἂν ἐπὶ τῶν προσώπων ἀναφανῇ, καὶ τὸν ὅλον καὶ μόνον

1. φασιν M: φησὶν Δ 2. μεταποιεῖσθαι M: μεταποιῆσθαι Δ 3. τις M: τίς Δ 4. τισι M: τισὶ Δ 5. συντεθειμένην M: συντεθιμένην Δ (καὶ κατωτέρω πολλαχοῦ). δῆλα δὴ ἔγραψα: δηλαδὴ ΔM 17. αἴτιόν φασι M: αἴτιον φασὶ Δ 21. φησιν M: φησὶν Δ 23. τις M: τὶς Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΠΕΤΗΡΙΣ ΤΟΥ ΤΟΜΕΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Θ. ΠΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

υἱὸν κατὰ τὸν Θεολόγον, ὃν καὶ αὐτὸς πρότερον ἀληθεύων εἴρηκε μόνον παραγόμενον, ὅσον οὐκ ἤδη ἀπ' ἐναντίας ἑαυτοῦ καὶ τῆς ἀληθείας προβολέα καὶ αἰτίαν καὶ ἀρχὴν ἀπεργάσεται καὶ ἀπὸ τῆς τάξεως κατασκευάσει ταῦτα, ὅτι τοῦ πατρὸς δεύτερος ὁ υἱός, πρῶ-
5 τος δὲ τοῦ Πνεύματος, τρίτον δὲ τὸ Πνεῦμα τὸ ἅγιον διὰ τὰς δυνάμεις τὰς προαγούσας ἢ τὰς αἰτίας, ὅτι ἡ μὲν προηγεῖται, ἡ δὲ ὑστερίζει. Καὶ εἰ μὲν προσεχέστερος τοῦ πατρὸς τῇ δυνάμει, ἣν φησιν εἶναι τὴν οὐσίαν, οὐκοῦν καὶ οὐσία· τὸ δὲ πορρώτερον καὶ ἄλλα πλείω βλάσφημα καὶ χείρονα τούτων πᾶς τις ὀρθῶς τε καὶ ἀπαθῶς
10 σκοπῶν ἐνυπάρχοντα τῷ λόγῳ φωράσει. Καὶ παρακατιὼν λέγει

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ἀλλὰ μὴν, τῆς τοῦ πατρὸς ὑποστάσεως τῆς αὐτῆς οὔσης, ὅτε παράγει τὰ πρόσωπα, καὶ τῆς οὐσίας μιᾶς οὔσης αὖ πάλιν ἀρχῆς καὶ δυνάμεως, τὰ παραγόμενα τὰ αὐτὰ ἂν ἦν πάντη πάν-
15 τως, μᾶλλον δὲ ἓν ἂν ἦν τῷ ὄντι τὸ παραγόμενον πρόσωπον, εἰ μὴ τῇ οὐσίᾳ, καὶ ἄλλ' ἄττα συνῆν, δι' ὧν διάφοροί πως γένοιντο αἱ δυνάμεις αἷς, υἱὸν καὶ Πνεῦμα παράγεται· τὰ δὲ ἄρα νοῦς ἂν εἴη καὶ βούλησις.

ΑΓΑΛΛΙΑΝΟΣ

20 Ἀνάγκη ταῖς ἀρχαῖς συμφωνεῖν καὶ τὰ τέλη. Καὶ ὁ παρὼν οὐκοῦν λόγος, ἐκ ψευδῶν κεκινημένος ἀρχῶν, τοιοῦτον ἕξει καὶ τὸ ἀποτέλεσμα. Προϋποτίθησι γὰρ τὰ χρόνον εἰσάγοντα εἰς τὴν τοῦ ἀϊδίου ἀπόδειξιν. Ὅτε γάρ, φησὶ, παράγει τὰ πρόσωπα, οὐκ ἔστι χρόνος ἐν τούτοις· ἀεὶ γὰρ ἦν προηγμένα καὶ ἀεὶ πρόεισι, μᾶλ-

2. ἀπ' ἐναντίας M: ἀπεναντίας Δ 7. φησιν M: φησὶν Δ
10. φωράσει M: φωράσι Δ 15. τῷ ὄντι M: τωόντι Δ
16. ἄττα M: ἅττα Δ 18. εἴη ΔM: εἶεν σ. 112, 15. 20. ὁ Δ: λείπει M 23. φησὶ M: φησι Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΣΙΠΕΝΙΟΤΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

λον δὲ ἦν ἀπ' ἀρχῆς προηγμένα. Τοῦτο γὰρ ἔχομεν μαθόντες παρὰ τοῦ θεολογικωτάτου Γρηγορίου, πρός τινα τῶν αἱρετικῶν ἀπαντήσαντος, πειραστικῶς ἐρωτῶντα περὶ τῆς θείας γεννήσεως καὶ εἰπόντος 'Αλλ' ἦν ἀπ' ἀρχῆς γεγεννημένος, ὁ υἱὸς δῆλον ὅτι, ἵνα σου ῥᾳδίως φύγωμεν τὰς περιέργους ἐνστάσεις καὶ φιλοχρόνους, καίτοι γε καὶ αὐτὸς ἑαυτοῦ συναισθανόμενος τὸ ἀΐδιον πανταχοῦ προσδιορίζεται, ὡς εἴ τις λέγοι χρονικῶς πλὴν ἀϊδίως, τῷ μὲν ἀϊδίως τιθέμενος ἀληθεῖ ὄντι, περὶ δὲ θατέρου μὴ φροντίζων, εἰ τοῖς λόγοις ἀκολουθεῖ τῷ σφόδρα βούλεσθαι τὴν οἰκείαν συστήσασθαι δόξαν. Καὶ ἃς προλαβὼν ἔλεγε δυνάμεις διακεκριμένας, ὡς αὐτῷ τῷ διακεκρίσθαι ταύτας διακεκριμένα καὶ τὰ θεῖα προϊέναι πρόσωπα, ἰδοὺ νῦν ταὐτίζει, ἢ ἐνοποιεῖ, ἵν', ὡς ἔοικε, τῇ ἐπεισαγωγῇ τῶν ἄλλων τῶν συνόντων τῇ οὐσίᾳ, τὰ δέ ἐστι νοῦς καὶ βούλησις, διχάσῃ ταύτην, τὸ μὲν αὐτῆς προεπινοεῖσθαι, τὸ δὲ ὑστερίζειν νομοθετήσῃ.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Καὶ ὁ νοῦς, ἀρχὴ καὶ δύναμις ὤν, ὡς αὐτὸς ἀξιοῖ διὰ γεννήσεως ἐνεργῶν, ἅμα τῇ οὐσίᾳ παράγει τὸν υἱὸν πρότερον· εἶθ' ἡ βούλησις συνάμα τῇ οὐσίᾳ διὰ προβολῆς παράγει τὸ Πνεῦμα τὸ ἅγιον.

ΑΓΑΛΛΙΑΝΟΣ

Οὕτω γάρ φησιν αὐταῖς λέξεσιν

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ὁ μὲν ἅμα τῇ οὐσίᾳ ἀρχὴ καὶ δύναμις ὢν δι' ἐνεργείας τῆς

1 (καὶ 4). ἀπ' ἀρχῆς ἔγραψα: ἀπαρχῆς ΔΜ 4. δῆλον ὅτι ἔγραψα: δηλονότι ΔΜ 12. ταὐτίζει ἔγραψα: ταυτίζει ΔΜ 13. ἐστι Μ: ἔστι Δ 19. εἶθ' Μ: εἶθ' Δ συνάμα ἔγραψα: σύναμα ΔΜ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΤΟΠΕΑΡΧΑΙΟΛΟΓΙΑΣ ΔΙΕΤΘΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΙΤΣΙΟΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΙΔΙΚΗ ΘΕΑΛΗΨΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΙΤΣΙΟΣ
Ε.Υ.Δ τηρ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

γεννήσεως παρακτικὴ τοῦ υἱοῦ, διὸ καὶ Λόγος ὁ τοῦ θεοῦ υἱὸς ὑπὸ τῆς θεολόγου βροντῆς ὠνόμασται· νοῦ γὰρ γέννημα λόγος· ἡ δ' αὖ συνάμα τῇ [αὐτῇ] οὐσίᾳ βούλησις, ἀρχὴ καὶ δύναμις οὖσα δι' ἐνεργείας τῆς προβολῆς ἢ πνεύσεως παρακτικὴ [τῆς] τοῦ ἁγίου Πνεύματος ὑποστάσεως.

ΑΓΑΛΛΙΝΟΣ

Ἀλλὰ καὶ ἑσμὸς ἡμῖν ἀρχῶν ἐκ τῶν λόγων τούτων ἀναφαίνεται· καὶ ἡ ὑπόστασις γὰρ καὶ αἱ δυνάμεις καὶ ἡ οὐσία καὶ νῦν ἔτι ὁ νοῦς. Ἦ γοῦν πολύαρχόν τι χρῆμα ὁ πατὴρ ὅσον ἐκ τῶν λόγων τούτων, ὥςπερ καὶ πολυδύναμον πρότερον, ἢ ἐν τῷ τί ἦν εἶναι διακρινόμενα τῆς οὐσίας ἕν εἰσι πάντως τῷ πράγματι Λατίνων φαίεν τινες. Τίς ἡ χρεία τοῦ συνάπτειν ταῦτα καὶ διαιρεῖν καὶ ἄνω καὶ κάτω στρέφειν; Ἥρκει γὰρ εἰπεῖν, ὅτι ὁ πατὴρ τῇ οὐσίᾳ προάγει τὸν υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὃ δὴ φυλάττοντες ἡμεῖς, τὸ συμβαῖνον προϊόντες σκοπήσωμεν· τὰ γὰρ ἄλλα παρέλκει. Ἤδη δὲ καὶ δύναμιν τὸν νοῦν καλεῖ καὶ ἄλλην ἀρχὴν παρὰ τὴν γεννητικὴν δήπου δύναμιν· ἐπεὶ διά γε τὸν νοῦν καὶ τὴν βούλησιν διαφόρους γίνεσθαί φησι τὰς δυνάμεις, ταύτας δὲ αὖθις τὴν οὐσίαν ἐρεῖ προϊὼν, ἧς ἕπεται μεμερίσθαι τὴν οὐσίαν.

Εἶτα δύναμιν μὲν ἐν θεῷ πατρὶ λέγει τὸν νοῦν, νοῦ δὲ γέννημα τὸν λόγον. Ὅθεν ἄρα γέννημα τῆς δυνάμεως ὁ λόγος, ὅπερ οὐδείς ποτε εἴρηκεν· ἀνθρώπινον γὰρ τοῦτο. Ἀλλ' ὁ Θεολόγος Γρηγόριος ἐν Β' τῶν περὶ υἱοῦ Ὀνομάζεται, φησὶν, ὁ υἱὸς Λόγος, ὅτι οὕτως ἔχει πρὸς τὸν πατέρα ὡς πρὸς νοῦν λόγος. Ἔτι τὴν μὲν δύναμιν τὴν οὐσίαν εἶναί φησι, τὴν δὲ οὐσίαν ἔλεγε μήτε γεννᾶν μήτε γεννᾶσθαι, λέγων καλῶς.

3. συνάμα Δ: σύναμα M αὐτῇ προςέθηκα: λείπει ΔM τῆς προςέθηκα: λείπει ΔM 9. πολύαρχόν τι M: πολύαρχόντι Δ 11. ἕν εἰσι M: ἓν εἰσὶ Δ 18. γίνεσθαί φησι M: γίνεσθαι φησὶ Δ 23. ὀνομάζεταί φησιν Δ: ὀνομάζεται φησὶν M 25. εἶναί φησι M: εἶναι φησὶ Δ γεννᾶν Δ: γεννᾷν M

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΡΓΙΑΤΗΣ Ν. ΛΑΘΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Βούλησιν δὲ εἰπὼν τὴν ἐν τῷ πατρὶ παρακτικὴν τοῦ ἁγίου Πνεύματος δύναμιν καὶ ἀρχὴν, οὐ δοκεῖ τὸν ἕνα τῆς Τριάδος, τὸν παράκλητον λέγω, τοῖς κτίσμασι συναριθμεῖν; Ταύτῃ γὰρ διακρίνουσι τὰ θεῖα πρόςωπα τῶν κτισμάτων, ὅτι τὰ μὲν ἐκ τῆς φύσεως, τὰ δὲ ἐκ τῆς βουλήσεώς εἰσι τοῦ θεοῦ. Καὶ τὰ μὲν προάγει τῷ πεφυκέναι ὁ θεὸς, τὰ δὲ προάγει τῷ βούλεσθαι. Παράξομεν δὲ καὶ τοὺς διδασκάλους τοῦτο μαρτυρήσοντας. Ἰουστῖνος ὁ φιλόσοφος καὶ μάρτυς τῆς ἀληθείας οὕτω φησὶ «Τοῦ θεοῦ ἔχοντος οὐσίαν μὲν πρὸς ὕπαρξιν, βούλησιν δὲ πρὸς ποίησιν, ὁ ἀπορρίπτων οὐσίας καὶ βουλῆς τὴν διαφορὰν καὶ τὴν ὕπαρξιν ἀπορρίπτει τοῦ θεοῦ καὶ τὴν ποίησιν, ὕπαρξιν μὲν τὴν αὐτοῦ, ποίησιν δὲ τῶν οὐκ ὄντων». Καὶ ὁ θεῖος Μάξιμος ἐν ταῖς εἰς τὸν ἅγιον Διονύσιον ἐξηγήσεσί φησι· «Κυρίως τοῦ ἀκινήτου καὶ ὡςαύτως ἔχοντος λέγεται ἡ εἰς τὰ ὄντα βούλησις αὐτοῦ καὶ αἱ πρόοδοι τῆς εἰς πάντα προνοίας αὐτοῦ». Καὶ ὁ Δαμασκηνὸς «Ἔργον μὲν θείας φύσεως ἡ προαιώνιος καὶ ἀΐδιος γέννησις καὶ ἐκπόρευσις, ἔργον δὲ θείας θελήσεως ἡ κτίσις». Καὶ ἡ ε΄ σύνοδος τῶν οἰκουμενικῶν οὕτω λέγει· Ὁ θεός, φησιν ὁ Ὠριγένης, ἀπὸ τοῦ μὴ κτίζειν ἐλθὼν εἰς τὸ κτίζειν, πάντως ἐτράπη ἀφ' ἑτέρου εἰς ἕτερον, ἡμεῖς δὲ λέγομεν, ὅτι οὐ κατὰ τὴν φύσιν ἐτράπη, ἀλλὰ κατὰ τὴν ἐνέργειαν, μᾶλλον δὲ οὐδὲ κατ' αὐτήν· εἶχε γὰρ ἀεὶ τὴν δύναμιν τοῦ κτίζειν καὶ δημιουργεῖν· ἐνηργήθη γὰρ ἡ τοιαύτη δύναμις ὅτε ἠβουλήθη».

Οὐ συνᾴδει τοῖς πατράσι τούτοις καὶ οὗτος, οἵςπερ αὐτοὶ περὶ τῶν κτισμάτων ἀποφαίνονται, ταῦτα καὶ αὐτὸς περὶ τῆς προόδου τοῦ ἁγίου Πνεύματος λέγων. Ὅτε γάρ φησι παράγει τὸ Πνεῦμα ὁ πατὴρ, ἡ συνοῦσα τῇ οὐσίᾳ βούλησις, ἀρχὴ καὶ δύναμις δι' ἐνεργείας τῆς προβολῆς ἢ πνεύσεως γίνεται παρακτικὴ αἰτία τῆς τοῦ ἁγίου Πνεύματος ὑποστάσεως. Ἀλλὰ τὰ μὲν ἐντεῦθεν ἄτοπα, μᾶλλον δὲ βλάσφημα πᾶσι δῆλα, καὶ οὐ δεῖ πολυλογεῖν·

5. βουλήσεώς εἰσι M: βουλήσεως εἰσὶ Δ 13. ἐξηγήσεσί φησι M: ἐξηγήσεσι φησὶ Δ 18. θεός φησιν M: θεὸς, φησὶν Δ 21. κατ M: κάτ' Δ 25. ἀποφαίνονται M: ἀποφαίνωνται Δ

ΙΔΡΥΜΑ ΜΕΓΑΛΟΥ ΜΟΝΑΣΤΗΡΙΟΥ ΒΑΤΟΠΕΔΙΟΥ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΒΥΖΑΝΤΙΝΗΣ ΜΟΥΣΙΚΗΣ ΑΓΙΟΝΟΜΙΚΟ ΙΔΡΥΜΑ ΜΕΓΑΛΗΣ ΤΟΥ ΓΕΝΟΥΣ ΣΧΟΛΗ ΒΥΖΑΝΤΙΝΗΣ ΜΟΥΣΙΚΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΗΤΣΙΟΣ
Ε.Υ.Δ τηΚ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

διχάζει δὲ καὶ τὴν βούλησιν καθό ἐστιν ἀρχή τινων, εἰς αὐτεξούσιον αὐτὴν διελὼν καὶ ἠναγκασμένην τινά, οὐκ οἶδα ποίαν τινὰ λέγων ἑκατέραν· προϊών γάρ φησιν Οὐχ ὡς ἀρχὴ αὐτεξούσιος, ἀλλ' ὡς ἀναγκαία καὶ φυσική τις δύναμις καὶ ἀρχή, εἶτ' ἐπάγει

5 ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Διὸ πρὸς τῶν θεολογούντων ἀγάπη τὸ θεῖον κέκληται Πνεῦμα. τῆς γὰρ ἀγάπης ἡ δύναμις βούλησις.

ΑΓΑΛΛΙΑΝΟΣ

Καλῶς ἄρα ἐλέγομεν, μᾶλλον δὲ οἱ θεολόγοι, Ἡ πρὸς τὴν
10 δημιουργίαν κτίσις τοῦ τῶν ὅλων θεοῦ τοῦ ἀκινήτου ἐστὶν ἡ βούλησις αὐτοῦ, ἥτις οὐ μιᾷ τῶν θείων ὑποστάσεων ἀφώρισται· κοινὴ γάρ ἐστιν ἐνέργεια καὶ μία δύναμις ἡ δημιουργική. Ἰδοὺ γὰρ τὸ θεῖον Πνεῦμα, κεκλημένον ἀγάπη, δύναμιν ἔχει παρακτικὴν ἑαυτοῦ τὴν βούλησιν· καὶ οὐδέποτε τὸν ῥύπον τοῦτον ἀπο-
15 νίψονται Λατῖνοι τοῦ λέγειν κτίσμα τὸ Πνεῦμα τὸ ἅγιον, ἐπεὶ καὶ ἐκ τῆς βουλήσεως τοῦ θεοῦ δοξάζουσι παράγεσθαι.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Συνᾴδει δέ φησι τὰ λεγόμενα ταῖς τῶν θεολογούντων φωναῖς, οὐχ ἧττον δὲ τοῖς εἰρημένοις ὑπὸ τοῦ ἱεροῦ Αὐγουστίνου ἐν
20 τῷ Περὶ τριάδος βιβλίῳ, ἐν οἷς καὶ μνήμην μὲν τὴν γεννητικήν, βούλησιν δὲ τὴν πνευστικὴν ἐκάλεσε δύναμιν.

1. καθό ἐστιν ἔγραψα: καθὸ ἐστὶν M: καθό ἐστι Δ ἀρχή τινων Δ: ἀρχὴ τινῶν M 13. ἀγάπη ἔγραψα: ἀγάπην ΔM 18. Συνᾴδει ἔγραψα ἑπόμενος τῷ ἔθει τοῦ Ἀγαλλιανοῦ: Ξυνᾴδει ΔM συμφώνως πρὸς τὰ ἐν σ 113, 6 Δ δέ φησι Δ: δὲ, φησὶ, M

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΕΠΟΜΝΗΣΙΣ ΝΑΙΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΑΓΑΛΛΙΑΝΟΣ

Φεῦ τῆς συκοφαντίας. Καὶ τίνες τῶν θεολόγων τὰς φωνὰς ταύτας παρέδωκαν αἷς συνᾴδει τὰ λεγόμενα; Οὐδεὶς δήπου. Διαβάλλει γὰρ καὶ τὸν μακαριώτατον Αὐγουστῖνον ὡς δυνάμεις καλοῦντα τοῦ πατρὸς τὴν μνήμην καὶ τὴν βούλησιν, τὴν μὲν γεννητικὴν, τὴν βούλησιν δὲ πνευστικήν. Οὐ γὰρ εὕρηταί που τῶν αὐτοῦ συγγραμμάτων, ὅσα γε ἡμεῖς ἴσμεν, οὕτω ταῦτα λεγόμενα, μᾶλλον δὲ τοὐναντίον ἅπαν. Συνᾴδει γὰρ κἀκεῖνος τοῖς λοιποῖς ἁγίοις τῆς βουλήσεως τοῦ θεοῦ λέγων τὰ κτίσματα. Ἐν γὰρ κεφ. τοῦ Περὶ Τριάδος βιβλίου Καταγέλαστος, φησὶν, ἡ Εὐνομίου διαλεκτικὴ, ἐξ οὗ οἱ Εὐνομιανοὶ αἱρετικοὶ ἀνεφύησαν. Ὃς μὴ δυνηθεὶς νοῆσαι ἢ μὴ βουληθεὶς πιστεῦσαι τὸν μονογενῆ τοῦ θεοῦ Λόγον, δι' οὗ τὰ πάντα ἐγένετο, τοῦ θεοῦ υἱὸν εἶναι φύσει, τοὐτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρὸς γεννηθέντα οὐ τῆς φύσεως ἢ τῆς οὐσίας εἶπεν εἶναι υἱὸν, ἀλλὰ τῆς θελήσεως τοῦ θεοῦ, συμβεβηκυῖαν δῆλον ὅτι τῷ θεῷ βουλόμενος μαρτυρῆσαι θέλησιν, καθ' ἣν ἐγέννησε τὸν υἱόν.

Πῶς οὖν αὐτὸς τῶν αἱρετικῶν καταγελῶν ταῦτα λεγόντων τοῖς ὁμοίοις ἂν περιέπεσεν; ἦν γὰρ ἂν δήπου καταγελαστότερος. Ὁ δὲ λέγει περί τε μνήμης καὶ θελήσεως οὐκ ἀπὸ τῆς Γραφῆς ἔχειν διατείνεται, ἀφ' ἑαυτοῦ δὲ συνάγειν ἐπιβόλῳ τινὶ λογισμῷ ἀπὸ τῆς κτιστῆς εἰκόνος τοῦ θεοῦ, ἥ ἐστιν ὁ ἄνθρωπος, εἰκασίαν τινὰ παραδιδοὺς τοῦ ἀκτίστου θεοῦ παρακατιών. Ἐν γὰρ τῷ αὐτῷ κεφαλαίῳ οὗπερ ἔναγχος ἐμνήσθημεν οὕτω φησίν· «Ἀλλὰ περὶ τῆς κτίσεως ἣν ἐποίησεν ὁ θεὸς, ὁπόσον οἷοί τ' ἐγενόμεθα, ἐδιδάξαμεν τοὺς λόγον περὶ τῶν τοιούτων πραγμάτων ἀπαιτοῦντας, ὡς

16. συμβεβηκυῖαν M: συμβεβηκυίαν Δ 22. ἥ ἐστιν ἔγραψα: ἣ ἔστιν Δ: ἣ ἐστὶν M 25. τ' ἐγενόμεθα ἔγραψα: τε γενόμεθα ΔM 29. ἀπαιτοῦντας M: ἀπαιτούντας Δ

ΕΡΑΣΙΤΕΧΝΙΟ ΠΗΓΗ ΤΗΣ ΓΝΩΣΗΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΑΠΟΘΗΚΗ ΠΟΛΙΤΙΣΤΙΚΗΣ ΚΛΗΡΟΝΟΜΙΑΣ ΙΩΑΝΝΙΝΟΣ ΘΕΣΤΑΛΟΝΙΚΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὰ ἀόρατα αὐτοῦ διά τῶν γεγονότων καθόσον δύνανται νοούμενα καθορᾶν, καὶ μάλιστα διὰ τῆς λογικῆς ἢ νοερᾶς κτίσεως τῆς γενομένης κατ' εἰκόνα θεοῦ, δι' οὗ ὥςπερ δι' ἐςόπτρου ὁπόσον δύνανται, εἴ γε δύνανται, βλέπειν τὸν θεὸν τὴν Τριάδα ἐν τῇ ἡμε-
5 τέρᾳ μνήμῃ καὶ τῇ νοήσει καὶ τῇ θελήσει. Ταῦτα δὲ τὰ τρία ἐν τῷ αὐτῷ νοῖ φυσικῶς θεόθεν καθεστηκότα ἕκαστος ζωηρῶς θεωρεῖ καὶ πόσον μέγα ἐστὶν ἐν αὐτῷ, ἔνθα πέφυκε καὶ ἡ ἀΐδιος καὶ ἀμετάβλητος οὐσία μνημονεύεσθαι καὶ βλέπεσθαι καὶ ἐπιθυμεῖσθαι. Ἀναμιμνήσκεται γὰρ διὰ τῆς μνήμης, βλέπεται διὰ τῆς
10 νοήσεως, περιβάλλεται διὰ τῆς ἀγάπης, καὶ παντάπασιν εὑρίσκει τῆς ἄκρας Τριάδος τὴν εἰκόνα».

Καὶ αὖθις ἐν τῷ κγ΄ κεφ.· «Καὶ γὰρ καὶ μνήμη τοῦ ἀνθρώπου, καὶ μάλιστα ἣν οὐκ ἔχει τὰ κτήνη, τουτέστι καθ' ἣν τὰ νοητὰ πράγματα οὕτω περιέχεται ὡς μὴ πρὸς αὐτὴν διὰ τῶν
15 τοῦ σώματος αἰσθήσεων ἔρχεσθαι, κατὰ τὸ μέτρον ἑαυτῆς ἔχει ἐν τῇδε τῇ τῆς Τριάδος εἰκόνι ἀσυγκρίτως μὲν ἀνόμοιον, ὅμως δὲ ὁποιανδήποτε τοῦ πατρὸς ὁμοιότητα. Ἔτι δὲ καὶ ἡ νόησις τοῦ ἀνθρώπου ἡ διὰ τῆς τοῦ λογισμοῦ προθέσεως ἐκεῖθεν μορφουμένη, ἐπειδὰν ὃ γινώσκεται λέγηται καὶ μηδὲ μιᾶς γλώττης
20 ἀλλὰ καρδίας ᾗ λόγος, ἔχει ἐν τῇ οἰκείᾳ μεγάλῃ ἀνομοιότητι καί τινα ὁμοιότητα τοῦ υἱοῦ. Καὶ δὴ καὶ ἡ τοῦ ἀνθρώπου ἀγάπη ἐκ τῆς γνώσεως προϊοῦσα καὶ τὴν μνήμην συνάπτουσα καὶ τὴν νόησιν, ὡς ἂν κοινῇ τῷ πατρί τε καὶ τῷ γεννήματι, ὅθεν οὔτε πατὴρ, οὔτε γέννημα εἶναι νοεῖται, ἔχει ἐν τῇδε τῇ εἰκόνι εἰ καὶ
25 λίαν ἀνόμοιον ὁμοιότητά τινα τοῦ ἁγίου Πνεύματος». Καὶ αὖθις· «Περὶ δὲ τοῦ ἁγίου Πνεύματος οὐδὲν ἐν τῷδε τῷ αἰνίγματι ὅπερ ὅμοιον ἂν αὐτῷ δοκοίη ἀπέδειξα, ὅτι μὴ τὴν θέλησιν ἡμῶν ἢ τὸν ἔρωτα ἢ τὴν ἀγάπην, ἥτις ἐρρωμενεστέρα ἐστὶ θέλησις». Καὶ ἐν τῷ κε΄ πάλιν· «Τοῦτο τὸ ὄνομα τῷ Πνεύματι τῷ ἁγίῳ
30 ἁρμόζει, ὥςπερ καὶ ἡ ἀγάπη· τί δέ ἐστιν ἕτερον ἀγάπη ἢ

2. καθορᾶν Δ: καθορᾷν Μ 13. τουτέστι ἔγραψα: τουτέστιν ΔΜ καθ' Μ: κάθ' Δ 20-21. καί τινα Μ: καὶ τίνα Δ
30. τί Μ: τὶ Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΛΛΗΝΙΚΗΣ ΕΛΛΗΝΙΚΗΣ ΔΙΕΥΘΥΝΗΣΗ ΑΝΑΠΤΥΞΗΣ ΚΑΙ ΔΙΑΧΕΙΡΙΣΗΣ ΕΡΓΩΝ ΠΟΛΙΤΙΣΜΟΥ ΚΑΙ ΤΟΥΡΙΣΜΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

θέλησις; ». Καὶ πάλιν ἐν τῷ αὐτῷ κεφ.· « Ὁσάκις ἂν ἐν αὐτῇ τῇ κτίσει, ἥτις ἐσμὲν ἡμεῖς, ὅμοιόν τι ἐκείνῳ τῷ πράγματι ἀποδεῖξαι ἠθέλησα, τῇ ὁποιαδήτινι ἐννοίᾳ ἡμῶν οὐκ ἀποχρῶσα φράσις ἐπηκολούθησεν, εἰ καὶ ἐν αὐτῇ τῇ ἐννοίᾳ ἐπιχειρήσαντος ἐμαυτοῦ μᾶλλον ᾐσθόμην ἢ τελειώσαντος καὶ ἐν ἑνὶ μὲν προσώπῳ, 5 ὅπερ ἐστὶν ὁ ἄνθρωπος, εὑρηκέναι τὴν εἰκόνα τῆς ἄκρας Τριάδος καὶ ἐν τρεπτῷ πράγματι, ὡς τὰ τρία ἐκεῖνα ῥᾷον νοεῖσθαι δύναται ».

Οὕτω μὲν ὁ διδάσκαλος, ἐπεὶ εἰκόνα τοῦ θεοῦ τὸν ἄνθρωπον τῆς Γραφῆς ἤκουσε λεγούσης, ἀπὸ τῆς τοιαύτης εἰκόνος εἰκασίαν τινὰ παραδίδωσιν ὅσον οἷόν τε δι' αὐτῆς τὸ ἀρχέτυπον ἐννοεῖν, 10 καὶ ἀπὸ τῶν ἐγκαθεστηκότων τῷ τοῦ ἀνθρώπου νοῖ θεόθεν φυσικῶς, τὰ δέ ἐστι μνήμη καὶ νόησις καὶ θέλησις, ἃ ἐν τῷ ἀνθρώπῳ, τρεπτῷ ὄντι καὶ ὑπὸ χρόνον, οὕτω καὶ αὐτὰ θεωρεῖται, ὡς δι' ἐσόπτρου τινός, φησί, τὸν δυνάμενον, εἴ γε δύναται, τὰ ἐν τῇ ἀϊδίῳ καὶ ἀμεταβλήτῳ οὐσίᾳ ἀναγωγικῶς τρία πρόσωπα θεωρεῖν τε 15 καὶ νοεῖν, εἰ καὶ μεγάλη ἀνομοιότης ἐστὶ τούτων πρὸς ἐκεῖνα, ὅσον μόνον τὸν ἐξεταστικὸν τοῦ ἀνθρώπου νοῦν ἔχειν τινὰ ἵδρυσιν ἐν ταῖς περὶ θεοῦ ἐννοίαις καὶ ἐφησθῆναι κατάληψίν τινα, εἰ καὶ λίαν ἀμυδρὰν ἢ καὶ πάντα ἀνόμοιον, ἀπὸ τῶν καθ' αὐτὸ περὶ ἐκείνου πορισάμενον. Οὐ μέντοι γε ἀπὸ τῆς Γραφῆς ἔχειν ταῦτα 20 προστίθησιν, ἀφ' ἑαυτοῦ δὲ μᾶλλον διδάσκειν τοὺς καὶ λόγον περὶ τῶν τοιούτων πραγμάτων ἀνθρώπειον ἀπαιτοῦντάς φησι· καὶ οὐδὲ τελείως τὸ μὴ ἐπακολουθεῖν ἀποχρῶσαν τὴν φράσιν, μόνον δὲ ἐπιχειρεῖν τῇ ἐννοίᾳ.

Ὅθεν δῆλον ὡς ὁ παρὼν διδάσκαλος ἐν τῷ ἀνθρωπίνῳ νοῖ 25 τὴν μνήμην καὶ τὴν νόησιν καὶ τὴν θέλησιν, ἣν καὶ ἔρωτα καὶ ἀγάπην προσονομάζει, ὡς δυνάμεις οἶδε καὶ ἐνεργείας· ἐν δὲ τῇ μακαρίᾳ Τριάδι οὐχ ὡς δυνάμεις νοεῖ, ἀλλ' αὐτὰς τὰς ὑποστάσεις οὕτως ὀνομάζει. Ἡ γὰρ μνήμη τοῦ ἀνθρώπου, φησί, μήτε σύγκρισιν ἔχουσα μήτε ὁμοιότητα, ἔχει ὅμως ὁποιανδήτινα ὁμοιό- 30

11. ἐγκαθεστηκότων M: ἐγκαθεστηκώτων Δ 12. δέ ἐστι M: δὲ ἐστὶ Δ 22. ἀπαιτοῦντάς φησι M: ἀπαιτοῦντας φησὶ Δ 27. προσονομάζει M: προσωνομάζει Δ 29. φησὶ ἔγραψα: φησὶν ΔM

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΩΝ ΑΘΑΝΑΣΙΟΣ Ο ΠΑΤΤΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΠΑΤΤΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τητα τοῦ πατρὸς, καὶ ἡ ἐν ἡμῖν νόησις, ἤτοι τὸ τοῦ νοῦ καὶ τῆς μνήμης ἀποτέλεσμα, ὁ ἐνδιάθετος δῆλα δὴ λόγος, οὐχ ὁ προφορικὸς τῆς γλώττης, εἰ καὶ ἀνόμοιον ἔχει τινὰ ὁμοιότητα τοῦ υἱοῦ, καὶ ἡ τοῦ ἀνθρώπου ἀγάπη καὶ ἡ θέλησις ἔχει ὁμοιότητα τοῦ
5 ἁγίου Πνεύματος. Καὶ τοῦτο, φησὶ, τὸ ὄνομα τῷ Πνεύματι τῷ ἁγίῳ ἁρμόζει, ὥςπερ καὶ ἡ ἀγάπη· τί γάρ ἐστιν ἕτερον, φησὶν, ἀγάπη ἢ θέλησις; Ταῦτα δὲ οὐκ ἀπὸ σκοποῦ τῶν λοιπῶν διδασκάλων, καὶ μάλιστα τῶν ἀνατολικῶν, φιλοσοφεῖ. Εἰσὶ γὰρ οἱ τὸν πατέρα νοῦν προςηγορεύκασι καὶ τὸν υἱὸν Λόγον ὁ τῆς βρον-
10 τῆς υἱὸς καὶ ἀγάπην τὸ Πνεῦμα τὸ ἅγιον· τὴν ἀγάπην γὰρ τοῦ ἀνθρώπου ἐρρωμενεστέραν φησὶ θέλησιν Αὐγουστῖνος, ἀλλ' οὐ τὴν θέλησιν, ἤτοι τὴν βούλησιν, δύναμιν πρακτικὴν τῆς ἀγάπης εἴρηκεν, ἤτοι τοῦ ἁγίου Πνεύματος· ὁ γὰρ τοῦτο φάσκων Μακεδόνιος ἄντικρυς.

15 Ὥςτε ὃ βούλεται ταυτὶ τὰ ὀνόματα, ὁ πατὴρ καὶ ὁ νοῦς, τοῦτο καὶ ἡ μνήμη παρὰ τῷ Αὐγουστίνῳ· καὶ ὃ βούλεται ὁ υἱὸς καὶ Λόγος, τοῦτο καὶ ἡ νόησις παρὰ τῷ αὐτῷ· καὶ ὃ βούλεται τὸ Πνεῦμα καὶ ἡ ἀγάπη, τοῦτο καὶ ἡ θέλησις ὁμοίως. Ταῦτα δὲ τὰ ὀνόματα ἰδιότητάς φασιν οἱ θεολόγοι παραδηλοῦν τὰς ἐν τῇ
20 οὐσίᾳ τὰ πρόςωπα διακρινούσας ἐκεῖνα καὶ τὰς πρὸς ἄλληλα σχέσεις καὶ ἀναφορὰς ἐμφαίνειν αὐτῶν. Αἱ γὰρ ἰδιότητες, φησὶ Βασίλειος ἐν δευτέρῳ τῶν Πρὸς Εὐνόμιον, οἱονεί τινες μορφαὶ καὶ χαρακτῆρες ἐπιθεωρούμεναι τῇ οὐσίᾳ, διαιροῦσι μὲν τὸ κοινὸν τοῖς ἰδιάζουσι χαρακτῆρσι, τὸ δὲ ὁμοφυὲς τῆς οὐσίας οὐ διακόπτουσιν·
25 οἷον κοινὸν μὲν ἡ θεότης, ἰδιώματα δέ τινα πατρότης καὶ υἱότης. Ἐκ δὲ τῆς ἑκατέρου συμπλοκῆς, τοῦ τε κοινοῦ καὶ τοῦ ἰδίου, ἡ κατάληψις ἡμῖν τῆς ἀληθείας ἐγγίνεται. Καὶ ὁ Ἀρεοπαγίτης Διακεκριμένα, φησὶ, τὸ τοῦ πατρὸς ὑπερούσιον ὄνομα καὶ χρῆμα καὶ υἱοῦ καὶ Πνεύματος, οὐδεμιᾶς ἐν τούτοις ἀντιστροφῆς ἢ ὅλως
30 κοινότητος ἐπαγομένης. Καὶ Γρηγόριος ὁ Θεολόγος Αὐτὸ, φησὶ,

6. ἕτερον **M**: ἕτερον Δ 19. ἰδιότητάς φασιν **M**: ἰδιότητας φασὶν Δ

ΔΙΑΝΕΠΙΣΤΗΜΟΝΙΚΟ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΠΕΤΡΟΥ ΝΕΛΑΚΗ ΚΑΘΗΓΗΤΗ ΙΩΑΝΝΟΥ Δ. ΠΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὸ μὴ γεγεννῆσθαι καὶ τὸ γεγεννῆσθαι καὶ τὸ ἐκπορεύεσθαι τὸν μὲν πατέρα, τὸν δὲ υἱὸν, τὸ δὲ τοῦθ' ὅπερ λέγεται Πνεῦμα ἅγιον προσηγόρευσεν, ἵνα τὸ ἀσύγχυτον σώζηται τῶν τριῶν ὑποστάσεων. Καὶ ὁ Νύσσης Ἡ ἐπιθεωρουμένη ἑκάστη τῶν ὑποστάσεων ἰδιότης τρανῶς καὶ καθαρῶς τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου διίστησι. 5

Τούτων οὕτως ἐχόντων καὶ τῶν ὀνομάτων τούτων πρὸς τὸ διαστῆσαι καὶ διακρῖναι τὰς ὑποστάσεις, ἤτοι τὰ πρόσωπα, ἐν τῇ τῆς οὐσίας ἑνότητι πρὸς τῶν θεολόγων ἐξευρημένων· ἄν τε γὰρ τὸ Πατὴρ εἴπῃς, ἢ τὸν νοῦν ἢ τὴν μνήμην, ἄν τε ἀγάπην ἢ τὴν θέλησιν, οὐχ ὡς δυνάμεις ἑνούσας ἢ συνούσας καὶ ὅλως τῇ 10 οὐσίᾳ ἀποδιδομένας νοοῦμεν· οὕτω γὰρ ὥςπερ μία οὐσία καὶ ἓν πρόσωπον διὰ τὰς δυνάμεις ὁτὲ μὲν πατὴρ, ὁτὲ δὲ υἱὸς, ὁτὲ δὲ Πνεῦμα λεγόμενον, ὡς ὁ Σαβέλλιος ἐφλυάρει· ἀλλ' ὡς ἰδιότητας διακρινούσας μόνον τὰ πρόσωπα, ὡς τῶν ἁγίων ἀκήκοας αὐτὸς, ὦ βέλτιστε καὶ καινὲ θεολόγε. Τίνων δ' ἄλλων θεολόγων φωναῖς 15 συνάδειν φῆς τὰ σοὶ εἰρημένα;

Τίς γὰρ οὕτω πως ἐθεολόγησε, τὸν πατέρα φήσας, δύναμιν ἔχοντα τὸν νοῦν ἢ τὴν μνήμην γεννητικὴν, δι' αὐτῆς παράγειν τὸν υἱὸν, εἶτα τὴν θέλησιν καὶ δι' αὐτῆς αὖ παράγειν τὸ Πνεῦμα τὸ ἅγιον, ὡς αὐτὸς ἠξίωσας θεολογῆσαι, μὴ συνιεὶς, ὅτι αἱρετικῶν 20 εἰσι ταῦτα φωναὶ, εἰ μή που καὶ αὐτὸς ταύταις τίθῃ καὶ ἄλλους συναρπάσαι ἐπιχειρεῖς;

Καὶ τὸν μακάριον δὲ συκοφαντεῖς Αὐγουστῖνον, τὰ ἐκείνῳ καλῶς καὶ ὀρθῇ διανοίᾳ λελεγμένα διαστρέφων καὶ παρερμηνεύων, ἢ μᾶλλον εἰπεῖν πλάττων αὐτὸς τὰ μηδόλως εἰρημένα ἢ ἐκείνῳ ἢ 25 τοῖς ἄλλοις θεολόγοις, ὃ δὴ καὶ ἐν τοῖς ἐφεξῆς φανήσεται. Ἀλλ' ὅ γε μακάριος Κύριλλος καὶ τὴν βούλησιν τοῦ πατρὸς τὸν υἱὸν εἶναί φησιν ἕτερόν τινα τρόπον. Ἐν γὰρ ζ' τῶν Θησαυρῶν Ἀλλὰ

7. διακρῖναι M: διακρίναι Δ 10. ἑνούσας ἔγραψα: ἑνούσας M: ἑνοῦσας Δ συνούσας M: συνοῦσας Δ 12 (δίς). ὁτὲ M: ὅτε Δ
16. συνᾴδειν ἔγραψα: ξυνᾴδειν ΔM 17. Τίς M: Τὶς Δ
21. τίθῃ ΔM: γραπτέον πείθῃ; 22. συναρπάσαι M: συναρπᾶσαι Δ

ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΕΠΕΤΗΡΙΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΑΡΙΣΤΟΤΕΛΕΙΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὰ μὲν ὡς ποιήματά φησιν ἐκ βουλήσεως γεγονέναι, ὁ δὲ υἱὸς ὡς αὐτὸς ὢν ἡ βούλησις ἦν ἀϊδίως ἐν τῷ πατρί. Τοσοῦτον ἀπεῖχε δύναμίν τινα πνευστικὴν τὴν βούλησιν ἐννοεῖν αὐτὸς ὁ τὸν υἱὸν βούλησιν τοῦ πατρὸς λέγων, ὡς Αὐγουστῖνος ἄλλον τρόπον τὸ Πνεῦμα, ἄλλοι δὲ τὸν πατέρα, ὡς ὁ αὐτός φησι. Τινὲς δὲ, ἵνα μὴ υἱὸν τῆς βουλῆς ἢ τῆς θελήσεως τοῦ θεοῦ λέγοιεν τὸν μονογενῆ Λόγον, αὐτὸν τὸν πατέρα τὴν βουλὴν ἢ τὴν θέλησιν εἰρήκασιν εἶναι. Εἰ δ' ἄρα δύναμίν τινα τὴν βούλησιν θείη τις ἐν πατρὶ καὶ ἐνέργειαν, ἡ αὐτή ἐστι πατρὸς καὶ υἱοῦ καὶ Πνεύματος βούλησις. Καὶ ἀρχὴ τῆς τῶν κτισμάτων προόδου νοουμένη οὕτως ἐστί.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Φανερὸν οὖν, φησὶν, ἐκ τῶν εἰρημένων, ὅτι ὁ πατὴρ πηγαία θεότης καὶ μόνος αἴτιος καὶ πηγὴ μόνη τῆς ὑπερουσίου θεότητος καὶ μόνος γεννήτωρ ἅμα καὶ προβολεύς.

ΑΓΑΛΛΙΑΝΟΣ

Φεῦ τῆς κακουργίας. Καὶ ποῦ τῶν θεολογικῶν βιβλίων ταῦθ' οὕτω κείμενα εὕρηκας, ἄνθρωπε, ἢ ποῦ σοι ταῦτα ἔξεστι μεταπλάττειν προσθήκαις τε καὶ ὑφαιρέσεσιν; Οὕτω γὰρ ἂν οὐ μόνον τὰ τῆς παρούσης θεολογίας, ἀλλὰ καὶ πᾶσα γραφὴ καὶ πᾶν πρόβλημα εἰς τοὐναντίον ἂν μετασταίη, ὅρου τινὸς ἔξωθεν μεσεμβολήσαντος. Δύναται γὰρ οὐ μόνον λέξις, ἀλλὰ συλλαβὴ καὶ προσῳδία τοὐλάχιστον εἰς ἐναντίαν εὔνοιαν μεθαρμόσαι τὸν λόγον. Ἴσμεν ἴσως καὶ ἡμεῖς τὸν ἱερὸν Διονύσιον λέγοντα, ὅτι πηγαία θεότης ὁ πατὴρ καὶ μόνη πηγὴ, ἵνα καθάπερ εἷς ἐστιν ὁ πατὴρ,

1. ποιήματά φησιν ἔγραψα: ποιήματα φησὶν ΔΜ 8. τις Μ: τὶς Δ 9. αὐτή ἐστι Μ: αὐτὴ ἐστὶ Δ 12. φησὶν Μ: φησὶ Δ (καὶ 24). πηγαία Μ: πηγαῖα Δ 13. μόνος αἴτιος σ. 113, 11: μόνον αἰτία ΔΜ πηγὴ μόνη σ. 113, 11: μόνη πηγὴ 21-22. προσῳδία Μ: προσοδιά Δ 24 ἐστιν Μ: ἐστὶν Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Ν. Κ. ΚΑΘΗΓΗΤΗΣ ΧΡΙΣΤΟΔΟΥΛΟΣ ΠΑΠΑΔΗΜΗΤΡΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

οὕτω καὶ ἑνὶ αὐτῷ δείξει προσήκουσαν τὴν τῶν συμφυῶν προσώπων ἀνάδυσιν καὶ μηδενὶ ἑτέρῳ τῶν θείων προσώπων ἐφαρμόσῃ τὸ τῆς αἰτίας, ὥσπερ οὖν οὐδὲ τὸ τῆς πατρότητος ὄνομα. Σὺ δὲ μεταξὺ τοῖν δυοῖν τούτοιν ῥητοῖν κακούργως τὸ μόνον αἴτιον προσέθηκας. Πρὸς τοῦ τῶν θεολόγων τοῦτο λαβών; Οἴδαμεν τὸν ἐκ Δαμασκοῦ τρανῶς οὕτως εἰπόντα Μόνος αἴτιος ὁ πατήρ. Ἀλλ' οὐκ ἀρέσκει σοι τοῦτο, οὐδὲ συμβαίνει σου τῷ σκοπῷ. Ἔνθεν τοι καὶ κακουργήσας αὐτὸ ἑκατέρωθεν τὰ τοῦ Διονυσίου τέταχας, ἵνα κἀκεῖνα τῆς κακουργίας μετάσχοιεν καὶ πρὸς ἄλλον τινὰ μεταπέσοιεν νοῦν, ὡς μὴ τοῦ οἰκείου, ὡς ἴσως αὐτὸς ἀξιοῖς, ὑγιαίνοντος. Τί δέ σοι καὶ βούλεται τὸ Μόνος αἴτιος ὁ πατήρ; Ἵν' ἴσως νοηθείη Ὁ γὰρ υἱὸς αἴτιος καὶ αἰτιατός;

Εἶτ' οὐκ εὐλαβῇ τὸν ἐν θεολόγοις γρηγοροῦντα, καινὴν μίξιν λέγοντα τὸ αἰτιατοαίτιον, ἀλλὰ καὶ Μόνος γεννήτωρ ἅμα καὶ προβολεύς; Ἴσως ὅπερ ὑφείλου ἀπὸ τοῦ Δαμασκηνοῦ ἐδωρήσω τοῖς τοῦ Γρηγορίου, λέγω τὸ *Μόνος*. Καὶ τὸ *ἅμα* δὲ προσέθηκας, συκοφαντῶν τὸν Θεολόγον καὶ, κατὰ τὴν σιπύαν τὸ μέλαν ἐμῶν, τὸ καθαρὸν τῆς θεολογίας συνθολοῖς, ἵνα λάθῃς διαδράς. Ἀλλὰ φωράσωμεν ἡμεῖς σου τὸ σόφισμα.

Γρηγόριος γὰρ ὁ μακάριος, ὥσπερ ὁριζόμενος τὰ θεῖα πρόσωπα τὰ ἐν οἷς ἡ θεότης ἢ μᾶλλον εἰπεῖν κατ' αὐτὸν ἃ ἡ θεότης, Τοῦτό ἐστι, φησίν, ἡμῖν ὁ πατήρ, ὁ υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα, ὁ μὲν γεννήτωρ καὶ προβολεύς, τῶν δὲ τὸ μὲν γέννημα, τὸ δὲ πρόβλημα. Ὁ δὴ καὶ ἀλλαχοῦ σαφέστερον εἰρήκει λέγων Διὰ τοῦτο ἐπὶ τῶν ἡμετέρων ὅρων ἱστάμενοι τὸ ἀγέννητον εἰσάγομεν καὶ τὸ γεννητὸν καὶ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον.

Ἀλλ' αὐτὸς τῶν τοιούτων ὅρων καταγνοὺς, θεολογικώτερος ὢν τυχὸν, ἕτερον ἀντεισῆξας ὅρον εἰπὼν Ὁ πατὴρ μόνος γεννή-

2. ἀνάδυσιν M: ἀνάδοσιν Δ 5. πρὸς τοῦ Δ: πρός του M
7. ἔνθεν M: ἔνθέν Δ 11. Μόνος ἔγραψα: μόνον ΔM
14 μόνος M: μόνως Δ 17 μέλαν M: μέλλαν Δ 18. διαδρὰς M: διαδρᾶς Δ 21 (καὶ κατωτέρω). κατ' M: κάτ' Δ 28. τυχὸν ἔγραψα: τυχὼν ΔM ἀντεισῆξας M: ἀντεισήξας Δ

ΕΘΝΙΚΟ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΔΙΔΑΚΤΟΡΙΚΟ ΔΙΠΛΩΜΑΤΙΚΗ ΕΡΓΑΣΙΑ ΜΕΤΑΠΤΥΧΙΑΚΟ ΔΙΠΛΩΜΑ ΕΙΔΙΚΕΥΣΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΑΠΑΔΗΜΗΤΡΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τωρ ἅμα καὶ προβολεὺς, ἵν' εἴη ἴσως νοούμενον Ὁ γὰρ υἱὸς προβολεὺς, εἰ καὶ μὴ γεννήτωρ.

Ἀλλ' εὐσεβοῦς ἐστι διανοίας τὰ ἀποσιωπηθέντα ἐν ταῖς ἁγίαις Γραφαῖς εὐλαβεῖσθαι ἐπιφημίζειν τῷ ἁγίῳ Πνεύματι. Οὐκ ἀκούεις δὲ καὶ τοῦ Κυρίλλου λέγοντος Μὴ μέταιρε ὅρια αἰώνια ἃ ἔθεντο οἱ πατέρες σου; οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ θεοῦ. Εἰ δὲ καὶ σὺ τοὺς ἐκ τῶν πατέρων πεπηγότας ὅρους κινεῖς καὶ ἄλλα παρὰ τὸν σκοπὸν ἐκείνων νομοθετεῖς, οὐκ εὔδηλον, ὅτι οὐκ ἀπὸ τοῦ αὐτοῦ Πνεύματος λαλεῖς;

Ἡμεῖς τὸν ἐκ τοῦ πατρὸς ἐκείνου τεθέντα ὅρον οὐ μετακινοῦμεν, ἀλλὰ τὸν πατέρα γεννητὸν ὄντα πιστεύομεν, γεννήτορα τοῦ υἱοῦ καὶ προβολέα τοῦ ἁγίου Πνεύματος, τὸν δὲ υἱὸν γεννητὸν ἐκ πατρὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορευτὸν καὶ αὐτὸ ἐκ πατρὸς, ὡς ἐκεῖνος ὡρίσατο, ἀπὸ τοῦ θεοῦ λόγου διδαχθείς· ἐπάγει γὰρ, ὥς πού φησιν αὐτὸς ὁ θεὸς Λόγος. Τούτοις συνᾴδει καὶ ὁ τῶν Νυσσαέων λέγων Ἓν καὶ τὸ αὐτὸ πρόςωπον τοῦ πατρὸς, ἐξ οὗπερ ὁ υἱὸς γεννᾶται καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται· διὸ καὶ κυρίως τὸν ἕνα αἴτιον μετὰ τῶν αὐτοῦ αἰτιατῶν ἕνα θεόν φαμεν τεθαρρηκότως, καὶ οὐκ εἶπε μετὰ τοῦ συναιτίου καὶ τοῦ αἰτιατοῦ, οὐδ' ἄλλο τι τῶν τοιούτων.

Προβολέα γὰρ τὸν υἱὸν οὐδενὸς τῶν ἁγίων ἠκούσαμεν λέγοντος, οὐδὲ συναίτιον οὐδὲ αἰτιατοαίτιον, οὐδ' ἀρχὴν τοῦ ἁγίου Πνεύματος, οὐδέ τι τῶν ὁμοίων. Ἀποφάσκουσι δὲ μᾶλλον τὰ τοιαῦτα ἀπ' αὐτοῦ, λέγοντες Ἐκ τοῦ υἱοῦ δὲ τὸ Πνεῦμα οὐ λέγομεν, καὶ Τὸν υἱὸν οὐ λέγομεν αἴτιον, καὶ Πάντα ὅσα ἔχει ὁ πατὴρ τοῦ υἱοῦ πλὴν τῆς αἰτίας. Σὺ δὲ ταῦτα προϊὼν ἀναιρήσεις δι' ὧν προςθήσεις· οὐ γὰρ δύναται ταῦτα σὺν ἐκείνοις σώζεσθαι.

3. ἐστι M: ἐστὶ Δ 15. ὥς πού φησιν M: ὥςπου φησὶν Δ
22. αἰτιατοαίτιον Δ: αἰτιατοκίτιον M 23. ὁμοίων ἔγραψα: ὁμοίως ΔM

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΝΕΟΕΛΛΗΝΙΚΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΗΣ Ν. ΚΩΝΣΤΑΝΤΙΝΟΥ
ΔΕΥΤΕΡΑ ΕΚΔΟΣΗ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

τῷ μόνον αὐτὸν ἐν τοῖς θείοις εἶναι τὸν μόνον παράγοντα. Αὐτὸς γὰρ μόνος ἐστὶν ὁ παράγων ταῖς εἰρημέναις δυνάμεσιν ὡς πηγὴ καὶ ἀρχὴ καὶ αἰτία καὶ ὅ τι ἂν εἴποι τις τῶν ὁμοίων.

ΑΓΑΛΛΙΑΝΟΣ 5

Ὁ δὲ υἱὸς, ὦ βέλτιστε, ποίαις ἄλλαις δυνάμεσι παράγων τὸ Πνεῦμα, ὡς σὺ φῄς; Εἰ μὲν γὰρ ἄλλαις δυνάμεσι, καὶ ἄλλως ἐστὶν ἀρχὴ καὶ αἰτία ὁ υἱὸς πρὸς τῷ καὶ ἑτέρας αἰτίας μετεσχηκέναι κατὰ τὴν σὴν θέσιν· ὥςτε καὶ τυφλῷ δήλη ἡ δυαρχία. Εἰ δὲ τῆς αὐτῆς ἐστιν οὐσίας, ὡς καὶ σὺ προϊὼν ἐρεῖς, ὥςπερ ἐν 10 συναισθήσει τῆς βλασφημίας γεγονὼς, καὶ τὰς δυνάμεις ταύτας κοινὰς ἀπεργάσῃ πατρὶ καὶ υἱῷ, ὥςπερ ἐξὸν σοι πάντα ποιεῖν καὶ μετασκευάζειν, τί καταψεύδῃ σαυτοῦ καὶ τῶν ἁγίων νῦν; Ἢ δοκεῖς λήσων ἡμᾶς τὸν κτύπον μόνον πραγματευόμενος τῷ δοκεῖν τοῖς ἁπλουστέροις σωφρονεῖν καὶ τῶν ἁγίων ἐξέχεσθαι, μηδὲν δὲ 15 ὑγιὲς φρονῶν;

Πῶς γὰρ ἔσται μόνος, εἰ μετὰ τοῦ υἱοῦ; Εἰ δὲ ταῖς δυνάμεσι, πῶς οἷόν τε; Ἢ γὰρ αἱ ὑποστάσεις συνειλημμένως διὰ τῶν δυνάμεων προάξουσι τὸ Πνεῦμα, καὶ οὕτως ἀναζῇ Σαβέλλιος, ἢ αἱ δυνάμεις ἔσονται ἡ αἰτία τοῦ ἁγίου Πνεύματος, ὃ καὶ χεῖρον. 20

Ἀλλὰ καὶ ἡ μηχανὴ τοῦ σοφίσματος καταγέλαστος. Μόνως γὰρ, φησὶν, ὁ πατήρ ἐστιν ἐν τοῖς θείοις ὁ μόνον παράγων, ἅτε τοῦ υἱοῦ κατ' αὐτὸν καὶ παράγοντος καὶ παραγομένου, ἵνα δείξῃ τοὺς πατέρας τοῦτο σκοποῦντας, ἐπειδὰν λέγωσιν, ὡς ὁ πατὴρ

2. αὐτὸν ἔγραψα κατὰ σ 113, 14: αὐτῶν ΔΜ 14. τῷ ἔγραψα: τὸ ΔΜ 16. φρονῶν ΜΔ: δὲν εἶνε ἀπόλυτος ἀνάγκη νὰ γραφῇ φρονεῖν 22. πατήρ ἐστιν Μ: πατὴρ ἐστὶν Δ 24. λέγωσιν ἔγραψα: λέγωσι Μ: λέγουσι Δ

ΕΠΙΤΡΟΠΗ ΤΙΜΗΣ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΘΝΙΚΟΥ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΑΘΗΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΠΑΠΓΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

μόνος αἰτία καὶ μόνη πηγή. Καὶ τίς οὕτως ἁπλοῦς, ὥςτε ἢ τοσαύτην ἁπλότητα τῶν πατέρων καταγνῶναι ἢ, ἐκείνων οὕτω διοριζομένων, σαφῶς θέλειν ἀμφισβητεῖν;

Εἰ γὰρ αὐτὸς οἶδεν, ὅτι τὸ λατινικὸν ἐκλείψει συμπέρασμα, ἂν μὴ προςτεθῇ τῷ Μόνος αἴτιος καὶ Μόνη αἰτία, οὐκοῦν ἢ ἀγνοοῦντες οἱ ἅγιοι λέγειν καλῶς λέγουσιν αἴτιον μόνον τὸν πατέρα, ὄντος πως αἰτίου καὶ τοῦ υἱοῦ ἐν τῇ θεότητι ἔνδον, ἢ, εἰ μὴ ἠγνόουν ὅπερ οἶδεν αὐτός, σιγῶντες ὅπερ αὐτὸς προςτίθησι, τῷ λατινικῷ συμπεράσματι καὶ κατ' αὐτὸν μάχεται.

Εἶτα καὶ λόγον ἂν εἶχεν ἡ προςθήκη τοῦ Μόνου τινά, εἴ τις ἦν ὁ λέγων τὸν υἱὸν παράγοντα εἶναι καὶ παραγόμενον καὶ αἰτίαν καὶ αἰτιατὸν ἤ τι τοιοῦτον. Νῦν δὲ, μηδενὸς τοῦτο λέγοντος, πῶς τολμᾷ προςθήκαις ἀρρήτοις τὸν φανερὸν νοῦν μεταπλάττειν τῶν πατρικῶν ῥήσεων;

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Φανερὸν δέ φησιν, ὅτι αἱ εἰρημέναι δύο δυνάμεις ἡ θεία οὐσία πάντως ἐστὶ καὶ τὰ ἀποδιδόμενα τῷ θεῷ, νοῦς τε καὶ βούλησις. Νοῦς δὲ ἄρα καὶ βούλησις τελειότητες.

ΑΓΑΛΛΙΑΝΟΣ

Καὶ πόθεν ἐστὶ φανερὸν καὶ τίς τῶν θεολόγων ταῦτα ἐτύπωσεν; Ἀλλὰ καὶ τοῦτο τὸ μέρος ἐλέγχειν, ἐπειδὴ καὶ ἄλλης ἅπτεται πραγματείας, ἐάσθω τό γε νῦν· τὰ δ' ἐντεῦθεν θεωρήσωμεν.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Δυοῖν δὲ ὄντοιν τοῖν παραγομένοιν προςώποιν, υἱοῦ τε καὶ θείου Πνεύματος, ὁ μὲν πρόεισιν ἐκ τοῦ πατρὸς ᾗ πατὴρ, διὸ καὶ πρὸς

1. μόνος ἔγραψα: μόνως ΔΜ τίς Μ: τὶς Δ 8. ἠγνόουν Μ: ἠγνώουν Δ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΚΔΟΣΕΩΝ ΙΩΑΝΝΙΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΤΘΥΝΤΗΣ: Ν. ΑΘΑΝΑΣΙΑΔΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΣΠΕΝΤΖΟΣ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΦΙΛΟΛΟΓΙΑΣ ΤΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

αὐτὸν ἀναφέρεται τῇ υἱότητι· υἱὸς γὰρ πατρὸς, ὥςπερ καὶ πατὴρ ὁ πατὴρ υἱοῦ λέγεται. Τὸ δ' αὖ πάλιν ἐκ τοῦ αὐτοῦ πατρὸς ἐκπορεύεται οὐχ ᾗ πατὴρ, ἀλλ' ᾗ προβολεὺς δήπου καὶ προβάλλων καὶ πνέων καὶ ὅσα τῆς ὁμοίας ὄντα τυγχάνει δυνάμεως.

ΑΓΑΛΛΙΑΝΟΣ 5

Ἐπειδὴ ὡς ἐν πορίσματος τάξει, καίτοι μηδαμοῦ πρότερον συμπερανάμενος, τὰς τῶν Χριστιανῶν ἀρετὰς τέθεικε, καὶ ταύτας μεθ' ὑπαλλαγῆς καὶ προςθήκης κατὰ τὸ συμφέρον αὐτῷ, ἤ, τό γε ἀληθέστερον φάναι, ἐπὶ βλάβῃ τῇ σφετέρᾳ, προςλαμβάνει, ὅτι ὁ μὲν υἱὸς πρόεισιν ἐκ πατρὸς ᾗ πατὴρ ἐκεῖνος, τὸ δὲ Πνεῦμα 10 ἐκπορεύεται ἐκ τοῦ πατρὸς ᾗ προβολεὺς ἐκεῖνος, εἰ καὶ αὐτὸς ἀφελῶς ἄλλο τι τῇ λέξει δηλοῖ, πάσχει δὲ τοιαῦτα μυρία ἐν τοῖς λόγοις τούτοις.

Εἶτα ἐπάγει, ὅτι ὁ πατὴρ προεπινοεῖται τοῦ προβολέως, ἵνα καὶ τὸν υἱὸν προεπινοησόμενον δείξῃ τοῦ Πνεύματος, κἀκ τού- 15 του καὶ προβολέα. Ἀλλ' οὐκ εἰ προεπινοεῖται ὁ υἱὸς τοῦ Πνεύματος, ἐξ ἀνάγκης καὶ αἴτιος· εἴη γὰρ ἂν οὕτω καὶ ὁ πατὴρ τοῦ προβολέως αἴτιος προεπινοούμενος. Εἰ δὲ καὶ ἀμυδρότερον ταῦτα διενήνοχεν ἐν πατρὶ ἢ υἱὸς καὶ Πνεῦμα τὰ προαγόμενα, οὐδὲν διαφέρει. Ἐν ὁποίῳ γὰρ γένει τιθεῖντο τῆς διακρί- 20 σεως, ὁ πατὴρ ἔσται αἴτιος τοῦ προβολέως ἐν τῷ πατρί. Ἀλλὰ τοῦτο ἀδύνατον· οὐκοῦν οὐδὲ ἐκεῖνο ἀναγκαῖον. Εἰ γὰρ ὁ πατὴρ προεπινοεῖται τοῦ υἱοῦ ὡς αἰτία αὐτοῦ, οὐκ ἀνάγκη καὶ τὸν υἱὸν προεπινοεῖσθαι διὰ τὴν αἰτίαν· οὐ γάρ ἔστι τις ἀνάγκη ἡ τοῦτο ποιοῦσα· εἰ γὰρ ἦν, ἔγνωσαν ἂν αὐτὴν οἱ πάλαι θεολόγοι. 25

Καὶ δῆλον ἀπὸ τοῦ ἱεροῦ Βασιλείου, λέγοντος περὶ μὲν τοῦ υἱοῦ πρὸς τὸν πατέρα, Πῶς ἂν προεπινοηθείη ὁ υἱὸς τῆς ἰδίας

7. τέθεικε M: τέθηκε Δ 8. αὐτῷ ἔγραψα: αὐτὸ ΔM 12 ἄλλο τι ἔγραψα: ἀλλ' ὅτι ΔM 24. ἔστι τις M: ἐστὶ τὶς Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΕΠΕΤΗΡΙΔΑ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΙΩΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

αἰτίας; περὶ δὲ τοῦ Πνεύματος πρὸς τὸν υἱὸν, οὐ τὸν αὐτὸν ἀποδιδόντος λόγον. Εἰ γὰρ ἐφρόνει τοῦτο, κἂν ἔλεγεν. Ἀλλὰ τί φησι; Πῶς ἂν διατμηθείη ἡ ἄμεσος σχέσις τοῦ υἱοῦ πρὸς τὸν πατέρα; Καὶ αὖθις ἐν τῇ Πρὸς τὰς κανονικὰς Ἀλλ' οὐδὲ τοῦ μονογενοῦς πρότερον, τὸ Πνεῦμα δῆλον ὅτι τὸ ἅγιον· οὐδὲν γὰρ μέσον υἱοῦ καὶ πατρός. Καὶ ὁ Θεολόγος Γρηγόριος, δεδοικὼς τὸν πατέρα προτιμῆσαι τοῦ υἱοῦ διὰ τὴν ἀρχὴν, μὴ ἀρχὴν αὐτὸν ἐλαττόνων ἀποφήνῃ, ἐπάγει· Θέλω, φησὶ, τὸν υἱὸν προτιμῆσαι τοῦ Πνεύματος ὡς υἱὸν, οὐ μὲν οὖν ὡς ἀρχὴν καὶ αὐτόν. Τί γὰρ ἐκώλυεν, εἰ ἐφρόνει τοῦτο, εἰπεῖν ὡς ἀρχὴν καὶ αὐτὸν μετὰ τοῦ πατρὸς, καὶ οὐκ ἐδιδάχθη τοῦτο παρὰ τοῦ πατρός; Ὅθεν δῆλον, ὅτι οὔτε αἴτιον ἐφρόνουν οἱ θεολόγοι τὸν υἱὸν, οὐδὲ διὰ τοῦτο ἐδόξαζον προεκφωνεῖσθαι αὐτὸν τοῦ Πνεύματος.

Ἐπεὶ δ' ἀμωσγέπως τάξιν ἔδει τινὰ ἐν τῇ ἐκφωνήσει τῶν θείων ὀνομάτων εἶναι, μᾶλλον εἰκὸς ἦν τὸν υἱὸν τοῦ Πνεύματος προτετάχθαι δι' ἄλλα τε πολλὰ καὶ διὰ τὸ τὴν κοινὴν ἀρχὴν αὐτῶν τῷ πρὸς τὸν υἱὸν ἀνταναφερομένῳ προσηγορεῦθαι ὀνόματι, τῷ πατρικῷ δῆλον ὅτι. Καὶ δῆλον ἐκ τῶν ἁγίων, ὡς υἱὸν λεγόντων, καὶ οὐδὲν μέσον υἱοῦ καὶ πατρὸς, καὶ τὰ τοιαῦτα, ὡς αἴτιον δὲ οὐδαμῶς· οὐ γὰρ ἐδόκει τοῖς ἁγίοις τοῦτο, πάντες δὲ τῷ πατρὶ μόνῳ τουτὶ μαρτυροῦσιν.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ὡς γοῦν τοῦ προβολέως ὁ πατὴρ προεπινοεῖται, κατὰ μὲν τὸ ἀΐδιον οὔ· ἅμα γὰρ κατ' ἐκεῖνο πατήρ τε καὶ προβολεὺς, συναϊδίως τοιοῦτος ὤν· κατὰ δὲ τὸ δύνασθαι καὶ προάγειν· πρότερον γὰρ τὸν υἱὸν παράγει τοῦ Πνεύματος, ἤδη νοούμενος ὑφεστηκέναι τῇ πρὸς τὸν υἱὸν ἰδιότητι, τῇ πατρότητι· οὕτω καὶ ὁ υἱὸς αὖ πάλιν προεπινοεῖται τοῦ Πνεύματος.

1-2. ἀποδιδόντος M: ἀποδίδοντος Δ 2. τί φησι M: τὶ φησὶ Δ 12 υἱὸν M: ἡὸν Δ 17. προσηγορεῦθαι ἔγραψα: προσηγορεύσθαι ΔM 23. ὡς ΔM: ὥσπερ σ. 114, 11.

ΕΛΛΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΕΠΙΣΤΗΜΟΝΑ ΦΙΛΟΣΟΦΙΑΣ ΠΕΤΣΥΝΑ ΑΝΕΠΙΣΤΗΜΟΝΑ ΚΑΘΗΓΗΤΗ ΑΝΤΩΝΙΟΣ ΠΟΛΕΜΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΥΝΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΑΓΑΛΛΙΑΝΟΣ

Καὶ ἀπὸ ποίας ἀνάγκης ἐφάνη ἢ διὰ τίνος τῶν θεολόγων ἀπεδείχθη, ὅτι ὁ πατὴρ προεπινοεῖται τοῦ προβολέως; Εἰ δὲ διότι ὁ υἱὸς τοῦ προβλήματος προεπινοεῖται, εἰ μηδὲ ὁ υἱὸς προεπινοεῖται ἐξ ἀνάγκης ὡς αἴτιος, πῶς ἐκ τοῦ τὸν γεννήτορα προεπινοεῖσθαι τοῦ προβολέως ἐξ ἀνάγκης τοῦ γεννήματος ὁ υἱὸς ἔσται αἴτιος; Τούτου γὰρ ἕνεκα τὴν τοῦ γεννήτορος πρὸς τὸν προβολέα τάξιν προὔποτίθησι, καὶ, εἰ μὴ οἷόν τέ ἐστιν ἢ μίαν εἶναι τὴν προακτικὴν δύναμιν ἐν πατρὶ ἢ ἓν εἶναι τὸν γεννήτορα καὶ προβολέα διὰ τὸ προεπινοεῖσθαι τὴν δύναμιν τῆς δυνάμεως, ἵν' ἐντεῦθεν καὶ ἡ προεπίνοια τῶν προϊόντων προσώπων ἀκολουθήσῃ καὶ ἡ τάξις ἡ ἐν αὐτοῖς, πῶς ὁ πατὴρ καὶ ὁ υἱὸς μία ἔσται ἀρχὴ τοῦ Πνεύματος ἐν οἷς τὸ προβάλλειν καὶ ἡ ἀρχὴ καὶ τὰ τοιαῦτα τὰ μὲν τοῦ προεπινοεῖσθαί ἐστιν; Οὐ γὰρ ἀρνήσαιντο προεπινοεῖσθαι τὴν ἐν πατρὶ δύναμιν τὴν ἐν ἀμφοῖν, εἴ γε μηδὲ τὸν πατέρα ὅλως ἀρνήσαιντο τοῦ υἱοῦ προεπινοεῖσθαι.

Εἶτα, εἰ μὲν τὸ Πατὴρ ὡς τὸν αἴτιον νοεῖ, προεπινοεῖται μὲν τότε τοῦ προβολέως, προεπινοεῖται δὲ ἄρα καὶ τοῦ γεννήτορος, ὃν τρόπον τὰ κοινότερα τῶν ἥττον κοινῶν προεπινοοῦνται ἐν τῇ τελεωτέρᾳ ἐνεργείᾳ τοῦ νοῦ ἐναντίως ἢ ἐν τῇ ἀτελεστέρᾳ συμπίπτει, καὶ ἐντεῦθεν οὐκ ἂν εἴη τις ἀνάγκη ὥςτε καὶ τὸν υἱὸν αἴτιον εἶναι τοῦ Πνεύματος. Ἅμα τε γὰρ ἔσται γεννήτωρ καὶ προβολεὺς, ὡς τὰ ἀντιδιῃρημένα, καὶ ἅμα υἱὸς καὶ Πνεῦμα, οὐ διὰ τὴν τῆς αἰτίας τάξιν τοῦ υἱοῦ προθεωρουμένου τῇ ἐπινοίᾳ, ὡς ἔφημεν. Εἰ δὲ τὸ Πατὴρ ὡς τὸν γεννῶντα νοεῖ, πῶς ὁ πατὴρ προ-

8. προὔποτίθησι ἔγραψα: προὔποτίθησιν ΔΜ οἷόν τέ ἐστιν Μ οἷόν τε ἐστὶν Δ 14. τὰ μὲν ΔΜ: πιθανώτατα διορθωτέον 15. μηδὲ Μ: μὴδὲ Δ 21. τις Μ: τὶς Δ

ΕΘΝΙΚΟ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΝΟΕΡΑΣ ΚΑΙ ΚΛΑΣΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΑΣΚΗΣΗ ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΠΑΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

επινοεῖται τοῦ προβολέως; Εἰ μὲν γὰρ ᾗ ὁ πατὴρ πρὸς τὸν υἱὸν λέγεται, ταύτῃ γε καὶ ὁ προβολεὺς προεπινοεῖται τοῦ γεννήτορος, ᾗ πρὸς τὸ πρόβλημα καὶ αὐτὸς λέγεται, κἀντεῦθεν οὐδεμία ἀνάγκη πρὸς τὸ τὸν υἱὸν πρότερον εἶναι, ὡς αὐτὸς ἀξιοῖ. Εἰ δὲ
5 καὶ ὡς ἕξεις τινὲς ἢ ἐνέργειαι νοούμεναι ταῦτα ἐν πατρὶ τὴν τάξιν ἕξουσι ταύτην· προεπινοοῦνται γάρ που ὥς εἰσιν ἐν τῷ πατρὶ τῶν ὡς πρὸς τὰ προϊόντα ἔχουσιν ᾗ λέγεται· τί τούτου γένοιτ' ἂν ἀτοπώτερον; Ἄνευ γὰρ πολλῶν ἄλλων τῶν συμβαινόντων, ὥςπερ ἡ διαφορὰ τοῦ γεννᾶν καὶ προβάλλειν ἐν τῷ πατρὶ, ἐν τῷ
10 ἀσθενεστέρῳ γένει τῶν διακρίσεων οὖσα, καὶ κατὰ τοὺς Λατίνους ἐν τοῖς προηγουμένοις ἰσχυρότερον διαλάμπει, πραγματικῶς διακρινομένοις, οὕτω καὶ ἡ προεπίνοια οὐκ ἔτ' ἂν ἡ αὐτὴ εἴη ἔν τε γεννήτορι καὶ προβολεῖ καὶ υἱῷ καὶ προβλήματι, ἀλλὰ πολλῷ ἔσται αὕτη ἐκείνης ἰσχυροτέρα, καὶ οὐκ ἔτ' ἂν εἴη προεπίνοια
15 μᾶλλον ἢ ἄλλη τις προήγησις τῶν ἀπηγορευμένων, ἣν καὶ αὐτὸς ἔοικε βούλεσθαι. Ἢ τί βούλεται αὐτῷ, ὅτι ὁ πατὴρ πρότερον παράγει τὸν υἱὸν τοῦ Πνεύματος καὶ ὅτι ὑφέστηκε τῇ πρὸς τὸν υἱὸν ἰδιότητι πρὶν ἂν προβάλῃ τὸ Πνεῦμα; Οὕτω γὰρ ἐναργῶς ἀξιοῖ. Ταῦτα δὲ τίς ἀκούσας οὐκ εὐθὺς ἂν πάντας Ἀρειανοὺς ἐννοήσειε;
20 Τί γὰρ ἄλλο ἐκεῖνοι ἔλεγον ἢ ὅτι ὁ θεὸς πρότερον μὲν τὸν υἱὸν, εἶτα τὸ Πνεῦμα παρήγαγεν, ἔνιοι δὲ ὅτι ὁ υἱὸς τοῦτο παρήγαγεν; Οὐδὲ γὰρ ἐκεῖνοι χρόνῳ τὴν διαφορὰν ἐτίθουν ἁπλῶς· ἐξ ἀϊδίου γὰρ ἔλεγον γεγεννῆσθαι τὸν υἱὸν καὶ τὸ Πνεῦμα προελθεῖν οὐκ ἐν τῷ παντὶ τῷδε Ἀλλὰ τοιαύτας τινας προεπινοίας τιθέντες
25 οὐκ εὐσεβῶς, ἐξ ἀνάγκης καὶ τὴν κατ' οὐσίαν εἰςῆγον διαφοράν. Ἀλλ' εἴπερ ᾔδεισαν πῶς δεῖ τὴν προθεωρίαν καὶ τὴν προεπίνοιαν λέγειν καὶ πῶς τὸ προτετάχθαι καὶ ὅπως τὸ πρότερον οὐδενὶ

6. ὥς εἰσιν M: ὡς εἰσὶν Δ 7. τῶν... λέγεται ΔM: διορθωτέα 9. γεννᾶν Δ: γεννᾷν M 13. γεννήτορι M: γενήτορι Δ 15. τις M: τὶς Δ 17. ὑφέστηκε ἔγραψα: ὑφέστηκεν MΔ 18. προβάλῃ ἔγραψα: προβάλλῃ ΔM 19. τίς M: τὶς Δ 20 τί M: τὶ Δ 23. γεγεννῆσθαι M: γεγενῆσθαι Δ 26. ᾔδεισαν M: εἴδησαν Δ

ΙΩΑΝΝΙΝΑ 2007 Ε.Υ.Δ της Α.τ.Π

τρόπῳ ἐστὶν ἀληθῶς οὔτε νοεῖν, οὔτε λέγειν ἐπὶ τῶν θείων, οὐκ ἂν εἰς τοιαύτας φλυαρίας ἐξώκειλαν. Πῶς δὲ καὶ οὐκ ἄνοια πολλή τι τῶν ἐν τῷ ἀγεννήτῳ, οἷον τὸ προβάλλειν ὕστερον εἶναι λέγειν τῶν ἐκ τοῦ ἀγεννήτου τινός; Ἔστω γὰρ, ὅτι ὁ γεννήτωρ τοῦ προβολέως προεπινοεῖται· ἀλλ' οὐχ ὅ γε υἱὸς διὰ τοῦτο τοῦ προβολέως, ἵν' ᾖ ὁ προβολεὺς ἢ τὸ προβάλλειν κοινὸν πατρὶ καὶ υἱῷ, ἀλλὰ μᾶλλον ἄμφω τὰς αἰτίας, εἰ καὶ δοίημεν ἐν ἑαυταῖς ἔχειν τάξιν τινὰ, ἢ τοιάσδε αἰτίας μόνον προεπινοεῖσθαι τῶν αἰτιατῶν εὔλογον ἂν εἴη μᾶλλον, ἀπὸ τῆς τῶν κατ' αὐτὰς προαγομένων προσώπων τάξεως λαμβανόντων ἡμῶν τὴν περὶ αὐτῶν ἐπίνοιαν ὅσον τὸ ἐφ' ἡμῖν, ἐκεῖ δὲ μηδεμίαν ἀνάγκην εἶναι πιστεύειν τοῦ ἔχειν οὕτως, ὡς ἡ ἡμετέρα προϋποτίθησι ἐπίνοια· ἄρρητος γὰρ καὶ ἀνεννόητος ὁ τρόπος καὶ ἡ τάξις τῶν θείων ἐκείνων προόδων τῶν θεολόγων λεγόντων ἀκούομεν, καὶ τὸ περὶ τούτων ζητεῖν αἱρετικῶν εἶναι ἡ ς' τῶν οἰκουμενικῶν ἀπεφήνατο. Τούτῳ τῷ τρόπῳ καὶ τῆς Ἀρείου καὶ Εὐνομίου φρενοβλαβείας οὐ μετασχήσομεν. Καὶ γὰρ αὐτὸς Εὐνόμιος, ἐκ τοιούτων τινῶν προεπινοιῶν κακῶς τιθεμένων ὥςπερ ἀφορμῶν ὁρμώμενος, τὴν κατὰ τὸν τῆς αἰτίας λόγον καὶ τρόπον τῶν τριῶν ὑποστάσεων ἐν ἑνότητι φύσεως διάκρισιν εἰς τὴν ἐν τῇ φύσει διαφορὰν μετέφερε καὶ τὰς ἀπὸ τοῦ λόγου τῆς αἰτίας προθεωρίας καὶ προαριθμήσεις, αἳ τὸ ἀσύγχυτον ἐργάζονται τῶν ὑποστάσεων, ὑπερθέσεις καὶ ὑφέσεις ἀξιωμάτων καὶ φύσεων ἐπισφαλῶς ἔλεγε, καὶ βαθμούς τινας φύσεων συνετίθει ὡς ἀξιωμάτων ἢ προόδων ἕτεροι. Ὃν ἀπορραπίζων ὁ Νύσσης Γρηγόριος φησὶν « Εἰ μέν τινα χρονικὴν ἔμφασιν ὑπερετίθει τῆς τοῦ μονογενοῦς ὑποστάσεως ὁ τὸν πατέρα τοῦ υἱοῦ μόνῳ τῷ τῆς αἰτίας λόγῳ προθεωρῶν, εἰκότως ἂν ὁ τῆς ἀϊδιότητος ἡμῖν περὶ υἱοῦ λόγος ἐκινδυνεύετο ». Εἶτα ἐπάγει· « Ὁ δὲ αὐτὸς ἡμῖν καὶ περὶ τοῦ Πνεύματος λόγος, ἐν μόνῃ τῇ τάξει τὴν διαφορὰν ἔχων·

3. τι M: τὶ Δ τὸ προβάλλειν ἔγραψα: τῷ προβάλλειν ΔM
13. ἀνεννόητος ἔγραψα: ἀνενόητος ΔM 16. μετασχήσομεν M: μετασχήσωμεν Δ 19. ἐν M: ἐν Δ 23. καὶ βαθμούς ἔγραψα: βαθμούς ΔM

ΕΘΝΙΚΟ ΙΔΡΥΜΑ ΕΡΕΥΝΩΝ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΤΟΧΗ ΙΩΑΝΝΟΥ ΚΑΙ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΗΣ ΙΩΑΝΝΟΥ ΚΑΙ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΗΣ ΙΩΑΝΝΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ὡς γὰρ συνάπτεται τῷ πατρὶ ὁ υἱὸς καὶ ἐξ αὐτοῦ τὸ εἶναι ἔχων οὐχ ὑστερίζει κατὰ τὴν ὕπαρξιν, οὕτω πάλιν καὶ τοῦ μονογενοῦς ἔχεται τὸ Πνεῦμα τὸ ἅγιον, ἐπινοίᾳ μόνῃ κατὰ τὸν τῆς αἰτίας λόγον προθεωρουμένου τῆς τοῦ Πνεύματος ὑποστάσεως, ὥστε, τοῦ λόγου
5 τῆς αἰτίας ὑπεξῃρημένου, ἐν μηδενὶ τὴν ἁγίαν Τριάδα πρὸς ἑαυτὴν ἀσύμφωνον ἔχειν. Τὰ γοῦν** τὸν ἐν ἑκάστῳ τῶν προσώπων λόγον τῆς αἰτίας μόνον προθεωροῦνται τῇ ἐπινοίᾳ, καὶ προλέγεται τὰ θεῖα πρόσωπα. Αὐτὸς γάρ ἐστιν ὁ διδοὺς τὰς ἰδιότητας αἷς διακρίνονται, ἢ τοῦτ' αὐτὸ τὸ λαμβάνειν ἐκ τοῦ πατρὸς πάντα μετὰ
10 τῆς φύσεως, τοὐτέστιν ἡ πρὸς αὐτὸν ἰδιότης αὐτοῖς τῆς ἀρρήτου τῶν τρόπων διαφορᾶς, καὶ αὐτὰ διακρινούσης ἀλλήλων. Καὶ ὁ μὲν πατὴρ τῶν ἐξ αὐτοῦ διακρίνεται κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν, ὡς ὁ αὐτὸς Γρηγόριος ἀξιοῖ λέγων Τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον
15 τοῦ ἑτέρου καταλαμβάνειν, ἀλλὰ τὸ ἐκ τοῦ αἰτίου ἄλλῃ τινὶ διαφορᾷ καὶ οὐ τῇ αὐτῇ διακρίνεται. Ἄλλην γάρ, φησι, διαφορὰν ἐννοοῦμεν, ἣν ἐνταῦθα λόγον φησὶ τῆς αἰτίας. Ὦ συμφώνως φθάσας ἔφη καὶ ὁ Ἰουστῖνος Ὡς ὁ υἱὸς ἐκ τοῦ πατρὸς, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς πλήν γε διὰ τοῦ τρόπου
20 τῆς ὑπάρξεως ἐγγίνεται τῷ ἡμετέρῳ νοὶ ἡ προεπίνοια ᾗ προθεωρεῖ τὸν υἱὸν τοῦ Πνεύματος. Ἐν δὲ ταῖς ἀρρήτοις ἐκείναις καὶ ἀϊδίοις προόδοις οὐκ εὐσεβές ἐστι μὴ ὅτι γε εἰπεῖν, ἀλλ' οὐδ' ἐπινοῆσαί τι πρότερον ἢ ὕστερον, μᾶλλον δὲ οὐδ' ἐπινοῆσαι οἷός τε γένοιτο οὐδεὶς τὸν τρόπον νοῦς τῶν προόδων ἐκείνων· ὅπου γὰρ
25 οὐ χρόνος, οὐκ αἰὼν ἐμεσίτευσεν, οὐ θεατὴς παρῆν, οὐχ ὁ διηγούμενός ἐστι, πῶς φαντασθῇ ὁ νοῦς, πῶς δὲ ὑπηρετήσει ταῖς διανοίαις ὁ λόγος; Διὰ τοῦτο σιωπῇ τιμᾶν ἐκελεύσθημεν τὰς θείας ἐκείνας προόδους, προϊέναι δὲ μόνον ἅμα ἀϊδίως καὶ συναϊδίως,

16. γάρ φησι Δ: γὰρ, φησὶ M 22. εὐσεβές ἐστι M: εὐσεβὲς ἐστὶ Δ 23. τι M: τί Δ 25-26. διηγούμενός ἐστιν M: διηγούμενος ἐστὶν Δ 26. ὑπηρετήσει ἔγραψα: ὑπηρετήση Δ: ὑπηρετήσῃ M 27. τιμᾶν Δ: τιμᾷν M

ΕΥ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἀρρήτως καὶ ὑπὲρ λόγον πιστεύειν τὰ θεῖα πρόςωπα. Καὶ γὰρ ἔχομεν μαθόντες πρὸς τῶν διδασκάλων, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἤρτηται τοῦ υἱοῦ, ᾧ ἀδιαστάτως συγκαταλαμβάνεται καὶ δι' αὐτοῦ καὶ μετ' αὐτοῦ πρίν τι καινόν τι καὶ ἀνυπόστατον διὰ μέσου παρεμπεσεῖν νόημα, εὐθὺς καὶ συνημμένως καταλαμβάνεται, οὐχ ὑστερίζον κατὰ τὴν ὕπαρξιν μετὰ τὸν υἱὸν, ὥς ποτε τὸν μονογενῆ δίχα τοῦ Πνεύματος νοηθῆναι. Ἡ γὰρ τοῦ υἱοῦ μεσιτεία ἑαυτῷ μὲν τὸ μονογενὲς φυλάττει, τὸ δὲ Πνεῦμα τῆς πρὸς τὸν πατέρα σχέσεως οὐκ ἀπείργει. Ὥςπερ γὰρ ὁ υἱὸς ὡς γέννημα ἀμέσως καὶ προςεχῶς ἐκ πατρὸς ὡς πατρὸς, οὕτω καὶ τὸ Πνεῦμα ὡς πρόβλημα ἀμέσως καὶ προςεχῶς ἐστιν ἐκ πατρὸς ὡς προβολέως. Ὡς ὁ υἱὸς γάρ φησι ἐκ τοῦ πατρὸς, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρός πλήν γε δὴ τοῦ τρόπου τῆς ὑπάρξεως. Καὶ ὁ Γρηγόριος· « Φύσις δὲ τοῖς τρισὶ μία, ἕνωσις δὲ ὁ πατὴρ, ἐξ οὗ καὶ πρὸς ὃν ἀνάγεται τὰ ἑξῆς, οὐχ ὡς συναλείφεσθαι, ἀλλ' ὡς ἕχεσθαι ». Καὶ ὁ Νύσσης ἐν ς' τῶν πρὸς Εὐνόμιον· « Τοῦ υἱοῦ, καθὼς εἴρηται, μεθ' ἑαυτοῦ τὸ Πνεῦμα τῆς ζωῆς τε καὶ ἀληθείας ἐνδεικνυμένου ». Καὶ ὁ Κύριλλος· Συνῆπται, φησὶ, πρὸς ἕνωσιν τῷ υἱῷ τῷ τῆς ὁμοουσιότητος λόγῳ, κἂν ἐκ τοῦ θεοῦ καὶ πατρὸς ἐκπορεύηται. Καὶ ὁ Διονύσιος ῥίζαν μὲν ἀποκαλεῖ τὸν πατέρα, βλαστοὺς δὲ ἢ ἄνθη τὰ ἐξ αὐτοῦ, οὐ τάξει τοιαύτῃ τινὶ καὶ ἐκ διαδοχῆς προϊόντα, ἀλλ' ἅμα καὶ ἀμέσως ἄμφω ἀλλήλων τε ἐχόμενα καὶ τῆς ῥίζης ὑπερφυῶς διὰ τὸ πάντη ἄϋλον καὶ τὸ ἄπειρον.

Τούτων οὕτως ὑποκειμένων ὡς τῆς εὐσεβείας ἀρχῶν καὶ τῆς θεολογίας θεμελίων, οἷς ὁ λόγος τῆς ἀληθείας ἐποικοδομεῖται καὶ τὸ ὑγιὲς δόγμα ἀναφαίνεται, ὅτι ὁ πατὴρ μόνος αἰτία καὶ πηγὴ καὶ ῥίζα καὶ ἀρχή· (τούτῳ γὰρ μόνῳ προςαρμόζονται τὰ τοιαῦτα κατὰ τὸν ἐκ Δαμασκοῦ θεορρήμονα ὡς ἰδιότης αὐτοῦ καὶ κατ'

4. μετ' M: μέτ' Δ 8. μονογενὲς M: μονογεννὲς Δ
10. ἐκ M: ἐκ Δ 11. ἐστιν M: ἐστὶν Δ 12. γάρ φησιν ἔγραψα: γάρ φησι Δ: γὰρ φησὶ M 17. μεθ' M: μέθ' Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΙΣΤΟΡΙΑ ΦΙΛΟΣΟΦΙΑΣ ΑΡΕΤΑΙΟΝ ΠΕΡΙΟΔΙΚΟ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΓΙΑΝΝΑΚΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

οὐδένα τρόπον μεταπίπτουσιν οὐδὲ κοινοποιοῦνταί τινι τῶν ἐξ αὐτοῦ· ταῦτα γὰρ μόνον αἰτιατὰ ἐξ αὐτοῦ καὶ οὐδέτερον τούτων συναίτιον τοῦ λοιποῦ τῷ πατρὶ καὶ οὐδαμῶς θάτερον θατέρου πρότερον οὐδὲ ὕστερον, ἅμα προϊόντα καὶ ἀμέσως ἄμφω ἐχομένως καὶ συνημμένως, ὥστε ἐφηρμόσθαι μέν πως τῷ υἱῷ τὸ Πνεῦμα κατὰ τὴν τῶν ὁμοίων τάξιν μόνον, ἐφηρμόσθαι δὲ τῷ πατρὶ κατὰ τὴν φύσιν καὶ τὴν αἰτίαν, ὡς ἐφήρμοσται καὶ ὁ υἱὸς τῷ πατρί, τοῦ Κυρίλλου τοῦτο βοῶντος ἐν τοῖς Πρὸς Ἑρμείαν)· αἱ θέσεις ἐκεῖναι καὶ αἱ προηγήσεις τῶν δυνάμεων καὶ τῶν ὑποστάσεων δι' αὐτὰς καὶ τῶν αἰτιῶν καὶ αἱ προεπίνοιαι καὶ αἱ τάξεις τῶν προόδων καὶ τὸ πρότερον προάγεσθαι τὸν υἱὸν καὶ ὅσα τοιαῦτα τὰ μὲν βλάσφημα πάντως καὶ ἀπάδοντα τῆς ἱερᾶς διδασκαλίας τῶν ἁγίων καὶ ἔξω τοῦ φρονήματος τοῦ ὀρθοῦ, τὰ δὲ καὶ ὑπ' αὐτοῦ δήπου τίθενται καὶ ἐφ' οἷς τίθενται συνοῦσαν τὴν βλασφημίαν ἔχει.

Πολλὰ γοῦν ἄτοπα εἰπὼν ἐν τούτῳ τῷ λήμματι καὶ τῇ ὡς αὐτῷ δοκεῖ τούτῳ ἐπεξεργασίᾳ, ἓν εἶπε φρονίμως, δι' οὗ πάντα ἀνέτρεψεν, ὅτι οὐδαμῶς ἄλλο ἄλλον πρότερον ἐν τοῖς θείοις. Ὃ καὶ ἡμῖν ἔναγχος εἴρηται, ὅτι καὶ ἀϊδιότητι καὶ φύσει καὶ νῷ αἱ θεῖαι ὑποστάσεις ἅμα εἰσί, καὶ οὐκ ἔχει χώραν ἐν αὐταῖς οὐδενὶ τρόπῳ τὸ πρότερον καὶ τὸ ὕστερον, εἰ καὶ πάλιν ταύτην ἀνεῖλε τὴν ἀλήθειαν, οὐκ οἶδ' ὅ τι παθὼν, καὶ τὸν μὲν πατέρα πρότερον τοῖν δυοῖν, τὸν δὲ υἱὸν τοῦ θείου Πνεύματος πρότερον εἴρηκε, τὸν αὐτὸν δὲ ἅμα πρότερον καὶ ὕστερον ἀκολούθως.

Εἰ γὰρ τοῦ Πνεύματος πρότερον ὁ υἱὸς, τί ἂν εἴη τοῦ πατρὸς, λεγέτω, καὶ τὸ Πνεῦμα, ὕστερον ὂν τοῦ υἱοῦ, τί ἂν εἴη ἀπὸ τοῦ πατρός; Εὐλαβούμενος γὰρ ἴσως διὰ τὸ ἀπηχὲς τῆς φωνῆς πρῶτον εἰπεῖν καὶ δεύτερον καὶ τρίτον, ἄλλοις ὀνόμασιν εἰς τὴν αὐτὴν ἀτοπίαν ἐξέπεσεν. Ἀλλ' ἡμεῖς κατὰ τὸν Νύσσης Γρηγόριον ἐν τοῖς κατ' Εὐνομίου οὐδέπω καὶ νῦν ταύτης ἠκούσαμεν τῆς σοφίας

1. κοινοποιοῦνταί τινι **M**: κοινοποιοῦνται τινὶ **Δ** 15. γοῦν ἔγραψα: γ' οὖν **ΔM** εἰπὼν **M**: εἰπῶν **Δ** 16. ἐπεξεργασίᾳ **M**: ἐπ' ἐξεργασίᾳ **Δ**

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΕΥΝΩΝΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΙΩΑΝ. ΛΑΘΑΡΗ ΚΑΙ ΠΑΝΤΑΖΗ ΤΗΣ ΟΝΤΑΣ ΤΙΜΟΥ ΣΠΕΤΣΙΟ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἢ τὸ δεύτερον καὶ τρίτον ἔκ τινος ἀκολουθίας λεγόμενον εἰς τὴν τῶν ὑποχειρίων καὶ ὑποτεταγμένων ἀπωθεῖται τάξιν.

Διχῶς γὰρ λέγεται, φησίν, ὁ υἱὸς, τουτέστιν ἐπιλέγεται τῷ πατρὶ καὶ τρίτον λέγεται τὸ Πνεῦμα, τουτέστιν ἐπιλέγεται τῷ υἱῷ ἔκ τινος ἀκολουθίας· ἀκολουθεῖ γὰρ πατρὶ υἱὸς, ὥςτε καὶ Πνεῦμα υἱῷ καὶ δι' υἱοῦ τῷ πατρὶ, ἀλλ' οὐ λέγομεν ἢ τὸν υἱὸν εἶναι δεύτερον ἢ τὸ Πνεῦμα τρίτον, οἷς ἕπεται τὸν υἱὸν μὲν ὕστερον εἶναι τοῦ πατρὸς, πρότερον δὲ τοῦ Πνεύματος καὶ ὅσα ἄλλα τὴν τῶν φύσεων εἰςάγει κατ' Εὐνόμιον διαφοράν.

Πολὺ δὲ διαφέρει τὸ, λέγοντά τινα πλείω τινὰ, τὸ μὲν λέγειν δεύτερον, τὸ δὲ τρίτον καὶ τὸ λέγειν, ὅτι τοῦτό ἐστι γ'· ὥςπερ οὐδὲ ταὐτόν ἐστι τό τε ἐν οἷς ἡ τῆς αἰτίας τάξις ὁμολογουμένως ἐστὶ τὸ αἴτιον τοῦ ἐξ αὐτοῦ προεπινοεῖν, κἂν ἅμα τῇ τε φύσει ὦσιν ὡς μίαν ἔχοντα φύσιν καὶ τῷ νῷ διὰ τὴν ἀναφορὰν, καὶ τὸ ἐν οἷς ἡ τῆς αἰτίας τάξις ἀμφισβητεῖται θάτερον θατέρου πρότερον ἀποφαίνειν πειρᾶσθαι, ἵνα καὶ ἡ τῆς αἰτίας ἐν αὐτοῖς τάξις ἀποδειχθῇ.

Δεῖ γὰρ καὶ πρότερον ἐκεῖ καὶ τὸ ὕστερον ἐνὶ τῷ τῶν ἄλλων τρόπων εὑρίσκεσθαι, χρόνῳ δῆλον ὅτι ἢ φύσει. Εἰ δὲ καὶ νῷ, οὕτως ἂν καὶ ἡ κατὰ τὴν αἰτίαν τάξις οὐκ ἂν ἐμφαίνοιτο ἐν αὐτοῖς. Αὐτὸς οὖν εἰπὼν Οὐδαμῶς ἄλλο ἄλλου πρότερον ἴσως εἴποι τις ἂν τῷ χρόνῳ, εὐθὺς αἰτίαν προςτίθησι, δι' ἣν ὁ πατὴρ πρότερον τοῖν δυοῖν, ὁ δὲ υἱὸς τοῦ ἁγίου Πνεύματος.

Ὅτι τάξις ἐστὶ, φησὶ, τῶν ὑποστάσεων διὰ τὰς προόδους, ὅτι τὸ γεννᾶν τοῦ προβάλλειν καὶ τὸ γεννᾶσθαι τοῦ προβάλλεσθαι πρότερον, καὶ διὰ τοῦθ' οὕτω τετάχαται καὶ τὰ θεῖα πρόςωπα καὶ ταῦτα κατὰ τὸ αὐτὸ νῦν τῆς ἀϊδιότητος ἅμα πατρὸς ὄντος υἱοῦ τε καὶ θείου Πνεύματος. Ταύτας καὶ δήπου τὰς προηγήσεις καὶ θέσεις οἱ ἐξ Ἀρείου καὶ Εὐνομίου ὑποτιθέμενοι, τὰς ἑξῆς φλυαρίας

11. ἐστι M: ἐστὶ Δ 12. ταὐτὸν Δ: ταυτόν M ἐστι M: ἐστὶ Δ τό τε ἔγραψα: τότε ΔM 21. τις M: τὶς Δ 25. γεννᾶν Δ: γεννᾷν M 29. Εὐνομίου M: εὐνομίον Δ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΤΟΧΟΣ ΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Ο. ΠΙΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

συνέρραπτον, ὡς δεδήλωται· ἃς οὗτος ἀνανεοῦν οὐκ ἀπαξιοῖ δήπου, τοιαῦτα τὴν ἐκκλησίαν ἀξιῶν δέχεσθαι δόγματα. Ἴδωμεν δὲ καὶ τὸ ἑξῆς.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

5 Ἀλλὰ μὴν κἀκεῖνο τοῖς εἰρημένοις προσθεῖναι δίκαιον, θεολογικώτατον ὄν, ὅτι ὁ πατὴρ ἑκάτερον τῶν θείων παράγει προσώπων ἴσον ἑαυτῷ πάντῃ πάντως καὶ ὅμοιον ταῖς αὐταῖς τῷ ἀριθμῷ τελειότησι. Πάντα γὰρ ὅσα πρόσεστι τῷ πατρὶ ἄνευ πατρότητος καὶ ὅσα περ ἐφαρμόττει τῇ θείᾳ πατρότητι καὶ ἄνευ πατρότητος 10 ἅμα καὶ πνεύσεως, καὶ ὅσα περ αὐταῖς κοινῶς ἐφαρμόττει κοινὰ καὶ τοῖς ἐκ πατρὸς εἶναι ὁ θεολογικὸς παραδίδωσι λόγος.

ΑΓΑΛΛΙΑΝΟΣ

Ἰδοὺ κατ' ὀλίγον ἐκρήγνησι τὸν καρπὸν τοῦ λήμματος ἐκείνου, ὅτι ὁ γεννήτωρ προεπινοεῖται τοῦ προβολέως. Οὐκ ἀφίστα- 15 ται δὲ καὶ τῆς κακουργίας, ἀλλ' ἐν μὲν τῇ πατρὸς καὶ υἱοῦ διακρίσει χωρίζει τὴν πατρότητα τῆς πνεύσεως, ἐν δὲ τῇ πατρὸς καὶ Πνεύματος συνάπτει πατρότητα καὶ πνεῦσιν· χωρίζει γὰρ ὡς πρότερον, ὅτε βούλεται, τὴν πατρότητα καὶ πάλιν συνάπτει κατ' ἐξουσίαν, ὡς ἂν ἐπ' αὐτῷ κείμενον τὸν μὲν υἱὸν προβολέα ποιεῖν, 20 οὐ γεννήτορα δὲ, τὸ δὲ Πνεῦμα μήτε προβολέα μήτε γεννήτορα, οὐκ εἰδὼς, ὅτι, εἰ καὶ ἄμφω δεῖ μὴ μετέχειν τῶν ἐν τῷ πατρὶ προσόντων ὑποστατικῶν ὁπωσοῦν, εἴπερ ἐξαρκεῖ τῷ Πνεύματι πρὸς τὴν κατὰ φύσιν ἑνότητα ἡ τῶν θεοπρεπῶν κοινωνία· τὰ γὰρ θεοπρεπῆ πάντα τῇ ὅλῃ θεαρχίᾳ πρόσεστι κατὰ τὸν θεοτελῆ λόγον, ὡς ἱερός 25 φησι Διονύσιος, καίτοι μήτε γεννῶντι μήτε προβάλλοντι· ἢ εἴ γε δεῖ διὰ τὴν ἀναγκαίαν κοινωνίαν τῆς φύσεως καί τινος μετέχειν

5. κἀκεῖνο M: κἀκεῖνο Δ 21. εἰ M: ἢ Δ 24-25. ἱερός φησι M: ἱερὸς φησὶ Δ 25. προβάλλοντι M: προβάλλοντι Δ

ΕΡΓΑΣΤΗΡΙΟ ΙΔΑΝΙΚΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΣΤΑΝΤΙΝΟΣ Θ. ΓΙΑΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τῶν μὴ κοινῶν ὁπότερον οὐκ ἀντίκειται, δεήσει, καθάπερ τῷ υἱῷ τῆς πνεύσεως μέτεστιν ὡς μὴ ἀντικειμένης αὐτῷ, οὕτω καὶ τὸ Πνεῦμα τῆς γεννήσεως ὡς μὴ ἀντικειμένης αὐτῷ μετέχειν. Ἄλλως γὰρ ἔν γε ταῖς κοινότησι θάτερον τῶν προαγομένων προσώπων ὑπερέξει θατέρου, καὶ ὁ τῆς ἰσότητος αὐτῆς οἰχήσεται λόγος.

Εἰ δὲ ἀπὸ τῆς θέσεως τῆς τάξεως ἐπάξει τις τὸν λόγον, τῷ προηγεῖσθαι λέγων τὴν γέννησιν τῆς προβολῆς καὶ διὰ τοῦτο προϋφίστασθαι τὸν υἱόν, εἶτα τὸ Πνεῦμα, κἀντεῦθεν ἀδυνάτως ἔχειν τὸ Πνεῦμα κοινωνεῖν τῆς γεννητικῆς δυνάμεως, ἀλλὰ ταῦτα βλάσφημα ἀπεδείχθησαν καὶ αἱρετικῶν φρονήματα. Τοὐναντίον δὲ μᾶλλον ἀπέδειξαν οἱ θεολόγοι ταῖς σφῶν αὐτῶν χρήσεσιν, ἃς φθάσαντες ἐξεθήκαμεν, ὅτι συνημμένως καὶ ἐχομένως καὶ μετὰ τοῦ υἱοῦ πρόεισι τὸ Πνεῦμα τὸ ἅγιον, οὐχ ὑστερίζον κατὰ τὴν ὕπαρξιν, ἣν ἐκ τοῦ πατρὸς ἔχουσι δῆλον ὅτι, ὡς ποτὲ τὸν υἱὸν δίχα τοῦ Πνεύματος νοηθῆναι· κἀντεῦθεν ἀνάγκη ἦν, εἴπερ ἐκοινώνει τῆς πνεύσεως ὁ υἱὸς τῷ πατρὶ, τῷ μὴ ἀντικεῖσθαι τῇ γεννήσει κοινωνεῖν καὶ τὸ Πνεῦμα τῆς γεννήσεως τῷ μὴ ἀντικεῖσθαι τῇ πνεύσει, ἵν' εἴη θεὸς ἴσος τὸ Πνεῦμα θεῷ τῷ υἱῷ καὶ πατρὶ, καὶ ὁ υἱὸς ἴσος θεὸς θεῷ τῷ πατρὶ καὶ τῷ Πνεύματι, ὡς προϊὼν καὶ αὐτὸς ἀξιοῖ, εἰ καὶ μὴ πρὸς τοῦτο συντείνει αὐτῷ τὰ λεγόμενα.

Εἰ δὲ συναίτιον τὸ Πνεῦμα τῷ πατρὶ ἐν τῇ τοῦ υἱοῦ γεννήσει ἀσεβὲς ἂν εἴη λέγειν, καὶ τὸ συναίτιον λέγειν τὸν υἱὸν ἐν τῇ τοῦ Πνεύματος προβολῇ τοιοῦτον δήπου.

Ὁ δὲ θεολογικὸς λόγος οὐ πατρότητα καὶ πνεῦσιν παραδίδωσι τὰ διακρίνοντα τὰς θείας ὑποστάσεις, ὥστε τῇ πατρότητι διακρίνεσθαι τοῦ υἱοῦ τὸν πατέρα, εἶτα τῇ πατρότητι καὶ πνεύσει τοῦ Πνεύματος· οὐ γὰρ εὐσεβὲς ἔδοξε τοῖς θεολόγοις ταῦτα διακεκριμένα νοεῖν ἐν τῷ πατρί. Μᾶλλον μὲν οὖν εὐσεβὲς, ἵνα τὸ μοναδικὸν τῆς αἰτίας εἰλικρινῶς κηρύττηται, καὶ μίαν γονιμότητα δεῖν

1. ὁπότερον Δ: ὅ πότερον M 6. τις M: τὶς Δ 29. εἰλικρινῶς M: εἴλικρινῶς Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

νοεῖν ἐν τῷ πατρὶ, ὡς μίαν ἀρχὴν αὐτὸν ὄντα, τῇ πρὸς τὰ προϊόντα διαθέσει διχαζόμενον, ὡς δεδήλωται.

Δεῖ γὰρ πάντοθεν τὴν δυαρχίαν ἐκκλίνειν. Διὰ τοῦτο καὶ ὁ θεῖος Διονύσιος ὑπερούσιον γονιμότητα εἴρηκε τὸν πατέρα, ὅπερ ἐξηγούμενος ὁ σοφὸς Μάξιμος λέγει Γονιμότητά φησι τὴν πατρικὴν ὑπὲρ ἔννοιαν πρόοδον εἰς ἔκφανσιν τοῦ υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ τῶν ἄλλων διδασκάλων ὁ μὲν πηγαίαν θεότητα καὶ θεογόνον, ὁ δὲ καρπογόνον, ὁ δὲ αἰτίαν, ὁ δὲ ῥίζαν, ὁ δὲ ἀρχὴν, ὁ δὲ ἄλλο τι τῶν ἰσοδυνάμων λέγει τὸν πατέρα.

Διακρίνεσθαι δέ φασι τὰ θεῖα πρόςωπα, τὸν πατέρα μὲν τῶν ἐξ αὐτοῦ τῇ κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορᾷ, τὰ δὲ ἐξ αὐτοῦ ἀλλήλων τῷ τρόπῳ τῆς σφῶν αὐτῶν ὑπάρξεως, ἤτοι τῷ λόγῳ τῆς ἑκατέρου αἰτίας, τῷ γεννητῷ δῆλον ὅτι καὶ ἐκπορευτῷ. Ἐπὶ τῶν ἡμετέρων γὰρ ὅρων, φησὶν, ἱστάμενοι τὸ ἀγέννητον εἰςάγομεν καὶ τὸ γεννητὸν καὶ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, ὥς πού φησιν αὐτὸς ὁ Θεολόγος. Ταῦτ' οὖν εἰσιν ἃ παραδίδωσιν ὁ θεολογικὸς λόγος· ἃ δέ φησιν οὗτος οὐδαμῶς. Ὅτι δ' ἄνευ τῶν ἰδιοτήτων πάντα τὰ ἄλλα κοινὰ τοῖς τρισὶ καὶ λίαν ἀληθὲς καὶ παραδεδομένον κοινῇ καὶ παρὰ πάντων ὁμολογούμενον. Ἑξῆς δέ φησι

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Αὐτὰ μὲν γὰρ, ἤτοι πατρότης καὶ πατρότης ἅμα καὶ πνεῦσις καὶ ὅσα παρέπεται τῇ πατρότητι καὶ αὖ πάλιν πατρότητί τε καὶ πνεύσει, σχέσεις εἰσὶ μόνον, οὐ τελειότητες, ὥςπερ καὶ ἡ υἱότης καὶ ἡ ἐν τῷ Πνεύματι πνεῦσις.

2. διχαζόμενον ἔγραψα: διχαζομένων ΔΜ 5. γονιμότητά ἔγραψα: γονιμότητα Μ: γονιμώτητα Δ φησι ἔγραψα: φησὶ ΔΜ
6. ὑπὲρ ἔννοιαν Μ: ὑπερέννοιαν Δ 9. τι Μ: τὶ Δ
17. δέ φησιν Μ: δὲ φησὶν Δ οὗτος ἔγραψα: οὕτως ΔΜ
23-24. πατρότητί τε καὶ πνεύσει ἔγραψα κατὰ σ. 116, 1: πατρότης τε καὶ πνεῦσις ΔΜ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΘΕΟΛΟΓΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΚΑΙ ΓΛΩΣΣΟΛΟΓΙΑΣ ΕΠΙΤΗΡΙΟ ΠΕΤΡΟΥ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΜΕΤΟΝΟΜΑΣΘΕΝ ΙΩΑΝ. ΚΑΙΣΑΡΙΟΥ ΤΗΣ ΙΩΝΙΑΣ ΑΚΑΔΗΜΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΑΓΑΛΛΙΑΝΟΣ

Πρὸς ὅ φαμεν, ὅτι πατρότης καὶ πνεῦσις ἐν τῷ πατρί· ἐατέον γὰρ τὴν πατρότητος ἄλογον ἐπαναδίπλωσιν· οὐ σχέσεις μόνον εἰσὶν, ἀλλὰ καί τινα τελειοτάτην ἔχουσι τάξιν. Σχέσεις γάρ εἰσιν ὡς ἀναφοραί. Ὡς δὲ προςώπου συστατικαὶ καὶ τελειότητές πώς εἰσιν οὐ τῆς φύσεως, ἀλλὰ τοῦ κατ' αὐτὰς ὑφισταμένου προςώπου καὶ ὥςπερ εἶδος ἀτομικόν.

Εἰ δὲ ἐξ ἀμφοῖν τὸ πατρικὸν ὑφίσταται πρόςωπον, ἑκάτερον δὲ τῶν προαγομένων ἐκ μιᾶς τῆς ἀντικειμένης, θαυμαστὸν μὲν ὑπερφυῶς, ἀλλὰ τῆς πίστεώς ἐστιν ὑπόθεσις, ἣν μετ' εὐλαβείας ἀποδέχεσθαι χρή, οὐ λόγῳ ταύτην ἀνθρωπίνῳ διορθουμένους παρανομεῖν εἰς τὰ μέγιστα, καὶ ἵνα μόνον ἓν εἴπωμεν μόνον ὑποστατικὸν τοῦ πατρὸς, τὴν πατρότητα, καὶ οὕτω τὴν προβολὴν ἢ τὴν πνεῦσιν κοινοποιήσωμεν τῷ υἱῷ, ἐπειςοδιῶδές τι καὶ παρέλκον αὐτὴν ἀποφαίνειν. Ὅπου γε οὐδὲ τοὺς διδασκάλους εὑρίσκομεν διακεκριμένως καὶ ὡς δύο ταῦτα νοοῦντας ἐν τῷ πατρὶ, ἀλλ' ὡς μίαν ὑποστατικὴν ἰδιότητα ἢ προςωπικὴν τελειότητα ἀποδιδόντας αὐτῷ τὴν πατρότητα ἢ τὴν καρπογονίαν ἢ τὴν θεογονίαν ἢ τὴν αἰτίαν ἤ τι τῶν λοιπῶν. Οὐδὲ γὰρ εἰκῇ Γρηγόριος τὸ Πατὴρ ὄνομα εἰς γεννήτορα ἀνέπτυξε καὶ προβολέα. Ἐν μὲν γὰρ τῇ πρὸς τὸν υἱὸν παραθέσει δηλοῖ τὸν γεννῶντα· ὅταν δὲ ἁπλῶς λέγηται πατὴρ, ὡς αἴτιον, φησὶ, τῆς ἐν τῷ υἱῷ καὶ Πνεύματι θεωρουμένης θεότητος ἐκλαμβάνεται· διὰ τοῦτο καὶ μόνος πατὴρ, ἤτοι μόνος αἴτιος καὶ οὐ μετὰ συζυγίας. Ὡς τοίνυν ὑφιστῶσαι τὸ πατρικὸν πρόςωπον πατρότης καὶ προβολὴ, ἃ δὴ κοινῶς αὖθις ὑπὸ τῷ τῆς

2. ὅ φαμεν M: ὁ φαμὲν Δ 4. τελειοτάτην M: τελειοτάτων Δ γάρ εἰσιν M: γὰρ εἰσὶν Δ 5-6. πώς εἰσιν M: πως εἰσὶν Δ 10. πίστεώς ἐστιν M: πίστεως ἐστὶν Δ 11. διορθουμένους M: διωρθουμένους Δ 14. ἐπειςοδιῶδές τι M: ἐπειςοδιῶδες τὶ Δ 21. λέγηται M: λέγεται Δ

ΕΠΑΣΚΗΣΗ ΤΗΣ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΠΛΩΜΑΤΙΚΗ ΕΡΓΑΣΙΑ ΤΟΥ ΦΟΙΤΗΤΟΥ ΑΛΕΞΑΝΔΡΟΥ Θ. ΛΕΤΣΟΣ ΕΠΙΒΛΕΠΩΝ ΚΑΘΗΓΗΤΗΣ ΑΛΕΞΑΝΔΡΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πατρότητος, ἤ, εἰ βούλει γε, τῷ τῆς ἀγεννησίας ὀνόματι τὸ πατρικὸν χαρακτηρίζουσι πρόςωπον, καὶ τελειότητές εἰσι τοῦ πατρικοῦ τρόπον τινά· οὐ γὰρ μόνον τῆς φύσεως τελειότης ᾗ ἐστιν ἁπλῶς ὁτιοῦν, ἀλλὰ καὶ τῆς ὑποστάσεως ᾗ ἐστι τόδε τι· διὸ καὶ
5 ἰδιότητας οἱ διδάσκαλοι τὰς μὲν τῆς θείας καλοῦσι φύσεως, τὰς δὲ ἑκάστης τῶν ὑποστάσεων. Ὡς γοῦν τελειότητές τινες οὖσαι αἱ ὑποστατικαὶ ἰδιότητες, ᾗ εἰσι συστατικαὶ προςώπων καὶ ἀρχαὶ τῶν ἐνεργειῶν, εἰσὶ καὶ τῶν δυνάμεων καὶ προόδων ἔτι, εἴτε τῶν ἐνεργητικῶς εἴτε τῶν παθητικῶς νοουμένων. Καὶ οὕτως, εἰ τὸ
10 πατρικὸν ὑφίστησι πρόςωπον ἐν τῷ ἀκοινωνήτῳ εἶναι ἡ θεογονία καὶ ἡ πατρότης καὶ ἡ τῆς θεότητος ἀρχὴ καὶ τὸ αἴτιον καὶ ὅ τι βούλοιτό τις τῶν τοιουτοτρόπων, ὧν ἕκαστον σαφηνείας ἕνεκα εἰς πατρότητα καὶ πνεῦσιν διαιροῦμεν, τὰς εἰδικῶς λεγομένας διὰ τὰ προαγόμενα, ἡ δὲ ὑποστατικὴ ἰδιότης ἀρχὴ τῶν τοῦ προςώπου
15 ἐνεργειῶν ἐστι καὶ δυνάμεων, ᾗ τοιάδε πρόςωπόν ἐστι, ἐκείνης οὔσης ἀκοινωνήτου, καὶ ταῦτα πάντα ἀκοινώνητα εἶναι χρή.

Καὶ τῶν μὲν ἰδιοτήτων τῆς φύσεως κοινωνουμένων τοῖς ἐκ πατρὸς, ἀσταθές ἐστιν εἰπεῖν, ὅτι τῷ τρόπῳ διενήνοχε μόνον· καὶ τῷ μὲν πατρὶ πηγαίως καὶ ἀναιτίως καὶ τὰ τοιαῦτα· ἀγαθότης
20 γὰρ καὶ σοφία καὶ δημιουργικὴ δύναμις καὶ τὰ τοιαῦτα ἕν εἰσιν ἀριθμῷ ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ Πνεύματι μετὰ ταύτης μέντοι τῆς εἰρημένης διαφορᾶς, ὅτι ἐκεῖθέν εἰσιν αὐτοῖς συμφυῶς· τῶν δὲ τῆς ὑποστάσεως ἰδίων ἀκοινωνήτως ὄντων ἐν τῷ πατρὶ, κόμπος ἄλλος καὶ κτύπος μόνον ἐκεῖνα πάντα τὰ ῥήματα, ὅσα συμφο-
25 ρήσας ἐκτέθεικεν. Ἔνθεν τοι καὶ ὡς ἐληλεγμένα καὶ τοῖς πρόσθεν εἰρημένοις ἐατέον ἡμῖν ἐστιν αὐτὰ, συντομίας φροντίζουσιν.

1. εἰ ἔγραψα: καὶ ΔΜ 2. τελειότητές εἰσι Μ: τελειότητες εἰσὶ Δ 4. ἐστι Μ: ἔστι Δ 6. τελειότητές τινες Μ: τελειότητες τινὲς Δ 18. ἀσταθές ἐστιν Μ: ἀσταθὲς ἐστὶν Δ 20. ἕν εἰσιν Μ: ἓν εἰσὶν Δ 22. ἐκεῖθέν εἰσιν Μ: ἐκεῖθεν εἰσὶν Δ 25. ἐκτέθεικεν Μ: ἐκθηκεν Δ ἔνθεν Μ: ἔνθέν Δ 26. ἐστιν Μ: ἐστὶν Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΗΣΗ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Δ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Παράγων τοίνυν ὁ πατὴρ τὸν υἱὸν δίδωσιν, αὐτῷ τὴν θείαν οὐσίαν καὶ ὅσαι περ αὐτῆς τελειότητες, ὥστε καὶ τὴν γεννητικὴν καὶ τὴν προβλητικὴν ἅμα δύναμιν. Τῆς γὰρ αὐτῆς οὐσίας τὰ πρόςωπα καὶ τὰς αὐτὰς ἔχει δήπουθεν τελειότητας. 5

ΑΓΑΛΛΙΑΝΟΣ

Ὑπέρευγε. Καὶ πῶς, ὦ θαυμάσιε, γεννητικὸν ἄρα καὶ προβλητικὸν τὸ πρόςωπον τοῦ υἱοῦ ἢ τοῦ ἁγίου Πνεύματος; Ἢ ἔσται τι γεννητικὴν δύναμιν ἔχον οὐ γεννητικὸν ἢ γεννητικόν τι ἔσται ἐν τοῖς θείοις, γεννῶν δὲ οὐδέποτε; Ἀλλὰ ψεῦδός ἐστι τὸ καθόλου. 10 Δίδωσι μέντοι τὴν θείαν οὐσίαν αὐτοῖς ὁ πατὴρ καὶ ὅσαι τῆς φύσεως τελειότητες, οὐ μὴν τὴν γεννητικὴν ἢ προβλητικὴν δύναμιν· οὐ γάρ τε φύσεως ἁπλῶς εἰσι τελειότητες, ἀλλὰ τοῦ πατρικοῦ προςώπου ὡς ἰδιότης αὐτοῦ· διὸ καὶ ἀκοινωνήτως εἰσὶν ἐν τῷ πατρὶ, ὡς δέδεικται. Τὰ γὰρ θεοπρεπῆ μόνον ὅλῃ τῇ θεαρχίᾳ 15 πρόςεστι, καὶ τὰ ὅλῃ τῇ θεαρχίᾳ πρέποντα ταῦτ' ἂν εἶεν αἱ θεοπρεπεῖς τελειότητες. Ὅσα δὲ αὖ μὴ ὅλῃ θεαρχίᾳ πρόςεστι προςωπικαί εἰσιν ἰδιότητες· καὶ ἅπερ ἰδίως ἑνὶ πρέπει προςώπῳ, οὐκ ἂν τῆς φύσεως λέγοιντο τελειότητες, ἐπεὶ τὰ θεῖα πρόςωπα πάντα αὕτη διαλαμβάνει, ἀλλὰ μᾶλλον ὡς ἐν τῷ προςώπῳ εἰσὶν ἐκείνῳ, 20 καὶ οὕτως ἂν εἶεν μᾶλλον προςωπικαί.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ἀλλὰ μὴν, ὅθ' ὁ υἱὸς παρήγετο ἐκ πατρὸς [ὡς πατρὸς], οὐ νοεῖται τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς ὡς προβολέως παρά-

3. περ ἔγραψα κατὰ σ. 117, 5: πως ΔΜ 7. ἄρα ἔγραψα: ἄρα ΔΜ
9 (δίς). τι Μ: τὶ Δ 10. ψεῦδός ἐστι Μ: ψεῦδος ἐστὶ Δ
17. πρόςεστι Μ: πρόσεσι Δ 17 - 18. προςωπικαί εἰσιν Μ: προςωπικαὶ εἰσὶν Δ 23. ὡς πατρὸς σ. 117, 10: λείπουσι ΔΜ

ΕΥ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

γεσθαι· προεπινοεῖται γὰρ ὁ πατὴρ ᾗ πατὴρ τοῦ προβολέως ᾗ προβολεύς, ὡς ἐλέγετο.

ΑΓΑΛΛΙΑΝΟΣ

Ἀλλὰ τοὐναντίον ἀπέδειξεν ὁ λόγος, ὅτι, τοῦ υἱοῦ προϊόντος ἐκ τοῦ πατρὸς, ᾗ γεννήτωρ ἐστὶν ὁ πατὴρ, ἅμα καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ αὐτοῦ πατρὸς ὡς προβολέως πρόεισι. Καὶ ἐν τῷ πατρὶ μὲν ὁ γεννήτωρ οὐ προεπινοεῖται ᾗ ἐν πατρὶ, ἀλλὰ διότι τὸν υἱὸν τοῦ Πνεύματος προεπινοοῦμεν ἐκ τῆς τῶν ὀνομάτων ἀκολουθίας, τοῦ πατρικοῦ τε καὶ υἱικοῦ, συνελκομένης τῆς γενικῆς τοῦ πατρὸς σημασίας, ἣ σημαίνει τὸν αἴτιον, εἰς τὴν εἰδικὴν, ἣ βούλεται τὸν γεννῶντα. Ἐντεῦθεν καὶ τὸν γεννήτορα τοῦ προβολέως προεπινοοῦμεν. Δεῖ γὰρ ᾧ πρὸς τὸ ἐπινοούμενον ὁ πατὴρ πρόσωπον ἀναφέρεται, τοῦτο καὶ ἐν τῷ πατρὶ προεπινοεῖν ἡμᾶς τοῦ ᾧ πρὸς τὸ λοιπὸν ἀναφέρεται, ὡς ἂν οἰκείως πάντα ἀποδιδοῖτο κἂν ταῖς προεπινοίαις αὐταῖς. Καὶ μηδὲν ἀπᾷδον ταῖς ἰδιότησι τῶν προσώπων συμβαίνει διὰ τὸ μὴ δύνασθαι τὰ ἅμα ὄντα καὶ προϊόντα νοεῖν ἅμα καὶ λέγειν, ἀλλ' ἐφεξῆς, ὅς ἐστιν ὁ τρόπος τῆς ἡμετέρας νοήσεως, οὐ διὰ τὸ τὴν γεννητικὴν δύναμιν φθάνειν ἐν τῷ πατρὶ τελειουμένην τῷ ἔργῳ πρὶν ἂν ἐν αὐτῷ καὶ ἡ προβλητικὴ ἔργῳ τελειωθῇ. Ὃ δὲ πέπονθε θαυμάσιον οἷον· προεπινοεῖ γὰρ ἐν πατρὶ τὴν πατρότητα τῆς προβολῆς, ὡς καὶ ἐν πατρὶ τῷ προτέρῳ καὶ ὑστέρῳ διακρινομένας δήπου, καὶ τάξει τὴν μὲν προηγεῖσθαι, τὴν δ' ἐπιγίνεσθαι πιστεύει ἀκολούθως τῇ τάξει τῶν δυνάμεων καὶ τῶν ἐνεργειῶν κατ' αὐτὸν, ὅπερ ἐξέβαλλεν αὐτὸν εἰς τὸ μηδὲ ἅμα εἶναι πατρότητα καὶ προβολὴν ἀποφαίνεσθαι διὰ τὸ μὴ εὐσεβῶς ἐκεῖνο τιθέναι· οὔ τί γένοιτ' ἂν χεῖρον; ᾧ δὴ σύμφωνα καὶ τὸ Ὅτε παρήγετο ὁ υἱὸς καὶ τὰ τοιαῦτα, εὐσεβέσιν ἀκοαῖς οὐ φορητά. Καὶ γὰρ καὶ ὁ θεῖος ἐν θεολόγοις Γρηγόριος, βιασθεὶς

10. ἣ ἔγραψα: ᾗ ΔΜ 14. κἂν Μ: κᾶν Δ 17. ὅς ἐστιν Μ: ὅς ἐστὶν Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΕΤΗΡΙΣ ΤΟΜΟΣ ΕΑΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗ ΦΙΛΟΣΟΦΙΑ ΕΠΙΜΕΛΕΙΑ ΑΝ. ΚΑΘΗΓΗΤΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Α. ΠΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἀποκρίνασθαι πρὸς τὰς τῶν αἱρετικῶν ἐρωτήσεις, ὡς ἐν τῷ α΄ διέξεισι τῶν περὶ υἱοῦ, πότε γεγένηται ὁ υἱὸς καὶ πότε τὸ Πνεῦμα ἐκπεπόρευται πυνθανομένων, ὑπὲρ τοῦ πότε ἀπεκρίνατο. Εἰ δὲ δεῖ τι καὶ νεανικῶς εἰπεῖν, ἔφη Ὅτε ὁ πατὴρ οὐ γεγένηται καὶ Ὅτε ὁ πατὴρ οὐκ ἐκπεπόρευται, ἀλλὰ γεγένηται ὑπὲρ χρόνον καὶ ὑπὲρ λόγον. Εἶθ', ὥςπερ τὸν λόγον ἀποδιορθούμενος, ὁμολογεῖ βεβιάσθαι. Τὸ γὰρ Ὅτε φησὶ καὶ πρὸ τοῦδε καὶ μετὰ ταῦτα καὶ ἀπ' ἀρχῆς οὐκ ἄχρονα, κἂν ὅτι μάλιστα βιαζώμεθα.

Εἰ οὖν ἐκεῖνος ὁ τοιοῦτος καὶ τηλικοῦτος θεολόγος τῷ Ὅτε χρησάμενος, καὶ ταῦτα μεθ' ἑτέρων, μεθ' ὧν ἐπὶ πλέον ἀναίρεσιν δηλοῖ ἢ θέσιν, οὐδ' οὕτω θαρρεῖ πόρρω τυγχάνειν αἰτίας, ἐν τῇ τοῦ ὑπὲρ χρόνον παραστάσει χρονικὴν ἔμφασιν εἰςαγαγών, ὁ παρὼν οὗτος θεολόγος τίνι θαρρῶν τῷ Ὅτε παρήγετο ὁ υἱὸς καὶ τῷ Ὅτε ὁ πατὴρ παράγει τὸ Πνεῦμα καὶ τῷ Πρότερον ὁ πατὴρ παράγει τὸν υἱὸν τοῦ Πνεύματος ἐχρήσατο, ἃ σαφέστατα τὰς ἀϊδίους καὶ ὑπερχρόνους ἐκείνας προόδους ἐν χρόνῳ γίνεσθαι παριστάνουσιν; Ἢ τίς αὐτὸν ἐξαιρήσεται λόγος τοῦ δεινοῦ τούτου ἀσεβήματος, χρονικὰς τὰς θείας προόδους, τὴν γέννησιν δῆλα δὴ καὶ τὴν ἐκπόρευσιν οἷς λέγει τιθέμενος;

ΑΡΓΥΡΟΠΟΥΛΟΣ 20

Οὐκοῦν καὶ ὁ υἱὸς, ὅθ' ὁ πατὴρ ὡς προβολεὺς παράγει τὸ Πνεῦμα τὸ ἅγιον, τὴν αὐτὴν ἔχων παρὰ [τοῦ] πατρὸς διὰ γεννήσεως δύναμιν, τὴν προβλητικὴν δῆλα δὴ, συνεπινοηθήσεται τῷ πατρὶ πρὸς τὴν τοῦ Πνεύματος πρόοδον, μίαν οὖσαν ἐκ πατρὸς δι' υἱοῦ δῆλα δὴ μιᾷ δυνάμει τε καὶ ἀρχῇ, τῇ ἐν πατρὶ καὶ υἱῷ.

6. βεβιάσθαι ἔγραψα: βεβιᾶσθαι ΔΜ 8. ἀπ' ἀρχῆς ἔγραψα: ἀπαρχῆς ΔΜ βιαζώμεθα Δ: βιαζόμεθα Μ 22. ἔχων ἔγραψα κατὰ σ. 118, 3: σχέσιν ΔΜ τοῦ προςέθηκα κατὰ σ. 118, 3: λείπει ΔΜ 24. πρὸς Μ: πρὸ Δ

ΕΡΓΑΣΤΗΡΙΟ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΑΠΟΘΗΤΗΡΙΑ ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Φ. ΠΕΤΣΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΑΓΑΛΛΙΑΝΟΣ

Καὶ τίς ἀνάγκη τοῦτο ποιεῖν; Οὔτε γὰρ χρόνος ἐκεῖ μεσιτεύει, οὔτε ἥν φησι προβλητικὴν δύναμιν κοινοποιεῖσθαι τῷ υἱῷ δυνατόν ἐστι, τῆς ἰδιότητος οὖσαν τοῦ πατρὸς, ἤδη διὰ τῶν ἁγίων ἀπο-
5 δέδεικται. Ὅθεν καὶ τὸ Δι' υἱοῦ διαπέπτωκεν αὐτῷ. Οὐ γὰρ δύναται δηλοῦν τὴν ἐν πατρὶ καὶ υἱῷ μίαν ἀρχὴν αἰτίαν τῆς προόδου τοῦ Πνεύματος.

Πῶς γὰρ ἐπειδὴ οὔτε συναίτιος ὁ υἱὸς εὑρίσκεται καὶ συμπροβολεὺς ἢ προβολεύς τε καὶ αἴτιος, οὔτ' ἀνάγκη τις ἀνωτέρα συν-
10 αλοιφῆς ἢ δυαρχίας καὶ τῶν ἄλλων δεινῶν τῶν συνεζευγμένων τῷ δόγματι; Ὥστε ἄλλο τι βούλεται τὸ Δι' υἱοῦ, οὐ τὴν αἰτίαν δηλοῦν. Τί ἔτι;

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Μιᾷ δῆλα δὴ δυνάμει τε καὶ ἀρχῇ, τῇ ἐν πατρὶ καὶ υἱῷ, ἐν μὲν
15 ἐκείνῳ πηγαίως οὔσῃ καὶ ἀνάρχως καὶ μὴ παρ' ἄλλου, ἐν δὲ τῷ υἱῷ διδομένῃ διὰ γεννήσεως ἐκ πατρὸς, ὡς ἐξ ἀρχῆς ἀνάρχου καὶ πηγῆς καὶ αἰτίας, ἐξ ἧς ἑκάτερα πρόεισιν, υἱός τε καὶ Πνεῦμα ἅγιον.

ΑΓΑΛΛΙΑΝΟΣ

Πάντα μὲν οὖν τὰ κοινὰ πατρὶ καὶ υἱῷ κοινὰ καὶ τῷ Πνεύ-
20 ματι. Καὶ κοινὸν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ Πνεύματι τὸ μὴ γεγονέναι καὶ ἡ θεότης, υἱῷ δὲ καὶ ἁγίῳ Πνεύματι τὸ ἐκ τοῦ πατρὸς εἶναι· ἦν δ' ἂν κοινὸν τῷ υἱῷ τὸ προβάλλειν, εἰ ἦν καὶ τῷ Πνεύματι. Οὐκ ἔστι δὲ, ἀλλ' ἴδιον τῷ πατρί· τὰ δὲ ἴδια ἀκοινώνητα.

2. τίς M: τὶς Δ ποιεῖν ἔγραψα: ποιεῖ ΔM 3. ἥν φησι M: ἣν φησὶ Δ 3-4. δυνατόν ἐστι M: δυνατὸν ἐστὶ Δ 9 τις M: τὶς Δ 12. Τί M: τὶ Δ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ὥςτε οὐδὲν αὐτῷ λυσιτελεῖ ὁ διορισμὸς οὗτος τῶν κοινῶν πλὴν κόμπου μόνον πρὸς ἐξαπάτην τῶν ἁπλουστέρων.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ὥςτε τὸ Πνεῦμα τὸ ἅγιον εἰκότως ἐκ πατρὸς ἐκπορεύεσθαι λέγεται δι' υἱοῦ κατὰ τὴν συνεπτυγμένην θεολογίαν. 5

ΑΓΑΛΛΙΑΝΟΣ

Καὶ πῶς συνεπτυγμένη θεολογία τὸ Δι' υἱοῦ; Ἀνεπτύχθη γὰρ ὑπὸ Λατίνων τῷ Ἐξ υἱοῦ, εἴπερ οἱ Λατῖνοι, εὐθυνόμενοι ἐν τῷ Καὶ ἐξ υἱοῦ, ἐπὶ τὸ Δι' υἱοῦ καταφεύγουσι, καὶ τοῦτο ἀπολογίαν ποιοῦνται τοῦ δόγματος. 10

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ποίαν μέν τινα καὶ ταύτην καὶ πῶς ἔχουσαν οὐ χρεία λέγειν ἐν τῷ παρόντι, καὶ ὅπως παρεξηγοῦνται τῷ Δι' υἱοῦ. Ἀλλ' ἀρκεῖ τοσοῦτον ἐνταῦθα λέγειν, ὅτι ὡς ἐπὶ σαφέστερον τὸ Δι' υἱοῦ καὶ γνωριμώτερον καταφεύγουσι καὶ μᾶλλον ἀνεπτυγμένον. 15

ΑΓΑΛΛΙΑΝΟΣ

Ἢ ἔξεστί σοι λέγειν ἃ βούλει καὶ τὰ ἀνεπτυγμένα συνεπτυγμένα καλεῖν, ἐπειδὰν βουληθῇς, καὶ τοὐναντίον αὖ; Ἀλλ' ἀρκεῖ ἡμῖν ὁ Κύριλλος δεῖξαι ποῦ τὸ συνεπτυγμένον μᾶλλόν ἐστιν ἔνθα λέγει Τὸ οὐσιωδῶς ἐξ ἀμφοῖν ἢ ἐκ πατρὸς δι' υἱοῦ προχεόμενον 20

7. τὸ ἔγραψα: τῷ ΔΜ 14 ἐπὶ σαφέστερον ἔγραψα: ἐπισαφέστερον ΔΜ 15. γνωριμώτερον ἔγραψα: γνωριμότερον ΔΜ 18. βουληθῇς Μ: βουληθεὶς Δ 19. μᾶλλόν ἐστιν Μ: μᾶλλον ἔστιν Δ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Πνεῦμα. Ἢ ὁ Κύριλλος ἠγνόησεν, ἀντὶ τοῦ ἀναπτύσσειν μᾶλλον συμπτύσσων, ἢ ἄλλως δεῖ ἔχειν τὸ Δι' υἱοῦ πρὸς τὸ Ἐξ ἀμφοῖν ἢ τὸ καὶ Ἐξ υἱοῦ ἐν τῷ λόγῳ περὶ τῆς ἀϊδίου προόδου τοῦ Πνεύματος καθ' ὑμᾶς, καὶ ἄλλως ἔν τε περὶ τῆς τοῦ Πνεύματος μεθέξεως ἐκ πατρὸς δι' υἱοῦ γενομένης, περὶ ἧς καὶ ἐκεῖ Κύριλλος πραγματεύεται, τό γε εἰς τὸν τοῦ σαφεστέρου καὶ ἀσαφεστέρου λόγον. Ἀλλὰ τοῦτο μὲν εἰς τοσοῦτον.

Πῶς δὲ καὶ οὐ λέγεταί ποτε δι' υἱοῦ ἐκπορεύεσθαι ἁπλῶς, ὥςπερ καὶ δι' υἱοῦ γεγεννῆσθαι τὰ ὄντα λέγεται; Ἢ δῆλον ὅτι ἐκεῖ μὲν εὐσεβές ἐστι λέγειν μίαν εἶναι δύναμιν δημιουργικὴν ἐν πατρὶ καὶ υἱῷ καὶ χώραν ἔχει ὁ διορισμὸς ἐκεῖνος. Καὶ κοινοποιεῖται μὲν ἡ δύναμις τῷ υἱῷ, κοινοποιεῖται δὲ δι' αὐτὸ καὶ τῷ Πνεύματι, καὶ διὰ τοῦτο ἐκ πατρὸς δημιουργηθῆναι λέγεται ἡ κτίσις καὶ ἐξ υἱοῦ καὶ ἐκ πατρὸς δι' υἱοῦ ἐν Πνεύματι καὶ ἕκαστον τῶν τριῶν προςώπων δημιουργὸς καὶ ἅμα εἷς πάντων δημιουργὸς, καὶ οὐδὲ ἐκ μόνου τοῦ πατρὸς ἔχει χώραν λέγειν εἶναι τὴν κτίσιν διὰ τὸ τὴν δύναμιν τοῦ δημιουργεῖν οὐχ ᾗ πατρὶ προςήκειν τῷ πατρὶ, ἀλλ' ᾗ θεῷ, εἷς δὲ θεὸς ἡ Τριάς· ἐνταῦθα δὲ οὐχ οἷόν τε λέγεσθαι μίαν δύναμιν προβλητικὴν ἐν πατρὶ καὶ υἱῷ, μὴ κοινὴν οὖσαν καὶ τῷ Πνεύματι· εἴη γὰρ ἂν αὐτὸ ἑτέρας οὐσίας, λειπόμενον τῆς κοινῆς δυνάμεως. Καὶ διὰ τοῦτο οὐδὲν δεινὸν ἐκ μόνου τοῦ πατρὸς λέγειν τὸ Πνεῦμα τὸ ἅγιον, ἐπειδὴ τὸ προβάλλειν ὥςπερ καὶ τὸ γεννᾶν τῷ πατρὶ μόνῳ προςήκει ᾗ ἀγεννήτῳ καὶ θεογόνῳ καὶ ἀρχῇ καὶ εἴ τι τοιοῦτον· οὐ γὰρ εἷς αἴτιος, ἡ Τριὰς ἔνδον, ἐν τῇ θεότητι δῆλα δὴ ὡς εἷς δημιουργὸς τῆς κτίσεως. Διὰ τοῦτο εἷς αἴτιος, ὁ πατὴρ μόνος· οὐ γὰρ μετὰ συζυγίας κατὰ τὸν Θεολόγον Γρηγόριον. Ἀλλ' οὗτος τὴν ἐναντίαν δήπου τοῖς ἁγίοις φερόμενος

9. Ἢ ἔγραψα: ἢ ΔΜ ὅτι Μ: ὅτι Δ 10. εὐσεβές ἐστι Μ: εὐσεβὲς ἐστὶ Δ 15. πάντων ἔγραψα: πάντα ΔΜ 23. γεννᾶν Μ: γεννᾷν Δ ᾗ ἔγραψα: ἢ ΔΜ

ΕΛΛΗΝΙΚΟ ΙΔΡΥΜΑ ΠΟΛΙΤΙΣΜΟΥ ΙΔΡΥΜΑ ΜΙΧΑΗΛ ΤΑΒΑΚΗ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΑΝΩΤΑΤΗ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ΑΚΑΔΗΜΙΑ ΙΩΑΝΝΙΝΩΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΑΝΑΣΤΑΣΙΟΣ Γ. ΚΑΡΑΜΑΝΟΛΗΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Οὐδὲ γὰρ ἐκ μόνου πατρὸς, ἵνα μὴ νομίζοιτο ὁ υἱὸς αὐτῷ ἀνόμοιος, μὴ τὰς αὐτὰς ἔχων τελειότητας τῷ πατρὶ καὶ διὰ τοῦτο μηδ' ὁμοούσιος, ὅπερ οὐδαμῶς ἀπέοικε τῇ τοῦ Ἀρείου αἱρέσει, τὸν υἱὸν ἀλλοτριούσῃ τῆς θείας φύσεως τοῦ πατρός. 5

ΑΓΑΛΛΙΑΝΟΣ

Ἀλλ' ὦ τάν, οὐ τὸν υἱὸν ἠλλοτρίου μόνον τῆς θείας ὁ Ἄρειος φύσεως, ἀλλὰ καὶ τὸ ἅγιον Πνεῦμα. Μακεδόνιος δὲ οὐδὲν ἧττον αἱρετικὸς ἢ ὁ Ἄρειος, περὶ τοῦ Πνεύματος μόνου τοῦτο νοσῶν. Εἴπερ οὖν ἡμεῖς Ἀρειανοὶ καὶ συγχωροῦντες τῷ υἱῷ τὰς τοῦ πα- 10 τρὸς τελειότητας, ἃς ἴσως καὶ φυσικὰς εἶναι πιστεύεις, σοὶ πάντως οὐχ ὑπολείπεται λόγος ᾧ διαδράσεις τὴν Μακεδονίου μανίαν. Ἀλλ' ἡμῖν, εὐλόγους ἀποδιδοῦσι τοὺς περὶ τούτου λόγους κἀκ τῶν ἁγίων κυρουμένους, ἔνεστι ῥᾳδίως τὸ ἔγκλημα διαλύσασθαι. Σὺ δὲ, τοιαύτῃ θέσει ἐνισχημένος καὶ οὕτως ἔχειν οἰόμενος, ὡς 15 ὑποτίθης τοὺς λόγους, οὐχ οἷός τε ἔσῃ ποτὲ τὸν μακεδονισμὸν ἐκφυγεῖν.

Αὐτὸς γὰρ ἀπεφήνατο πρότερον, ὡς, ὧν αἱ δυνάμεις διάφοροι, καὶ αὐτὰ ἂν εἶεν ταῖς οὐσίαις διάφορα. Εἰ οὖν ὄντως οἴει δεῖν προσεῖναι τῷ υἱῷ τὰς δυνάμεις καὶ τελειότητας τοῦ πατρὸς, πᾶσα 20 ἀνάγκη προσεῖναι καὶ τῷ Πνεύματι. Εἶτα ἔσται ὁ υἱὸς γεννητικὸς καὶ προβλητικὸς, ὁμοίως δὲ καὶ τὸ Πνεῦμα γεννητικὸν καὶ προβλητικὸν, κἂν εἰ μὴ εἰκῇ γεννῶν ἑκάτερον καὶ προβάλλον.

Εἰ δὲ ὁ υἱὸς ἐνεργήσει κατὰ τὴν ἑκατέραν, τὸ δὲ Πνεῦμα κατ' οὐδετέραν, ὁ δὲ πατὴρ κατ' ἄμφω, ὧν δὲ αἱ ἐνέργειαι διά- 25 φοροι καὶ αὐτὰ ἂν εἴη ταῖς οὐσίαις διάφορα, καὶ πολλῷ μᾶλλον

2-3. ἀνόμοιος M: ἀνόμιος Δ 4. μηδ' M: μὴδ' Δ 7. ἠλλοτρίου M: ἠλοτρίου Δ 16. ἔσῃ M: ἔπη Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΝΕΟΕΛΛΗΝΙΚΟΥ ΠΟΛΙΤΙΣΜΟΥ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΑΠΑΔΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ὡς καὶ τῶν δυνάμεων, ἕνεκά γε τῶν ἐνεργειῶν οὐσῶν, σκόπει, ποῖ τὸ πρᾶγμα ἥξει. Ὥςτε οὐ μόνον Μακεδόνιος, ἀλλὰ καὶ Ἄρειος αὐτὸς ἀναπέφηνας, καὶ οὐδεὶς ἐξαιρήσεταί σε λόγος τοῦ δεινοῦ τούτου.

5 Ἡμεῖς δὲ τό τε γεννᾶν καὶ τὸ προβάλλειν τελειότητας ὑποστατικάς φαμεν τοῦ πατρικοῦ προςώπου, ὡς τῇ οὐσίᾳ μὴ συνούσας τοῦ πατρὸς, ἀλλ' ᾗ ἐστιν ἐν πατρὶ αὕτη, ἰδιότητα αὐτοῦ πρὸς τῶν θεολόγων ἀκούοντες τὴν ἀρχὴν καὶ τὸ θεογόνον καὶ τὴν καρπογονίαν ἐν οἷς γεννᾶν καὶ προβάλλειν ἐστί· καὶ διὰ τοῦτο 10 ἀνάγκη μηδέτερον τούτων ἢ γοῦν τὸ γεννᾶν ἢ τὸ προβάλλειν μηδετέρῳ κοινοποιεῖσθαι τῶν ἐξ αὐτοῦ προςώπων, ἀλλ' αὐτῷ μόνῳ προςεῖναι· τὰ γὰρ θεοπρεπῆ πάντα τῇ ὅλῃ θεαρχίᾳ πρόςεστιν. Οἷς σύμφωνος Γρηγόριος, κοινὸν λέγων πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ Πνεύματι τὸ μὴ γεγονέναι καὶ ἡ θεότης. Καὶ ὁ μέγας 15 Ἀθανάσιος ἐν τῷ κατὰ Ἀρειανῶν πρώτῳ Φέρε τοίνυν ἴδωμεν, φησὶ, τὰ τοῦ πατρὸς, ἵνα καὶ τὴν εἰκόνα ἐπιγνῶμεν εἰ αὐτοῦ ἐστιν. Ἀΐδιός ἐστιν ὁ πατὴρ, ἀθάνατος, βασιλεὺς, δυνατὸς, φῶς, παντοκράτωρ, θεὸς, Κύριος, κτίστης καὶ ποιητής. Ταῦτα δεῖ εἶναι ἐν τῇ εἰκόνι, ἵνα ἀληθῶς ὁ τὸν υἱὸν ἑωρακὼς ἴδῃ τὸν πατέρα.

20 Εἰ οὖν ᾔδεισαν οἱ ἅγιοι ἀκινδύνως ἔχειν τὸ αἴτιον ἢ συναίτιον τῷ πατρὶ πιστεύειν τὸν υἱὸν καὶ ἐκ τούτου περιγίνεσθαι αὐτῷ τὴν ἰσότητα καὶ ὁμοουσιότητα πρὸς τὸν πατέρα, ἔν τισιν ἄλλοις ἀγῶσι τούτῳ ἂν ἐχρήσαντο ἢ πόθεν ἄλλοθεν ἐν τοῖς κατὰ Νεστορίου λόγοις ἐπεχείρουν ἂν πρότερόν τε καὶ γενναιότερον ἢ ἐκ τούτου; 25 Ἀλλ' οὐδαμοῦ τῶν τοιούτων λόγων πολλῶν ὄντων τοιοῦτόν τι εὑρίσκεται, ὃ οὐχ ὡς ἀνίσχυρον παρώφθη, οὐδ' ὡς ἐν παρέργῳ

5 (καὶ κατωτέρω). γεννᾶν Δ: γεννᾷν Μ 5 6. ὑποστατικάς φαμεν Μ: ὑποστατικὰς φαμὲν Δ 6-7. συνούσας Μ: συνοῦσας Δ 7. ἐστιν Μ: ἐστὶν Δ 11. μηδετέρῳ ἔγραψα: μηδ' ἑτέρῳ Μ: μὴδ' ἑτέρῳ Δ 17. ἐστιν. Ἀΐδιός ἐστιν Μ: ἐστὶν. ἀΐδιος ἐστὶν Δ 20. ᾔδεισαν Μ: εἴδησαν Δ 24. γενναιότερον Μ: γεναιότερον Δ 25. τοιοῦτόν τι Μ: τοιοῦτον τὶ Δ

ΕΥΓΕΝΙΟΣ ΙΩΑΝΝΗΣ ΙΕΡΑΡΧΗΣ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΠΙΤΡΟΠΟΣ ΤΑΣΟΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΚΑΙ ΑΘΗΝΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΔΙΕΥΘΥΝΤΗΣ ΤΗΣ ΕΠΙΤΡΟΠΗΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τῆς χρείας ὄν. Εἰ γὰρ ἦν ἀληθὲς, πάντων ἂν ἦν ἰσχυρότερόν τε καὶ προὐργιαίτερον.

Ἄλλα δὲ μυρία τις εὑρήσει ἐν ταῖς τῶν ἁγίων γραφαῖς, ἃ τὸ ὁμοούσιον τῇ ὑπερουσίῳ Τριάδι κατασκευάζουσιν ἀπὸ τῶν θεοπρεπῶν ἀξιωμάτων, κοινῶν ὄντων, οὐδαμοῦ δὲ ἀπὸ τῶν ὑποστατικῶν τελειοτήτων καὶ ἰδιοτήτων· οὐ γὰρ πεφύκασι κοινοποιεῖσθαι. Μᾶλλον μὲν οὖν αἱρέσεων καὶ βλασφημίας ἔδοξεν ἀρχὴ τοῦτο τοῖς ἁγίοις, ὅθεν καὶ πάντες ἀπεπήδησαν τούτου ὡς ἀπὸ πυρός.

Εἰ τοίνυν μόνη πηγὴ τῆς ὑπερουσίου θεότητός ἐστιν ὁ πατὴρ καὶ ἰδιότης αὐτοῦ ἐστι τὸ εἶναι ἀρχὴ καὶ αἰτία τῆς ἐν υἱῷ καὶ Πνεύματι θεωρουμένης θεότητος, καὶ μόνος αἴτιος κηρύττεται, ἐξ αὐτοῦ δέ ἐστι τὸ Πνεῦμα καὶ οὐχ ἑτέρωθεν· ἐκ τοῦ υἱοῦ γὰρ τὸ Πνεῦμα οὐ λέγομεν· δέον οὐδέν ἐστιν εὔλογον μὴ νομισθείη τις Ἀρειανὸς, ἐκ τοῦ πατρὸς μόνου λέγων ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον.

Πῶς γὰρ εἰ καὶ λίαν εὐσεβὲς καὶ τῇ τῶν διδασκάλων θεολογίᾳ σύμφωνον τὸ λεγόμενον; Αὐτὸς δὲ ἄρα ὁ λίαν δεδιὼς καὶ ἐκκλίνων τὸ τῆς οὐσίας ἀνόμοιον καὶ λίαν τῷ τοιούτῳ κρημνῷ δι' ὧν ἐπινενόηκας περιπέπτωκας.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Διὰ τοῦτο οἱ τῆς ἐκκλησίας διδάσκαλοι καὶ ἡ καθολικὴ ζ' σύνοδος ἐκ τοῦ πατρὸς ἀπεφήναντο δι' υἱοῦ τὸ ἅγιον ἐκπορεύεσθαι Πνεῦμα, οὐχ ὡς αἰτίου τοῦ υἱοῦ ὄντος, οὐδ' ὡς ἀρχῆς ἁπλῶς καὶ προβολέως τῆς τοῦ Πνεύματος ὑποστάσεως, ἀλλ' ὡς ξυναιτίου καὶ ἀρχῆς καὶ ἐξ ἀρχῆς.

3. τις **M:** τὶς **Δ** **9.** θεότητός ἐστιν **M:** θεότητος ἐστὶν **Δ** **10.** ἐστι **M:** ἐστὶ **Δ** **12.** δέ ἐστι **M:** δὲ ἐστὶ **Δ** **13.** λέγομεν **M:** λέγωμεν **Δ** οὐδέν ἐστιν **M:** οὐδὲν ἐστὶν **Δ** τις **M:** τὶς **Δ** **22.** ἀπεφήναντο **ἔγραψα κατὰ σ. 119, 8:** ἀπεφήνατο **ΔM**

ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΕΠΕΤΗΡΙΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΑΠΑΤΣΙΝΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΑΓΑΛΛΙΑΝΟΣ

Καὶ ταῦτα ἐπὶ συκοφαντίᾳ τῶν διδασκάλων εἴρηται καὶ τῆς ζ' συνόδου. Ἐπεὶ γὰρ οὔτ' ἀρχὴν οὔτε συναίτιον τὸν υἱὸν τοῦ ἁγίου Πνεύματος ἐφρόνησαν ἢ εἰπέ τις τῶν ἁγίων, ὡς ἔκ γε τῶν εἰρημένων ἀποδέδεικται, πῶς οἷόν τ' ἂν ἦν ἐν τῷ Δι' υἱοῦ συναίτιον τῷ πατρὶ τὸν υἱὸν νοεῖν τοῦ ἁγίου Πνεύματος; Ἀλλ' ὅτι μέν τινες τῶν διδασκάλων περὶ τῆς ἀϊδίου ὑπάρξεως τοῦ Πνεύματος θεολογοῦντες τῷ Δι' υἱοῦ ἐχρήσαντο καὶ τίς ἦν ὁ εὐσεβὴς τούτων νοῦς, ἄλλοι πρὸ ἡμῶν ἐξηγήσαντο. Χαρίεν δ' ἂν ἦν εἰ Λατῖνοι αἴτιον ἁπλῶς καὶ ἀρχὴν ἔλεγον τὸν υἱόν, ἵνα καὶ χεῖρον πάντων αἱρετικῶν ἐδυςσέβουν. Τοῦτο γὰρ οὐδὲ πλάσις ἐστίν, ἀλλὰ συναίτιον καὶ ἀρχὴν ἐξ ἀρχῆς φρονοῦντες τὸν υἱὸν ἐλέγχονται κακῶς καὶ τοῦτο φρονοῦντες. Ἡ γὰρ τοῦ Γρηγορίου ῥῆσις, Ἡ ἐκ τῆς ἀρχῆς ἀρχή, οὐδὲν αὐτοῖς βοηθεῖ, αὐτοῦ τούτου ἐξηγουμένου καὶ λέγοντος Ἀρχὴν δὲ τῶν ὅλων, ὃ καὶ κυροῦται ἑτέρᾳ τούτου ῥήσει, τῇ Πάντα ὅσα ἔχει ὁ πατὴρ τοῦ υἱοῦ πλὴν τῆς αἰτίας. Ἀρχὴν δὲ ἐξ ἀρχῆς τὸν υἱὸν τοῦ Πνεύματος οὔτ' αὐτὸς οὔτ' ἄλλος τις τῶν θεολόγων εἴρηκεν.

Εἰ μὲν γὰρ ὡμολογεῖτο ἀρχὴ τοῦ Πνεύματος ὁ υἱός, ἦν ἂν καὶ ἀρχὴ ἐξ ἀρχῆς καὶ συναίτιος ἐπεὶ δὲ οὔτε ἀρχὴ οὔτε αἴτιος οὔτε ἄλλο τι τῶν τοιούτων λέγεται· πάντα γὰρ τὰ τοιαῦτα τῷ πατρὶ μόνῳ προςαρμοστέον, ὁ δὲ υἱὸς μόνος υἱός ἐστι καὶ μόνος καὶ ὅλον υἱός, οὔμενουν οὐδὲ συναίτιος οὐδὲ ἀρχὴ ἐξ ἀρχῆς ἔνδον ἐν τῇ θεότητι. Μόνος γὰρ αἴτιος ὁ πατήρ, ἀρχὴ δὲ τῆς κτίσεως ὁ υἱὸς κατὰ τὸν Θεολόγον Γρηγόριον.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Οὐδ' ὡς μὴ οἵου τε ὄντος τοῦ πατρὸς μόνου μόνως παράγειν

2. συκοφαντίᾳ M: συκοφαντείᾳ Δ 4. εἰπέ M: εἶπε Δ 18. τις M: τὶς Δ 21. τι M: τὶ Δ 22. υἱός ἐστι M: υἱὸς ἐστὶ Δ 27. τοῦ πατρὸς μόνου ἔγραψα κατὰ σ. 119, 11: μόνον τοῦ πατρὸς ΔM

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὸ Πνεῦμα τὸ ἅγιον· ἢ γὰρ ἂν οὐδὲ τὸν υἱὸν ἄνευ τινὸς ἑτέρου προσώπου γεννῆσαι μόνος ὁ πατὴρ ἠδύνατο οἷς τῆς αὐτῆς ἐστι τελειότητος τῶν παραγομένων ἑκάτερον καὶ δυνάμεως. Πατὴρ γὰρ αὐτάρκως γεννᾷ τὸν υἱὸν καὶ τὸ Πνεῦμα προβάλλει τὸ ἅγιον.

ΑΓΑΛΛΙΑΝΟΣ 5

Ἀπήλλαξας ἡμᾶς πραγμάτων ταῦτα εἰπὼν, ἄνθρωπε· εἰ γὰρ αὐτάρκως ὁ πατὴρ γεννᾷ καὶ προβάλλει, οὐκοῦν παρέλκει τὸ καὶ τὸν υἱὸν λέγειν προβάλλειν. Περιττὸν δὲ ἐν τοῖς θείοις οὐδὲν, ὅπου γε οὐδὲ ἐν τοῖς φυσικοῖς εἰκῇ τι τιθέναι δεῖ. Εἰ δὲ ἀπὸ τοῦ τῆς δημιουργίας παραδείγματος τὸν λόγον ἀποδώσεις, λέγων, ὅτι ὁ 10 πατὴρ αὐτάρκως δημιουργεῖ, λέγεται δὲ ὅμως καὶ ἐφ' ἑκατέρῳ τῶν λοιπῶν προσώπων τὸ δημιουργεῖν, ἀλλὰ ἀκούσεις Ὁ πατὴρ, καθό ἐστι θεὸς, ἔχει ἐν ἑαυτῷ καὶ τὸν υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον καὶ ὥςπερ μόνος εἷς καὶ τέλειός ἐστι θεὸς, οὕτω καὶ μετὰ τοῦ υἱοῦ καὶ τοῦ Πνεύματος εἷς καὶ τέλειός ἐστι θεός. Ταὐτὸ δὲ 15 τοῦτο πιστεύεται ἀπαραλλάκτως καὶ ἐφ' ἑκατέρου τῶν λοιπῶν. Ταῖς γοῦν ἰδιότησι διακρίνονται, τῇ δὲ θεότητι ἕν εἰσιν.

Ἕκαστον οὖν τῶν τριῶν προσώπων ᾗ θεός ἐστι δημιουργὸς ἡνωμένως καὶ ἀχωρίστως τῶν ἄλλων καὶ διὰ τοῦτο αὐτάρκως, διότι ὅλη ἡ θεότης ἐστὶν ἡ δημιουργοῦσα, ἡ τελείως ἐστὶν ἐν ἑκά- 20 στῳ. Προβάλλει δὲ ὁ πατὴρ, οὐχ ᾗ θεὸς, οὐ γὰρ ὅλη ἡ Τριὰς, ἀλλ' ᾗ πρόςωπόν ἐστιν ἀρχικόν τε καὶ θεογόνον. Εἰ γοῦν μὴ αὐτὸς μόνος προβάλλει, ἀλλὰ μετά τινος ἑτέρου προςώπου, οὐκ αὐτάρκως μόνος ἦ, εἰ αὐτάρκως, παρέλκει τὸ λοιπόν· καὶ δῆλον ὅτι μόνος αὐτάρκως γεννᾷ τὸν υἱὸν καὶ κατὰ σέ. 25

1. ᾗ ἔγραψα κατὰ σ. 119, 12: ἢ ΜΔ 2 ἐστι Μ: ἐστὶ Δ
9. τι Μ: τὶ Δ 12. ἀκούσεις ἔγραψα: ἀκούσῃς ΔΜ 13. καθό ἐστι Μ: καθὸ ἐστὶ Δ 14 (καὶ 15). τέλειός ἐστι Μ: τέλειος ἐστὶ Δ
17. ἕν εἰσιν Μ: ἓν εἰσὶν Δ 18. θεός ἐστι Μ: θεὸς ἐστὶ Δ
22. πρόςωπόν ἐστιν Μ: πρόςωπον ἐστὶν Δ

ΕΠΙΣΤΗΜΟΝΙΚΟ ΙΔΡΥΜΑ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΤΟΧΗ ΤΗΣ ΑΝΩΤΑΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Τίς γοῦν ἡ ἀποκλήρωσις ὅτι τὸ Πνεῦμα οὐ μόνος προβάλλει;

Εἰ δὲ τὰς ἄλλας ὑποθέσεις λέγεις, ἤγουν τὰς προηγήσεις καὶ προεπινοίας, ἕωλοι ἐκεῖναι ἀνάπλασμά τε καινὸν καὶ αἱρέσεων ἀρχαὶ ἀπεδείχθησαν. Μᾶλλον μὲν οὖν ἐγώ φημι, ὡς εἴ γ' ἐγχωρεῖ καὶ ὡς ἐγχωρεῖ προεπινοίας ἐν τοῖς τοιούτοις εἶναι· καὶ, ὥςπερ ὅταν εἴπω γεννήτορα, προεπινοῶ τὸν γεννῶντα τοῦ προβολέως, οὕτω καὶ, ὅταν εἴπω προβολέα, προεπινοῶ τὸν προβάλλοντα τοῦ γεννῶντος. Ἅμα δέ ἐστιν ὁ πατὴρ γεννήτωρ καὶ προβολεὺς, ὡς ἤδη φθάσαντες διὰ τῶν ἁγίων ἀπεδείξαμεν.

Ἀλλ' ἐπεὶ ὁ πατὴρ οὐχ ᾗ πατὴρ ἀλλ' ᾗ προβολεὺς προβάλλει, ὥςπερ, ἐπειδὰν λέγηται Ἐκ πατρὸς ἐκπορεύεται, προεπινοῶ τὸν προβολέα, οὐ διὰ τοῦτο δὲ ἀναγκάζομαι καὶ τὸ Πνεῦμα πατέρα τοῦ υἱοῦ τιθέναι, κοινοποιουμένης τῆς γεννητικῆς αὐτῷ δυνάμεως τοῦ πατρὸς, οὕτως οὐδ' ἐνταῦθα πρόςεστιν ἀνάγκη τις διὰ τὴν προεπίνοιαν τοῦ υἱοῦ προβολέα καὶ αὐτὸν νομίζειν ἢ συναίτιον.

Εἰ μὲν γὰρ ὡς αἴτιος προεπινοεῖται, τοῦτο δεικτέον, τῶν ἁγίων λεγόντων, καὶ αὐτίκα ἡ τῆς δυνάμεως κοινωνία ἕψεται, κοινὴν εἶναι τὴν δύναμιν τοῦ προβάλλειν λεγόντων τινῶν ἁγίων, καὶ αὐτίκα φανεῖται καὶ ὁ υἱὸς τοῦ Πνεύματος αἴτιος ἢ συναίτιος τῷ πατρί. Τὸ δὲ προεπινοεῖσθαι οὐκ ἀρκεῖ πρὸς τοῦτο· οὐ γὰρ, εἰ καὶ ὁ πατὴρ προεπινοεῖται τοῦ υἱοῦ καὶ τοῦ Πνεύματος τῇ τῆς ἀξίας τάξει, ἀνάγκη καὶ τὸν υἱὸν οὕτω προεπινοεῖσθαι [τοῦ] Πνεύματος, ἕως ἂν μήτε τις τῶν θεολόγων τοῦτο λέγῃ σαφῶς καὶ λόγος τῆς τοιαύτης προεπινοίας ἀποδιδῶται παρ' ἡμῶν κεχωρισμένος τῆς κατ' αἰτίαν ἀναφορᾶς. Ἕως γὰρ ἂν ἡμεῖς μὲν μὴ ἀδυνατῶμεν λόγον διδόναι, ὑμεῖς δὲ οὐκ ἀναγκαίως δεικνύητε, νικῶμεν. Εἰ γὰρ ἐκεῖνο μὲν οὐκ ἀνάγκη, τοῦτο δὲ ἐγχωρεῖ, αἱ δὲ ὑποθέσεις

1. τίς M: τὶς Δ ἀποκλήρωσις Δ: ἀποπλήρωσις M 3. ἕωλοι M: ἔωλοι Δ 7. τὸν M: τῶν Δ 10. προβάλλει ἔγραψα: προβάλλων ΔM 11. ἐπειδὰν M: ἐπειδ' ἂν Δ 14. τις M: τὶς Δ 21. παρ' M: πάρ' Δ 22. τοῦ προςέθηκα: λείπει ΔM

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Γ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τῆς πίστεως πᾶσαι καὶ αἱ γραφαὶ τῶν ἁγίων καὶ αἱ σύνοδοι τῷ ἡμετέρῳ συναγωνίζονται λόγῳ, τοῦτο δὴ καί ἐστιν ἀληθές.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Διὸ καὶ ἀρχοειδῶς μὲν καὶ προηγουμένως, φαίην δ' ἂν καὶ προκαταρκικῶς καὶ [ἀρχικῶς καὶ] κυρίως ἐκ τοῦ πατρὸς προϊέναι φησὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἐξ υἱοῦ δὲ οὐχ οὕτω, κἂν [καὶ] ἐξ αὐτοῦ τῇ αὐτῇ παράγηται δυνάμει καὶ προβολῇ.

ΑΓΑΛΛΙΑΝΟΣ

Ἰδοὺ καὶ ἕτερον λάκκον ὤρυξε καὶ ἐνέπεσεν εἰς αὐτὸν, τὸ ψαλμικὸν, ἀνακεκαλυμμένῃ κεφαλῇ, τὸ διττὸν τῆς ἀρχῆς παραδούς. Καὶ πρῶτον μὲν, ὅπως ἐνίων ἀκοὰς ὑποφθείρῃ, τάς τινων ἁγίων φωνὰς συμφορήσας προέταξεν, κυρίως καὶ ἀρχικῶς καὶ προκαταρκτικῶς καὶ ἀρχοειδῶς εἰπὼν ἐκ τοῦ πατρὸς προϊέναι τὸ Πνεῦμα τὸ ἅγιον, εἶτ' ἐπήγαγεν Ἐξ υἱοῦ δὲ οὐχ οὕτως.

Ἀλλ' οἱ ταῦτα εἰπόντες, ὦ βέλτιστε, οὔτε αἴτιον, οὔτε ἀρχὴν, οὔτε συναίτιον, οὔτε προβολέα τὸν υἱὸν τοῦ ἁγίου Πνεύματος ἐδογμάτισαν. Ὥςτε ταῦτα τὰ ἐπιρρήματα, διαφόρως τισὶ τῶν ἁγίων εἰρημένα, ἀνθ' ἑνός ἐστι, τοῦ Μόνως. Καὶ ταὐτὸν ἂν δύναιτο τὸ Κυρίως ἐκ τοῦ πατρὸς ἐκπορεύεται τῷ Μόνως ἐκ τοῦ πατρὸς ἔχειν τὴν ὕπαρξιν τὸ Πνεῦμα τὸ ἅγιον. Διὰ γοῦν τῶν τοιούτων ἐπιρρημάτων ἀποκληροῦσι τὸν υἱὸν τῆς τοιαύτης αἰτίας. μόνον τὴν πρὸς τὴν κτίσιν πρόοδον τοῦ ἁγίου Πνεύματος ἐξ αὐτοῦ δοξάζοντες, ἣν χρονικὴν ἀποστολὴν εἴποιτε ἂν ὑμεῖς μετὰ τοῦ Θωμᾶ. Σὺ δὲ τὴν ξυνεπτυγμένην ἐκείνων θεολογίαν κατὰ τὸ σοὶ δοκοῦν

2. καί ἐστιν ἔγραψα: καὶ ἐστὶν Δ: καὶ ἔστιν M 5. ἀρχικῶς καὶ σ. 121, 9: λείπουσι ΔM 6. καὶ σ. 121, 11: λείπει ΔM 7. παράγηται σ. 121, 11 καὶ M: παράγεται Δ 11. τάς τινων M: τὰς τινῶν Δ 18. ἑνός ἐστι M: ἑνὸς ἐστὶ Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝΑΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἀνέπτυξας δόγμα κυρῶν κἀκείνοις ἄγνωστον καὶ τοῖς λόγοις τῆς ὀρθοδοξίας ἀντίπαλον. Πῶς γὰρ ἂν καὶ ἐφρόνουν τοῦτο οἱ θειότατοι πατέρες ἐκεῖνοι, μήτ' ἐκ τῆς θείας παραδόσεως τοῦτ' εἰληφότες, μητ' ἀπὸ τῆς ἀποστολικῆς διδασκαλίας, μήτε παρὰ τῆς ἐκ-
5 κλησίας αὐτῆς, τοὐναντίον μὲν οὖν ὅρον εἰληφότες μυρίοις δεσμοῖς καὶ ἐπιτιμίοις κατωχυρωμένον, τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς μὲν ἐκπορεύεσθαι, πατρὶ δὲ καὶ υἱῷ συμπροσκυνεῖσθαι καὶ συνδοξάζεσθαι καὶ φρονεῖν καὶ κηρύττειν;

Λίαν δὲ καὶ τολμηρά μοι δοκεῖ ἡ ἐπαγωγὴ ἣν ἐπήγαγες, Ἐξ
10 υἱοῦ δὲ οὐχ οὕτως εἰπών. Ἐκ τούτου γὰρ τὸ διττὸν τῆς αἰτίας πρόδηλον. Εἰ γὰρ ἄλλως μέν ἐστιν ὁ πατὴρ ἀρχὴ ἡ τοῦ ἁγίου Πνεύματος, ἄλλως δὲ ὁ υἱός, τὸ δ' ἄλλως καὶ ἄλλως διαφορὰν εἰςάγει, σὺ δὲ τοῦθ' οὕτω πιστεύεις, περιπέπτωκας τῇ δυαρχίᾳ δήπου. Πῶς γὰρ ἡ αὐτὴ καὶ μία εἴη ἂν ἀρχή, διακεκριμένων
15 ὄντων τῶν προςώπων, προαγόντων δὲ οὐ καθό εἰσιν ἓν τῇ οὐσίᾳ καὶ διαφόρων ὄντων τῶν τρόπων τῆς προαγωγῆς; Τὸ δὲ τῇ αὐτῇ δυνάμει καὶ προβολῇ ταὐτό μοι δοκεῖ δύνασθαι τῷ φάναι τινὰ δύο τέκτονας συνελθόντας τῇ ἐν σφίσιν αὐτοῖς μιᾷ δυνάμει τῆς αὐτῆς τέχνης μίαν κλίνην συνθεῖναι, ὁ πάσης βλασφημίας οὐ
20 χαλεπὸν συνιέναι τοὺς σώφρονας.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ὅθεν καὶ εἴ που τὸν υἱὸν ἀρχὴν καὶ αἰτίαν φησὶν ἢ ξυγχωρεῖ λέγειν τῆς τοῦ Πνεύματος ὑποστάσεως, καθάπερ ἐν τῷ ὅρῳ τῆς ἱερᾶς καθολικῆς η' συνόδου τῆς ἐν Φλωρεντίᾳ γέγραπται, οὐχ

3. πατέρες Δ: λείπει M 11. μέν ἐστι ἔγραψα: μὲν ἐστὶν Δ: μὲν ἔστιν M 14. διακεκριμένων ἔγραψα: διακεκριμμένων ΔM: 15. καθό εἰσιν M: καθὸ εἰσὶν Δ 17. ταὐτό Δ: ταυτό M φάναι M: φᾶναι Δ 22. καὶ σ. 122, 3 καὶ Δ: δὲ M 23. λέγειν ἔγραψα κατὰ σ. 122, 3: λέγων ΔM

ΕΠΕΤΗΡΙΣ ΤΗΣ ΙΩΑΝΝΙΝΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΕΠΟΜΝΗΜΩΝ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΩΑΝΝΟΥ Α. ΚΑΙΤΣΙΟΥ ΚΑΘΗΓΗΤΟΥ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἁπλῶς ἀρχὴν οὐδ' αἰτίαν βούλεται εἶναι αὐτὸν, ἀλλ' ἀρχὴν ἐξ ἀρχῆς καὶ αἰτίαν ἢ αἴτιον ὡς συναίτιον.

ΑΓΑΛΛΙΑΝΟΣ

Ὡς χάριεν ἂν ἦν τῆς συνόδου ταύτης τοῦτο, εἴ γε δεῖ ταύτην οὕτω καλεῖσθαι, καὶ ὅσα προςέθηκεν οὗτος ἀκούειν, ἀλλὰ μὴ τοὐναντίον ἅπαν, εἰ σὺν τοῖς ἄλλοις καὶ ταύτην τὴν βλασφημίαν ἐξεννηνόχει.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ἁπλῶς ἀρχὴν καὶ αἰτιατὸν υἱὸν δογματίσασα· οὕτω γὰρ ἂν καὶ πᾶσαν αἵρεσιν τῇ δυςσεβείᾳ ὑπερηκόντισεν.

ΑΓΑΛΛΙΑΝΟΣ

Εἰ γὰρ καὶ δύο αἰτίους ποιεῖ, τὸν αἴτιον καὶ συναίτιον, καὶ διὰ μέσης αὖ ὑποστάσεως θείας ὑφίστασθαι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς ἐθέσπισεν, τὸ δι' υἱοῦ προϊέναι οὕτως ἐκλαμβανομένη, καὶ συντάττει τὸ Πνεῦμα τοῖς ὅλοις, ὧν ἐστιν ἀρχὴ ἐξ ἀρχῆς ὁ υἱός. Ἀλλ' ἴσως ταῦτα εἰς ἀτοπίαν ἐκείνων ἐλάττω. Εἰ δέ γε δύο βλασφημίαι προκέοιντο, μείζων τε καὶ ἐλάττων, οὐ διὰ τοῦτο ἡ ἐλάττων αἱρετέα, ὅτι ἡ ἑτέρα σφοδρῶς ἀπείρηται, εἴπερ ὅλως κἂν τῇ ἱερᾷ θεολογίᾳ βαθμοὺς εἶναι δεῖ τῶν τοιούτων. Ἐπεὶ τῇ γε δυνάμει ἐπίσης πάντα τὸ κεφάλαιον ἀπόλλυσι κατὰ τὸν Θεολόγον Γρηγόριον, ἐν τῷ πρώτῳ τῶν Εἰρηνικῶν φάσκοντα Καὶ τὸ περικόψαι τι τῶν τριῶν ἢ ἀποξενῶσαι ἴσον ἡμῖν καὶ τὸ πᾶν ἀνε-

1. οὐδ' σ. 122, 5 καὶ M: οὐ δι' Δ 2. αἰτίαν σ. 122, 6: αἰτίας ΔM 13. ὑφίστασθαι Δ: ὑφίσταται M 19. κἂν M: κἂν Δ θεολογίᾳ M: θεογίᾳ Δ 22. τι M: τὶ Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝΑΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

λεῖν καὶ κατὰ πάσης χωρῆσαι γυμνῇ τῇ κεφαλῇ τῆς θεότητος. Ἀλλὰ καὶ ὁ πολιτικός φησι νόμος Αἱρετικός ἐστι καὶ τοῖς αἱρετικῶν ὑπόκειται νόμοις ὁ μικρὸν γοῦν τι τῆς ὀρθῆς πίστεως παρεκκλίνων.

5 ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ἀντιφάσει γάρ ἂν περιέπιπτον, εἰ οὕτως ἐνόει ταυτί, καὶ ἐξ υἱοῦ τὸ Πνεῦμα κηρύττουσα

ΑΓΑΛΛΙΑΝΟΣ

Καὶ πάνυ μὲν οὖν τῇ αὐτῇ ἀντιφάσει περιπίπτει καὶ νῦν, 10 θεὸν ὁμολογοῦσα τὸ Πνεῦμα καὶ κτίσμα αὖ ποιοῦσα, ὅτι στερεῖ τοῦτο οὐσιώδους καὶ φυσικῆς δυνάμεως καὶ διὰ τοῦτο κοινῆς πατρὶ καὶ υἱῷ, τῆς προβλητικῆς, καὶ ἔτι διαφορὰν ἀρχῶν παραδιδοῦσα, τὸν μὲν πατέρα λέγουσα ἄναρχον ἀρχήν, τὸν δὲ υἱὸν ἀρχὴν ἐξ ἀρχῆς, ἥτις διαφορὰ τὴν δυαρχίαν εἰσάγει προδήλως.

15 ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Μίαν αὐτή φησιν ἀρχὴν πρεσβεύειν τοῦ ἁγίου Πνεύματος.

ΑΓΑΛΛΙΑΝΟΣ

Ἀλλ' ὁ Θεολόγος Γρηγόριος οὐχ οὕτω παραδίδωσιν, οὐδὲ ἄναρχον ἀρχήν φησι τὸν πατέρα, ἵνα χώραν ἔχῃ ἡ καινὴ αὕτη 20 θεολογία καὶ ὁ υἱὸς ἀρχὴ ἐξ ἀνάρχου εἴη ἔνδον ἐν τῇ θεότητι, ἀλλ' ἰδιότητα τοῦ πατρικοῦ προσώπου τὸ ἄναρχον καὶ τὴν ἀρχὴν

1. χωρῆσαι ἔγραψα: χωρίσαι ΔΜ 2 πολιτικός ψησι Μ: πολιτικὸς ψησὶ Δ Αἱρετικός ἐστι Μ: αἱρετικὸς ἐστὶ Δ 3. τι Μ: τὶ Δ 19. ἀρχήν ψησι Μ: ἀρχὴν ψησὶ Δ

ΕΠΕΤΗΡΙΣ ΤΗΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΕΥΤΕΡΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΜ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

νοεῖ λέγων Αἱ δὲ ἰδιότητες πατρὸς μὲν καὶ ἀνάρχου καὶ ἀρχῆς ἐπινοουμένου υἱοῦ καὶ λεγομένου, υἱοῦ δὲ ἀνάρχου μὲν οὐδαμοῦ, ἀρχῆς δὲ τῶν ὅλων. Εἶτα πῶς οὐ δύο ἀρχὰς ποιεῖ, ἓν πρόςωπον τὸ Πνεῦμα πρὸς δύο ἀναφέρουσα πρόςωπα ὑποστατικῶς καὶ προςωπικῶς; Αἱ γὰρ ἔνδον ἀναφοραὶ προςώπων εἰσὶν, οὐκ οὐσίας τε καὶ δυνάμεως.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Εἰ δὲ τούτων ὑφ' ἡμῶν εἰρημένων τις ἀποροῖ, πρῶτον μὲν πῶς οὖν ὁ υἱὸς οὐ γεννᾷ καθάπερ δὴ καὶ προβάλλει, τῆς αὐτῆς μεταλαγχάνων γεννητικῆς δυνάμεως τῷ πατρὶ, ἢ πῶς τὸ Πνεῦμα τὸ ἅγιον οὔτε προβάλλει, οὔτε γεννᾷ, τῶν δυνάμεων ἑκατέρων οὐσῶν ἐν αὐτῷ καθάπερ ἐν πατρὶ καὶ υἱῷ.

ΑΓΑΛΛΙΑΝΟΣ

Ἤδη νῦν ἀνακεκαλυμμένῃ τῇ κεφαλῇ τὸ ἀτόπημα ἐξέρρηξεν, ὅτι ὁ υἱὸς ἔχει τὴν γεννητικὴν δύναμιν τοῦ πατρὸς μετὰ τῆς προβλητικῆς, ὡςαύτως καὶ τὸ Πνεῦμα. Καὶ σκόπει τὸ καταναγκάσαν αὐτόν. Συναισθανόμενος, ὅτι, εἰ ὁ υἱὸς ἔχει τὴν προβλητικὴν, δεῖ καὶ τὸ Πνεῦμα τὴν γεννητικὴν ἔχειν καὶ αὐτὴν ἔτι τὴν προβλητικὴν, ὡς καὶ ὑφ' ἡμῶν ἀεὶ λέγεται, δεῖν ἀκολουθεῖν ὡς ἄτοπα, εἰ ὁ υἱὸς εἴη προβολεὺς, καὶ οὐκ ἔχων ἀποφυγεῖν, οὐ συγχωρεῖ τούτοις ὡς μὴ ἀτόποις· καὶ ἵνα δείξῃ ταῦτα μὴ ὄντα ἄτοπα, ἀδυναμίας μᾶλλον ἢ δυνάμεις ἀποδίδωσι τοῖς θείοις προςώποις καὶ στερήσεις καὶ τὰ τοιαῦτα.

Ἀπορίας γοῦν δῆθεν ἐκθέμενος δύο, ἵνα ταῖς λύσεσι κυρώσῃ τὰ ἀτοπήματα, οἷς ἄν τις ἐπαπορήσειε δικαίως, θεραπείας καὶ λύσεις ἐπιφέρει, δοκούσας μὲν, οὐκ οὔσας δὲ, ὥςτ' οὐδὲν μᾶλλον λύεσθαι τὰς ἀπορίας ἢ συνδεῖσθαι καρτερώτερον. Καὶ πρὸς μὲν

8. τις M: τὶς Δ 11 (δίς). οὔτε M: οὔτε Δ

ΕΡΓΑΣΙΑ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΓΙΤΣΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὴν πρώτην τῶν ἀποριῶν, ἣν καὶ φθάσαντες νῦν ἐξεθέμεθα, λύσιν ἀποδίδωσι ταύτην

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Τοῦ πατρὸς τὸν υἱὸν γεννῶντος τῇ γεννητικῇ δυνάμει, καθάπερ ἐλέγομεν, ἡ γέννησις συνῆπται τῇ ἑαυτῆς [καὶ αὐτὴ] δυνάμει ᾗ ὁ υἱὸς, καὶ τὰ ἑξῆς.

ΑΓΑΛΛΙΑΝΟΣ

Πρὸς ἃ δὴ καὶ ἡμεῖς ἀνταποκρινόμεθα λέγοντες οὕτως. Μίαν γέννησιν οἶδεν ὁ λόγος καλεῖν ἐν πατρὶ καὶ υἱῷ, οὐχ ὡςαύτως ἐν ἀμφοῖν θεωρουμένην. Ἡ μὲν γὰρ ἀπὸ τοῦ γεννᾶν εἰλημμένη ἐνεργητική ἐστι καὶ συνάδουσα τῷ συμπεπλεγμένῳ γνωριστικῷ, τῷ Πατὴρ ὀνόματι, ἡ δὲ ἀπὸ τοῦ γεννᾶσθαι καὶ συμφωνοῦσα τῷ Υἱὸς ὀνόματι, γεννητὴν ὑπόστασιν σημαίνοντι, οὐ γεννητικήν.

Ὡςαύτως οὖν καὶ ἡ δύναμις ἡ πρὸς τὸ γεννᾶν διαφέρει τῆς πρὸς τὸ γεννᾶσθαι δυνάμεως, ὧν ἡ μέν ἐστιν ἐν τῷ πατρὶ, ἡ δὲ ἐν τῷ υἱῷ. Καὶ, καθάπερ τὸ εἶναι τοῦ πατρὸς καὶ τὸ εἶναι τοῦ υἱοῦ ἕν ἐστι καὶ ταὐτὸ, ἀλλ' οὐ προςήκει τῷ υἱῷ εἶναι πατρὶ, οὐδὲ τὸ ἀνάπαλιν, οὕτως, εἰ καὶ τοῖς ἄλλοις πᾶσι θήσομεν εἶναι τὴν γεννητικὴν δύναμιν ἐν πατρὶ καὶ υἱῷ καὶ τὴν γέννησιν, ἀλλὰ τοῖς ὅροις διαφέρουσιν, ἀναφορικῶς διακρινομένοις, ὡς καὶ τὰ ἄλλα πάντα ἕν ἐστιν ἐν πατρὶ καὶ υἱῷ, πλὴν τῷ μὲν κατὰ τὴν τοῦ διδόντος ἀναφορὰν, τῷ δὲ κατὰ τὴν τοῦ λαμβάνοντος· καὶ οὕτως οὔτε τὴν ἐν τῷ πατρὶ γέννησιν, ἣ ἐν πατρὶ δεῖ εἶναι, ἐν τῷ υἱῷ, ἵνα μὴ ὁ πατὴρ ὁ υἱὸς εἴη, οὔτε τὴν ἐν τῷ υἱῷ, ἥ ἐστιν ἐν υἱῷ, δεῖ εἶναι ἐν τῷ πατρὶ, ἵνα μὴ υἱὸς ὁ πατὴρ γένηται.

5 καὶ αὐτὴ προςέθηκα κατὰ σ. 123, 7: λείπουσι ΔΜ ᾗ ἔγραψα κατὰ σ 123, 7: ἣ ΔΜ 10 (καὶ κατωτέρω). γεννᾶν Δ: γεννᾷν Μ 10-11. ἐνεργητική ἐστι Μ: ἐνεργητικὴ ἐστὶ Δ 15. μέν ἐστιν Δ: μὲν ἐστὶν Μ 17 ἕν ἐστι Μ: ἓν ἐστὶ Δ ταὐτὸ Δ: ταυτὸ Μ 21. ἕν ἐστιν Μ: ἓν ἐστὶν Δ 24. ἥ ἐστιν Μ: ἣ ἐστὶν Δ

ΕΠΙΣΤΗΜΟΝΙΚΟ ΚΕΝΤΡΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΑΥΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΘΝΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ ΕΛΛΑΔΟΣ ΠΕΡΙΦΕΡΕΙΑΚΗ ΕΝΟΤΗΤΑ ΙΩΑΝΝΙΝΩΝ ΑΝ. ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΡΙΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ὡς δὲ καὶ τὴν δύναμιν τὴν γεννητικήν.

ΑΓΑΛΛΙΑΝΟΣ

Εἰ μὲν οὖν ὁ πατὴρ ἐδίδου τῷ υἱῷ τὴν γέννησιν, ᾗ γεννᾷ, καὶ τὴν πρὸς αὐτὴν δύναμιν, ἔδει ἂν καὶ τὸν υἱὸν γεννᾶν· εἰ δὲ μὴ γεννᾷ ὁ υἱός, οὐδὲ τοιαύτην αὐτῷ δίδωσι δύναμιν καὶ ἐνέργειαν, ἀλλ' ἢ ἄρα τῶν ἀντικειμένων πως, ἤγουν τὴν τοῦ γεννᾶσθαι δύναμιν καὶ τὴν παθητικὴν γέννησιν. Τούτου οὖν λέγοντος, ὅτι ἡ γέννησις συνῆπται τῇ ἑαυτῆς δυνάμει, ᾗ ὁ υἱὸς γεννᾶται ἐκ τοῦ πατρὸς, ποτέραν γέννησιν καὶ ποτέραν δύναμιν δεῖ νοεῖν, τὴν ἐνεργητικῶς λαμβανομένην ἢ τὴν παθητικῶς; Μὴ διορισαμένου γὰρ τούτου, ἄπορος πάντως ὁ λόγος ἐστίν Ἀλλὰ κατὰ τοὺς θεμελίους τῆς πίστεως καὶ ὡς ὑπαγορεύει τὸ ἀληθὲς εὐσεβὲς ἂν εἴη λέγειν ὡς, ὅταν ὁ λόγος πρὸς τὸν πατέρα τὴν ἀπόβλεψιν ἔχῃ, ἐκλαμβάνειν δεῖ τὴν δύναμιν καὶ τὴν γέννησιν ἐνεργητικῶς· ἴδιον γάρ ἐστι τοῦ πατρὸς τὸ γεννᾶν· ὅταν δὲ πρὸς τὸν υἱὸν, καὶ δύναμιν καὶ γέννησιν παθητικὴν δεῖ νοεῖν· ἴδιον γὰρ αὐτοῦ τὸ γεννᾶσθαι κατὰ τοὺς θεολόγους· γεννώμενος γὰρ τὸ εἶναι λαμβάνει διὰ γεννήσεως, καὶ διὰ τοῦτο υἱός.

Οὐκ εὐσεβὲς δ' ἂν εἴη λέγειν, ὅτι τὸ γεννᾶν λαμβάνει διὰ γεννήσεως, οὐ γὰρ καὶ πατήρ. Ὁ δὴ καὶ οὗτος ἀναγκαζόμενος ὁμολογεῖν, λέγει τὴν γεννητικὴν δύναμιν δίδοσθαι τῷ υἱῷ οὐχ ὡς δύναμιν, ἀλλ' ὡς τελειότητα. Ἀρκεῖ μὲν οὖν ἴσως ὅτι καὶ αὐτὸς ὁμολογεῖ μὴ ὡς δύναμιν τὴν γεννητικὴν δίδοσθαι τῷ υἱῷ, ἀλλ' ὡς τελειότητα· ἔλεγε δ' ὅμως ἐς δεῦρο, ὅτι τὴν γεννητικὴν δύναμιν ἔχει ὁ υἱὸς, ἤτοι τὴν τοῦ γεννᾶν, ἀντιφάσκων ἑαυτῷ· καὶ

4 (καὶ 9). ᾗ M: ἢ Δ 7. πως M: πῶς Δ 17. γάρ ἐστι M: γὰρ ἐστὶ Δ 24. ὁμολογεῖ ἔγραψα: ὁμολόγει Δ: ὡμολόγει M

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ. ΑΘΑΝΑΣΙΟΣ ΠΕΤΣΙΟΣ ΕΠΙΤΡΟΠΗ ΕΚΔΟΣΕΩΝ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΘΑΝΑΣΙΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

οὐ μέχρι τούτου, ἀλλὰ καὶ τῷ Πνεύματι μεταδίδοσθαί φησι τῆς γεννητικῆς τε καὶ προβλητικῆς, οὐκ οἶδ' ὅ τι παθὼν καὶ πόθεν κινηθεὶς εἰς τοσαύτην ἀτοπίαν ἐμπεσεῖν καὶ τὰς θείας ὑποστάσεις οὕτως ἀτιμάσαι, δυνάμεων ἀνενεργήτων κοινωνοὺς ἀξιώσας αὐτὰς
5 εἰπεῖν, ὃν τρόπον καὶ τὸ βρέφος λέγομεν δυνάμει γραμματικὸν, ὡς τὸ Πνεῦμα αὖ ἐκ δυνάμεως προελθεῖν ἢ δυνάμει, ὅτε ἐγεννᾶτο ὁ υἱὸς, οὔπω τὴν ἐνέργειαν ἐχούσῃ συνημμένην αὐτῇ, ἀλλὰ τοῦ υἱοῦ γεννηθέντος ταύτην λαβούσῃ, καὶ ὅσα τοιαῦτα ἑτερατεύετο.

Νομίσειε δ' ἄν τις ἴσως, ὅτι, ἵνα μὴ ἡ τῆς οὐσίας ἑνότης διασπα-
10 σθείη δεδιὼς, τὸν λόγον οὕτω διέθετο, καὶ, τὰς δυνάμεις ταύτας τελειότητας τῆς φύσεως ἡγούμενος, ἐπίσης τῇ θείᾳ τῶν προσώπων Τριάδι διενείματο· ἀλλ' οὐκ ἐπίσης, εἴπερ τῷ πατρὶ μὲν μόνῳ μετὰ τῆς ἐνεργείας, τοῖς δὲ λοιποῖς ἀπράκτους καὶ κοινὰς δίδωσι· διὸ καὶ σφόδρα περιπέπτωκεν ὅθεν λίαν ἐξέφευγε. Πῶς γὰρ ἂν
15 τῆς αὐτῆς εἴη οὐσίας τὰ μὴ τῇ αὐτῇ τελειότητι ἐπίσης ἐνεργοῦντα; Εἰ δὲ ἀρκεῖ πρὸς τὴν ἑνότητα τῆς οὐσίας τὸ ἔχειν τὸν υἱὸν τὴν γεννητικὴν ἄνευ ἐνεργείας, διότι συνέζευκται τῇ γεννήσει, τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἔχει καὶ ἀμφοτέρας δίχα καὶ αὐτὸ τῶν ἐνεργειῶν, τίς ἡ ἀνάγκη τοῦ ἔχειν τὸν υἱὸν τὴν προβλητικὴν
20 μετὰ τῆς ἐνεργείας, πολλῶν ἐντεῦθεν ἀτόπων φυομένων; Ἐσώζετο γὰρ ἂν καὶ οὕτως ἡ τῆς οὐσίας ἑνότης, ᾗ συναγωνίζεσθαι δοκεῖ, πρὸς τῷ καὶ τὰ ἄτοπα σιωπᾶσθαι. Ἀλλὰ μᾶλλον εἰ σύνεστιν ἡ γέννησις τῇ ἑαυτῆς δυνάμει, ἡ δὲ γέννησις κατ' ἐνέργειαν οὐ δέδοται τῷ υἱῷ οὐδὲ τῷ Πνεύματι, οὐδὲ ἡ δύναμις αὐτῆς, οὐδὲ τῷ
25 υἱῷ ἄρα ἅμα τῷ προϊόντι, ὡς ὁ λόγος διὰ τῶν ἁγίων ἀπεδόθη.

Εἶθ', ὥσπερ αὐτὸς ἑαυτὸν ἀνατρέπων, Ὡς μεταδίδωσι, φησὶν, ὁ πατὴρ τοῖς ἐξ αὐτοῦ τῶν δυνάμεων ὡς τελειοτήτων μόνον, οὐχ ὡς δυνάμεων.

Καὶ τίς ἂν εἴη τελειότης ἐν τῷ θεῷ, μὴ καὶ ἔργῳ τελειου-

1. μεταδίδοσθαί φησι M: μεταδίδοσθαι φησὶ Δ 4. ἀτιμάσαι M: ἀτιμᾶσαι Δ 19 (καὶ 29). τίς M: τὶς Δ 26. Εἶθ' M: Εἶθ' Δ μεταδίδωσι, φησὶν, M: μεταδίδωσί φησιν Δ

ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

μένη ἢ καθ' ἣν οὐδέποτε ἐνεργεῖ ἢ ἐνέργειά ἐστι; Πότερον οὖν ἦν βέλτιον τὰς προακτικὰς δυνάμεις τῶν θείων προσώπων ἑνὶ προσώπῳ, τῷ πατρικῷ, ἀφορίζειν, ἵν' ἐκεῖνο μόνον ᾖ προάγον, τὰ δὲ λοιπὰ προαγόμενα, καὶ ἐν ἀρχῇ ἔλεγε καλῶς τοῦτο λέγων, τὰς δ' ἀνταποκρινομένας παθητικὰς ἀποδιδόναι τούτοις, οὐχ ἧττον δυναμένας εἰς τὸν τῆς ἰσότητος λόγον· οὐδὲν γὰρ εἰς τιμὴν τοῦ γεννῆσαι θεὸν τὸ ἐκ θεοῦ γεννηθῆναι, ὡσαύτως δὲ καὶ περὶ τοῦ Πνεύματος ἢ, ἵνα μόνον καὶ τὸν υἱὸν προβολέα κατασκευάσῃ, τὰς προακτικὰς δυνάμεις, αἳ ὡς ἰδιότητες ὑποστατικαὶ καὶ τοῦ πατρικοῦ προσώπου συστατικαὶ καὶ τῷ πατρὶ μόνῳ λογίζονται, δοῦναι τοῖς ἐξ ἑαυτοῦ προϊοῦσι, καὶ μετὰ τὸ τὸν πατέρα στερῆσαι τῶν ἑαυτοῦ, τότε καὶ τὰς ἐξ αὐτοῦ προϊούσας ὑποστάσεις καθυβρίζει, δυνάμεων αὐτὰς ἀνενεργήτων μετόχους εἰπὼν, καὶ μυρίων δεινῶν καὶ βλασφημιῶν ἀναπλήσει τὸ σύγγραμμα. Ἀλλὰ πάλιν, ὥςπερ ὑπὸ τῆς ἀληθείας συνελαυνόμενος, ἀφαιρεῖ ἀπὸ τοῦ υἱοῦ καὶ τοῦ Πνεύματος ἃ δέδωκεν. Ἢ τί ἄλλο βούλεται λέγων, ὅτι ὁ υἱὸς διὰ τοῦτο οὐ γεννᾷ, οὐδὲ τὸ Πνεῦμα ἢ γεννᾷ ἢ προβάλλει, διότι σύνεισιν αἱ τῶν προόδων ἐνέργειαι ταῖς ἑαυτῶν δυνάμεσιν; Εἰσὶ δὲ ἄρα ἐν τῷ πατρὶ, ὥςπερ αἱ ἐνεργητικαὶ πρόοδοι αἳ οὐ μεταδίδονται, οὐδὲ αἱ σύστοιχοι τούτων δυνάμεις, ἵνα μὴ ἄπρακτοι καὶ κεναὶ ὦσιν ἐν αὐτοῖς. Οὐκοῦν οὔτε τὸ πνεῦμα οὐδετέραν ἔχει δύναμιν· οὔτε γὰρ γεννᾷ, οὔτε προβάλλει, οὔτε τὸν υἱὸν δεῖ ἔχειν οὐδετέραν, ἐπεὶ μηδὲ τὴν ἑτέραν. Ἢ γὰρ ἄμφω ἢ μηδετέραν, ὥςπερ οὖν καὶ τὸ Πνεῦμα. Ἀλλ' ἐπενόησεν αὐτὸς ἀνάγκην, ᾗ παρίστησι τὸν υἱὸν ἔχειν τὴν προβλητικὴν δύναμιν τὴν ἐν πατρὶ αὐτῷ διδομένην διὰ γεννήσεως.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Αὐτὴ γὰρ, ὅθ' υἱὸς παρῆκται, μήπω νοουμένου τοῦ Πνεύμα

1. ἐνέργειά ἐστι M: ἐνέργεια ἐστὶ Δ 3. ἀφορίζειν M: ἀφωρίζειν Δ 14. ἀναπλήσει ἔγραψα: ἀναπλῆ ΔM 21. οὔτε M: οὔτε Δ 24. μηδετέραν ἔγραψα: μηδ' ἑτέραν M: μὴδ' ἑτέραν Δ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΩΑΝΝΙΝΑ 2007 Ε.Υ.Δ της Κ.τ.Π

τος ἐκπορεύεσθαι, καθάπερ πρόσθεν ἐλέγομεν, ἐκ πατρὸς δέδοται τῷ υἱῷ, μήπω τοῦ πατρὸς ὡς προβολέως αὐτῇ τὸ Πνεῦμα προάγοντος.

ΑΓΑΛΛΙΑΝΟΣ

Τί φῆς, ἄνθρωπε; Ξυμβαίνουσιν ἄρα τῇ ἡμετέρᾳ νοήσει αἱ θεῖαι καὶ ἀκατανόητοι πρόοδοι τῶν ὑποστάσεων ἐκείνων τῶν θείων, καὶ χρόνος ἐνταῦθα θεωρεῖται καὶ τὸ πρότερον καὶ ὕστερον. Τί γὰρ ἄλλο βούλεται τὸ Δέδοται τῷ υἱῷ, μήπω τοῦ πατρὸς ὡς προβολέως τὸ Πνεῦμα προάγοντος; Ἀλλὰ ταῦτα μὲν ὡς προεληλεγμένα καὶ αὐτεξέλεγκτα καὶ προδήλως βλάσφημα οὐδὲ πολλῶν δέονται λόγων· πρὸς δὲ τὴν δευτέραν τῶν ἀπορίων καὶ τὴν λύσιν αὐτῆς ἴωμεν.

Πῶς οὖν αἱ δύο ἀρχαί, δυοῖν ὄντων τῶν προβαλλόντων, ἢ πῶς οὐ ξυναλοιφή, εἰ δύο μία ἀρχή; Πρὸς δὴ τὴν τοιαύτην ἀπορίαν ἐπάγει μὲν πολλά, δοκῶν λύειν αὐτήν, οὐδὲν δὲ ὑγιές ἐστιν αὐτῶν. Διαιρεῖ μὲν γὰρ τὴν ἀρχὴν εἰς δύναμιν, ᾗ προάγει τὸ προαγόμενον πρόςωπον, καὶ εἰς τὸ πρόςωπον αὐτὸ ὃ προάγει, καὶ συμπεραίνων οἴεται μηδὲν εἶναι ἄτοπον, μηδὲ παραβλάπτεσθαι τὸ μοναδικὸν τῆς ἀρχῆς, εἰ δύο λέγοιντο πρόςωπα προβάλλοντα καὶ δύο ἀρχαὶ ὡς πρόςωπα, ἐπεὶ μιᾷ δυνάμει καὶ τῇ αὐτῇ τῷ ἀριθμῷ προβάλλουσιν.

Ἐρείδει δὲ τὸν λόγον καὶ πῶς; Τρεῖς ἀρχὰς εἶναι λέγων τῆς κτίσεως, τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, μιᾷ δὲ ὅμως δυνάμει δημιουργεῖν, διὸ καὶ ἕνα εἶναι δημιουργόν. Καὶ καθ' ὁμοιότητα τούτου φησὶ μηδὲν κωλύειν καὶ δύο ἀρχὰς τὸν πατέρα λέγειν καὶ τὸν υἱὸν καὶ δύο προβάλλοντας, ἕνα δὲ ὅμως προβολέα τῷ μίαν ἐν ἀμφοῖν προβλητικὴν εἶναι δύναμιν, ὡςανεὶ ἔλεγεν, ὅτι τρεῖς ἂν λέγοιντο θεοὶ ὡς τρία πρόςωπα, μία ὅμως θεότης.

1. δέδοται ἔγραψα κατὰ σ. 124, 7: δίδοται ΔΜ 6. θεῖαι Μ: θείαι Δ 15. ὑγιές ἐστιν Μ: ὑγιὲς ἐστὶν Δ 24-25. καθ' ὁμοιότητα Μ: καθομοιότητα Δ

ΕΡΑΣΜΙΑΚΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ἀλλὰ τοὐναντίον ἅπαντες ἅγιοι λέγουσιν εὐσεβῶς, ὅτι αἱ τρεῖς ὑποστάσεις εἰσὶ μία τῆς κτίσεως ἀρχή, ὅτι κατὰ τὴν ἑνότητα τῆς οὐσίας αὐτῶν ἡ δημιουργικὴ πρόςεστιν αὐταῖς δύναμις καὶ ἐνέργεια, εἰ καὶ μὴ τῇ οὐσίᾳ παράγουσι τὴν κτίσιν εἰδικῶς. Ὥςτε ἐνταῦθα πρόδηλος ἡ τῆς ἀρχῆς ἑνότης ἐν τοῖς τρισίν, ὅτι καὶ πρόδηλος ἡ τῆς δυνάμεως κοινωνία, ὅτι οὐ κατὰ τὰς ὑποστάσεις, ἀλλὰ καθὸ ἕν εἰσι τῇ οὐσίᾳ τὴν κτίσιν παράγουσιν, ὥςτε καθὸ ἕν εἰσι τῇ δυνάμει, ἐκεῖ δὲ οὐχ οὕτως. Οὐ γὰρ οἷόν τε τὴν προβλητικὴν ταύτην δύναμιν οὐσιώδη φάναι ἐφόσον οὐ πρόςεστι καὶ τῷ Πνεύματι, προςωπικὸν δέ ἐστιν ὃ μή ἐστιν οὐσιῶδες καὶ ὅλη τῇ θείᾳ φύσει προςῆκον· προςωπικὴν δὲ δύναμιν ἐν πατρὶ καὶ υἱῷ μίαν εἶναι ἀδύνατον, οὐσιώδη δὲ καὶ ὅλη τῇ θείᾳ φύσει προςήκουσαν ἔτι ἀδυνατώτερον. Μέλλοι γὰρ ἂν οὕτως ἢ καὶ αὐτὸ τὸ Πνεῦμα προβάλλειν ἤ, ἔρημον οὐσιώδους δυνάμεως ὂν, μὴ ἐν τῇ ἑνότητι τῆς τοῦ πατρὸς καὶ υἱοῦ οὐσίας εἶναι.

Εἰ μὲν οὖν οἷόν τε ἦν τὴν προβλητικὴν δύναμιν ὑπάρχειν καὶ τῷ υἱῷ, καὶ μήτε ἡ τοῦ Πνεύματος θεότης ἐκινδυνεύετο, μήτε ἡ τῶν προςώπων διάκρισις, οὐδὲν ἂν ἦν χαλεπὸν διὰ τὴν διαίρεσιν ἣν τίθησι τῆς ἀρχῆς, τρόπον τινὰ μίαν ἀρχὴν τοῦ Πνεύματος εἰπὼν τὸν πατέρα καὶ τὸν υἱὸν, ὅτι τῇ κοινῇ καὶ μιᾷ οὐσίᾳ τοῦτο προῆγον ἄν. Ἐπεὶ δὲ ἀδύνατον ὑπάρχειν τῷ υἱῷ τὴν τοιαύτην δύναμιν διά τε τὰ νῦν εἰρημένα καὶ ἄλλων πολλῶν ἕνεκα, ἃ παραλέλειπται χάριν συντομίας, οὐ διότι ἠδύνατο ἂν τρόπῳ μία εἶναι ἐν ἀμφοῖν, εἴ γε καὶ ἀμφοῖν παρῆν, διὰ τοῦτο πιστεύσωμεν καὶ τῷ υἱῷ ταῦτα προςεῖναι, παρὰ φαῦλον θέμενοι ἐκεῖνα δι' ὅσα ἀδύνατόν ἐστι προςεῖναι καὶ τῷ υἱῷ ταύτην, μέγιστα ὄντα καὶ οὐχ οἷα παρῶφθαι, ὧν ἔνια καὶ ἐν τοῖς εἰρημένοις ἐστὶ καὶ διὰ τῶν ἁγίων ἀποδέδεικται· οἷον τὸ ἰδιότητα τοῦ πατρὸς εἶναι τὴν ἀρχὴν καὶ τὸ αἴτιον καὶ τὸ γόνιμον καὶ τὰ τοιαῦτα κατὰ τοὺς

4. παράγουσι M: προάγουσι Δ 7 (καὶ 8). ἕν εἰσι M: ἓν εἰσὶ Δ 9 φάναι M: φᾶναι Δ 10. δέ ἐστιν M: δὲ ἐστὶ Δ μή ἐστιν M: μὴ ἐστὶν Δ 15. ἑνότητι Δ: θεότητι M

ΕΠΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝΑΠΛ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

θεολόγους, οἷς οὐ συνᾴδει τὸ καὶ τὸν υἱὸν προβολέα εἶναι τοῦ Πνεύματος ἢ αἴτιον, ἢ ἀρχὴν ἢ συναίτιον ἢ ὅσα τοιαῦτα οἱ τὴν θεολογίαν τῶν ἁγίων παραφθείροντες ἐπισφαλῶς λέγουσιν. Ὥςπερ οὖν εἰ διὰ τὰ πρόςωπα, τρία ὄντα, τρεῖς ἐλέγομεν θεούς, τὴν πολυθεΐαν οὐκ ἂν
5 ἐξεφύγομεν, κἂν ὁπόσον τῇ μιᾷ θεότητι καταφεύγωμεν, οὕτως οὐδὲ Λατῖνοι τὴν δυαρχίαν ἐκφευξοῦνται, ἕως δύο πρόςωπα δύο προβάλλοντας λέγωσι, κἂν διαρραγῶσι μίαν ἐν ἀμφοῖν δύναμιν προβλητικὴν εἶναι βοῶντες. Ὥςπερ γὰρ ἐκεῖνο πᾶσι τοῖς ἁγίοις ἀσεβὲς ἔδοξεν εἶναι, οὕτω καὶ τοῦτο πᾶσι σεσιώπηται.

10 Οὐκοῦν, ἐπεὶ τοῖς τοιούτοις οὐχ ἱκανῶς λύεται ἡ ἀπορία καὶ τὸ δύο ἀρχὰς λέγειν τὸν πατέρα καὶ τὸν υἱόν, φαῦλόν ἐστιν καὶ αἱρετικὸν καὶ τὸ μίαν ἀρχὴν τὰς δύο λέγειν ὑποστάσεις, καὶ τὴν συναλοιφὴν οὐ διαπέφευγεν· οἷς ἄρα περιπίπτει ὁ ταῦτα ἀξιῶν.

Καὶ δὴ τὸν λόγον τελειῶν πολλὰ μὲν περὶ ἑαυτοῦ μεγαλορ-
15 ρημονεῖ, ἐνίων τε κατεπαίρεται, τὴν ἐναντίαν δήπου τούτῳ φερομένων, κομπηροῖς τισι ῥήμασι λεληθότως τούτων καθαπτόμενος, ὧν ἡμῖν λόγος οὐδεὶς τοῖς γε σώφροσιν, ἀφιεῖσι τὴν κρίσιν τούτων ἐφ ᾧ πότερα ποτέροις προςήκει διαγνῶναι. Ἡμεῖς δὲ οὐ πρὸς τὴν καθόλου ὕλην τῆς μεταξὺ ἡμῶν τε καὶ Λατίνων διαφορᾶς
20 τὸν παρόντα λόγον ἐνεστησάμεθα, ἵνα ἢ κατασκευάσωμεν τὸ ἑαυτῶν συμπέρασμα ἢ τὸ ἐκείνων ἀνέλωμεν λόγοις καὶ ἐπιχειρήμασι καὶ ἀπαγωγαῖς, ἃ δὴ καὶ πρὸς τὰς λύσεις ἥρμοττεν ἂν τῶν ἀπορίων, ἃς ὡς ἐξ ἡμῶν τίθησιν· ἀλλὰ πρὸς τὰς ὑποθέσεις, δι' ὧν οὗτος ἤλπισε κατασκευάσειν, ὁδῷ προβαίνων, τὴν δόξαν Λατίνων,
25 τὰ δοκοῦντα μετὰ τῆς ἀληθείας προὐθέμεθα πρὸς τὴν τῶν ἁγίων θεολογίαν ταύτας παραβαλλόμενοι. Σὺν θεῷ δὲ εἰρήσθω, ἐδείξαμεν αὐτὰς διὰ τῶν διδασκάλων ἀπᾳδούσας καὶ ἀνενδέκτους καὶ ἄτοπά τινα συμπεραινούσας καὶ βλάσφημα, συνῳδοὺς δὲ μᾶλλον πολλαῖς τῶν αἱρέσεων ἢ καὶ αἱρέσεων ἀρχάς. Ἀρκεῖ γοῦν

5. καταφεύγομεν M: καταφεύγωμεν Δ 7. λέγωσι ἔγραψα: λέγοντες ΔM 11. φαῦλόν ἐστιν M: φαῦλον ἐστὶ Δ 16. τισι M: τισὶ Δ 26. παραβαλλόμενοι ἔγραψα: προβαλλόμενοι ΔM

ΕΘΑΣΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΘΕΟΛΟΓΙΑΣ ΑΠΟ ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἐν τῷ παρόντι μηδὲν ἀναγκαῖον δεικνῦναι ὑποτιθέμενον. Τὸ δὲ ἐπαπορεῖν τῇ λατινικῇ δόξῃ καὶ αὐτοὶ λύσεις μεμηχάνηνται σκοπεῖν, πολλοῖς τε ἄλλοις γεγονέναι ἔργον, καὶ ἡμῖν ἴσως ποτὲ γενήσεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

1. δεικνῦναι ἔγραψα : δεικνύναι Μ: δκνῦναι Δ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΕΠΙΣΤΟΛΑΙ

ΕΝ ΑΙΣ ΓΙΝΕΤΑΙ ΛΟΓΟΣ ΠΕΡΙ ΤΩΝ ΑΡΓΥΡΟΠΟΥΛΩΝ ΙΩΑΝΝΟΥ ΚΑΙ ΙΣΑΑΚΙΟΥ

1*.

ΕΠΙΣΤΟΛΗ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΛΑΣΚΑΡΕΩΣ

Κωνσταντῖνος Ἰωάννῃ Πάρδῳ εὖ πράττειν.

Ἔοικας ἐξ ὧν ἐπέστειλας πάλαι περιμένειν ἐμὲ καὶ τὰ ἐμὰ ἀκοῦσαι ἐπιθυμεῖν· οἶσθα τιήτοι πάντ' εἰδότ' ἀγορεύειν χρή. Κάθημαι ἄχθος ἀρούρης ἀπειπὼν τῷ ἄλγει, τὴν ἐνταῦθα διατριβὴν δουλείαν ἡγούμενος καὶ τὴν ἐντεῦθεν μετάστασιν κοινὴν δυστυχίαν. Τί γὰρ ἂν ποιοίην ἢ ποῦ γῆς ἀπίοιμι αὐτὰρ ἀσθενὴς καὶ δυστυχὴς γενονὼς ἐν τοιούτῳ χαλεπωτάτῳ καιρῷ, ἐν ᾧ πατρὶς μὲν δούλη αἰσχίστων βαρβάρων καὶ πᾶσα Ἑλλὰς, οὔτε δὲ βασιλεία οὔτε πολιτεία ἡμῖν ὑπολείπεται, πάντα δὲ δοῦλα καὶ φόβου καὶ κινδύνου μεστά; Εἰ μόνος μὲν ἦν, οὐκ ἂν ὤκνουν καὶ τὰς στήλας τοῦ Ἡρακλέους ἰδεῖν· νῦν δὲ δοῦλος διὰ τοὺς ἐμοὺς ἀνάγκη πάντα φέρειν καὶ τοῦ τυχόντος ἀντέχεσθαι, ᾗ φασι τὸν πολύποδα ἐν χειμῶνος καιρῷ, καὶ ἐν μεταιχμίῳ δυοῖν ὄντα κακοῖν τὸ μὴ χεῖρον αἱρεῖσθαι. Ὅταν μὲν γὰρ τὰ παρόντα διανοοῦμαι δεινὰ καὶ τὴν ἐνταῦθα θηριότητα, οὐ μόνον Μεδιόλανον καὶ τὰς ἐκεῖσε πόλεις ποθῶ, ἀλλὰ καὶ τὰς Βρεττανικὰς νήσους καὶ, εἰ βούλει γε, τὰς

* Περιλαμβάνεται ἐν τῷ ὑπ' ἀρ LXXIX κώδικι τῆς ἐν Μαδρίτῃ βιβλιοθήκης ἐν φ. 147α κ ἑ καὶ ἐξεδόθη ὑπὸ τοῦ *Iriarte* (Regiae bibliothecae Matritensis Codices graeci Mss. Ἐν Μαδρίτῃ 1769 σ. 290 κ. ἑ.), οὗ αἱ διάφοροι γραφαὶ παρατίθενται κατωτέρω

3. ἀπειπὼν 3 4. δουλείας 5. τὶ 6. χαλεπώτατος

ΕΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΕΠΘ ΝΙΚΟΣ ΑΙΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΠΟ ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Μακάρων. Ὅταν δὲ πάλιν τὴν ἄγαν ἀγνωμοσύνην τῶν τυραννούντων ἐνθυμηθῶ καὶ τὴν ἀφόρητον ἐκείνην ἄμισθον παιδαγωγίαν, μετάμελος γίνομαι, καὶ μᾶλλον τὰς Φιλοξένου λατομίας ἐλοίμην ἢ τοιούτοις συνεῖναι τυράννοις. Ἐκεῖνος μὲν γὰρ ἑνὶ δουλεύων, κἀκείνῳ φιλοσόφῳ καὶ δυνάστῃ, οὐκ ἔφερεν, ἀλλ' ἀποδρὰς ἐς Τάραντον ᾤχετο· ἐγὼ δὲ σκήνει ἀνδρῶν κακοήθων πῶς ἂν οἷός τε εἴην συζῆν; Ῥώμην μὲν τὴν νέαν Βαβυλῶνα καὶ τροφὸν πάσης κακίας οὐδ' ἰδεῖν ἀξιῶ· Νεάπολιν δὲ τὴν ἀχάριστον φεύγω ἀκούων· πεπείραμαι γάρ. Εἰ δὲ παθών τι νήπιος ἔγνων καὶ τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα, ἀνοητότατος ἂν εἴην τὸν ἀνάγυρον πάλιν κινῆσαι. Οὔτε γὰρ μισθὸς παρὰ τῶν ἀκουόντων, οὔτε παρὰ τοῦ κρατοῦντος· χωλοῖς μὲν γὰρ καὶ τυφλοῖς ἐλεοῦντες διδόασι, σοφοὺς δὲ μισοῦντες ἀπελαύνουσι· καὶ νομικοὺς μὲν μισθοῦντες κερδαίνουσιν, ἰατροὺς δὲ νοσοῦντες μόλις ὁρῶσι, φιλοσόφους δ' οὐδ' ἰδεῖν ἀξιοῦσι, ποιητῶν δὲ καὶ ῥητόρων ὡς μαινομένων καταγελῶσι, καί, ἵν' οὕτως εἴπω, μεστὰ μὲν τὰ βασίλεια κολάκων καὶ βωμολόχων, ἐπὶ θύραις δὲ δυνατῶν ἀσελγεῖς εὐτυχοῦντας ἰδεῖν ἔξεστι· λόγων δ' ἑλληνικῶν λόγος οὐδείς, ἀλλ' ἀπελήλατο μὲν Ὅμηρος πανταχόθεν, καταπεφρόνητο δὲ Δημοσθένης καὶ Πλάτων, πανταχοῦ δὲ τυραννὶς ἄφαντος καὶ ἀνελευθερία πολλή, πολλῷ πλείων τῆς τοῦ Σισύφου, καὶ παντ' ἂν δρῷεν ἢ μισθώσαιντο Ἕλληνα. Εἰ δ' ἀπιστεῖς, πειθέτω σε ἡ τῶν βροτῶν ἔλεγχος διάπειρα· ἡ μὲν γὰρ τῶν τυραννούντων φειδωλία Θεόδωρον εἰς ἄκρον πάσης σοφίας ἐληλακότα ἐς Καλαβρίαν ἀπήλασε, καὶ ἐν Πολυκάστρῳ, φεῦ, ἀδόξως θανεῖν ἠνάγκασεν, Ἀνδρόνικον δὲ τὸν Καλλίστου ἐς τὰς Βρεττανικὰς νήσους, ὅπου φίλων ἔρημος τέθνηκε, Φραγκούλιον δὲ, ἄνδρα σοφὸν, οὐκ οἶδά που τῆς Ἰταλίας, Δημήτριον δὲ ἐς τὴν πατρίδα ἐπανήκειν, βαρβάροις δουλεύοντα· παραλείπω δὲ τὸν σοφὸν ἐμὸν καθηγητὴν Ἰωάννην τὸν Ἀργυρό-

3. ἑλκοίμην 5. κἀκείνῳ 6. οἷος 7. συζῆν 12. χωλοὺς τυφλοὺς 13. ἀπελαύνοισι 17 θύρας δυνάτων 25. ἠνάγκεσεν 27. οἶδα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΗΣ ΤΣΑΝΤΙΝΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πουλον ἐν μέσῃ Ῥώμῃ πενόμενον καὶ καθ' ἑκάστην τὰς ἑαυτοῦ βίβλους ἀποδιδόμενον. Οὐκ ἔστι νῦν Ῥώμη ἐκείνη, οὐδὲ οἱ θαυμαστοὶ ἐκεῖνοι πολῖται Ῥωμαῖοι, οἷς ἅμα λατινικῶν λόγων καὶ ἑλληνικῶν ἔμελεν. Οὐκ ἔστι Νεάπολις ἀποικία Χαλκιδέων καὶ
5 Ἀθηναίων, τὸ γυμνάσιον τῶν ἑλληνικῶν λόγων, εἰς ἣν Ῥωμαῖοι τρέχοντες ἤρχοντο. Πάντα φροῦδα καὶ μεταμεμορφωμένα. Ταῦτα καὶ τὰ τοιαῦτα ἀναπολῶν κάθημαι ὁρῶν ἐπὶ οἴνοπα πόντον καὶ τὴν σὴν φίλην Σκύλλην καὶ Χάρυβδιν καὶ τὸν ἐπικινδυνότατον τοῦτον πορθμὸν, ἀλγῶν μὲν τῷ μένειν, δακρύων δὲ τῷ μὴ δύνα-
10 σθαι πλεῦσαι, ἀπορῶν δ' ὅ τι ποιεῖν χρὴ ἢ ὅποι γῆς ἴω. Θεὸς δὲ μόνος καθ' ὑμᾶς τοὺς ποιητὰς ἀναρπάξας ἄλλῃ κομίσαιτο ἢ ὁ τοῖς ἄλλοις φρικτὸν, τοῦτο ἡμῖν ὡς ἡδὺ ἐπαγάγοι, ἵν' ἀπαλλαγέντες τῶν ἐνταῦθα μυρίων δεινῶν ἐς τὸν ἀπαθῆ ἐκεῖνον βίον μεταστῶμεν. Σὺ δὲ, νέος ὢν καὶ φιλόψυχος, τοσοῦτον διαβιώῃς
15 ὅσον ὁ ἡδυεπὴς Νέστωρ, οὗ πάλαι τὴν γλῶτταν μετέσχες, καὶ περὶ τὴν ἱερὰν φιλοσοφίαν σπουδάζοις, ἧς τέλος τὸ ὁμοιοῦσθαι θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. Ἔρρωσο καὶ ἡμᾶς μὴ περίμενε.

---

3. πολῖται ἅμα **4.** ἔμελλεν ἀτοικία **7.** τοιαύτων ὁρῶν **8.** κάρυβδιν **14.** φυλόψυχος **16.** ὁμοιοῦσθαι

ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΜΕ ΤΟ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΑΡΙΣΤΟΤΕΛΕΙΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

2*.

[ΕΠΙΣΤΟΛΗ ΘΕΟΔΩΡΟΥ ΓΑΖΗ]

ΦΡΑΓΚΙΣΚΩ ΦΙΛΕΛΦΩ

Θεόδωρος Φραγκίσκῳ Φιλέλφῳ εὖ πράττειν.

Οὐ πάντ' ἔοικεν ἀσθενεῖ τὸ γῆρας, ἀλλ' ἔστι καὶ ἐφ' οἷς ἔρρωται καὶ διαφερόντως ἰσχύει. Φρόνησις γὰρ εὖ μάλα τῷ χρόνῳ συνεπιδίδωσι καὶ ἐπιστήμη καὶ λόγος, τέως τε ἐγγινόμενα νέοις ταῦτα ὕστερον ἀκμάζει γέρουσιν ἤδη καὶ πολιοῖς. Καὶ σὺ γοῦν τυγχάνεις μὲν γέρων ὢν καὶ πρὸς ἔργα ἀσθενέστερος ἃ ῥώμης σώματος δεῖται, ψυχῆς δ' ἀρετῇ πολὺ διενήνοχας. Καὶ ῥᾳδίως μὲν ἀποδύῃ πρὸς ἀγῶνα τοιοῦτον, ῥᾳδίως δὲ νικᾷς καὶ κατορθῶν ἐπαίνου τυγχάνεις. Δηλοῖ δὲ ὁ λέγω καὶ τὰ ὕστατά σοι τάδε συγγεγραμμένα πρὸς Ἡρακλέα τὸν Φερραρίας δυνάστην προτρεπτικά, μηδεμιᾶς ἀρετῆς λόγου λειπόμενα. Δι' ὃ δή σοι καὶ χρῆσθαι συχνὰ παρακελεύομαι τῇ τοιαύτῃ δυνάμει ἄλλως τε καὶ πρὸς τοὺς δυναστεύοντας καὶ δυναμένους μεγάλα ὠφελεῖν τε καὶ βλάπτειν. Τὸ γὰρ περὶ αὐτοὺς ὄφελος πέφυκε διαβαίνειν εἰς τὰ κοινὰ καὶ σύμπαν ὠφέλησε τὸ ὑπήκοον ὁ τὸν ἄρχοντα ἕνα ἀποδείξας βελτίω. Καλὸν μὲν οὖν καὶ Ἡρακλέα προτρέπειν εἰς ἀρετὴν καὶ ζῆλον τῶν ἐπαινουμένων ἀρχόντων, πολλῷ δὲ κάλλιον εἴ τινα τῶν μειζόνων || πείθοις κήδεσθαι τῶν κοινῶν κἀκ τοῦ εὖ ποιεῖν δόξαν καὶ ὄνομα εὐκλεὲς κατακτᾶσθαι· περὶ γὰρ τοὺς μεῖ- φ. 72б

* Περιλαμβάνεται ἐν τῷ ὑπ' ἀρ. Plut. 55 cod. 9 Λαυρεντιακῷ κώδικι, φ. 72ᵃ - 75ᵇ, αἰῶνος ιε'. Τὰ ἐν τῇ ᾧᾳ σημειώματα, παρατιθέμενα κατωτέρω, εἶνε γεγραμμένα ἐρυθρά.

9 φεραρίας. Ἐν τῇ ᾧᾳ Ἡρακλῆς φεραρίας δυνάστης

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ζον δυναμένους μεῖζον τὸ κατορθούμενον ἔσται τῷ λέγοντι καὶ κοινότερον τἀγαθὸν εἰς δήμους καὶ πόλεις παρὰ τοῦ ἄρχοντος ἥξει.

Τὰ δ' ἐνθάδε οἶμαί σε καὶ ἄλλων πυνθάνεσθαι λεγόντων, δῆλα ἅπασιν. Οὐ χεῖρον δ' ἴσως κἀμὲ διὰ βραχέων οὕτωσὶ φάναι, ἵν' ἀρχήν τινα λάβῃ ὁ λόγος ὃν μετὰ ταῦτα ἐρῶ.

Βούλεται μὲν τὸ ἐν Ῥώμῃ ἄρχον συνεστηκέναι ἐξ ἀριστοκρατίας καὶ μοναρχίας καὶ τὰ μὲν ἐπιμέλεσθαι τῶν ἱερῶν, τὰ δὲ ὥςπερ ἀμφικτυονίαν τινὰ ὑπάρχειν διαιτῶσαν τὰς ἑκάστοις τῶν Χριστιανῶν ἐθνῶν συμβαινούσας πρὸς ἄλληλα δίκας καὶ διαλύουσαν τὰ διάφορα· ταῦτ' ἄρα κἀκ τῶν γενῶν ἑκάστου ἕνα τινὰ ἄριστον αἱρεῖσθαι ὡςανεί τινα πυλαγόραν βούλεται κἀκ τούτων εἶναι συνέδριον τῶν καλουμένων καρδινάλεων καὶ σύλλογον ἱερὸν, τούτων δ' αὖ ἕνα τὸν ἄριστον αἱρεῖσθαι ἀρχιερέα μέγαν, σχῆμα βασιλικὸν ἔχοντα. Συμβαίνει δὲ πολλάκις ὑπὸ κακίας τῶν αἱρουμένων
φ. 73α μήτε καρδινάλεις αἱρεῖσθαι τοὺς ἀρίστους, μήτε || ἀρχιερέα τὸν ἄριστον καὶ ταύτῃ διαφθείρεσθαι τὸ τῆς πολιτείας εἶδος καὶ ποτὲ μὲν εἰς τυραννίδα μεταβάλλειν, ποτὲ δὲ εἰς ὀλιγαρχίαν. Πρότερον μὲν δὴ τυραννὶς ἦν, Πέτρου τινὸς Βάρβου τῶν Ἐνετῶν χειροτονηθέντος ἀρχιερέως, Παύλου δὲ μετονομασθέντος, ἀνθρώπου δεινῶς ἀπαιδεύτου καὶ τὸν βίον Σαρδαναπάλου. Νῦν δ' ἄντικρυς ὀλιγαρχία ἐστί. Αἱ γὰρ τῶν πλειόνων ψῆφοι νικῶσι τὴν αἵρεσιν τοῦ ἀρχιερέως· εἰσὶ δὲ πλείονες τῶν σπουδαίων οἱ μὴ πάνυ ἀρετὴν ἐπαινοῦντες· δεῖ γὰρ ἔτι μετριάζειν τῷ λόγῳ· οὐ μὴν δὲ καί τινα ἑλέσθαι αὐτῶν τετολμήκασιν, ἀλλὰ τῶν ἄλλων ὃν ᾔδεσαν ἄλλως μὲν ἀγαθὸν ὄντα, ἁπλοῦν δέ τινα τὸν τρόπον καὶ ἀπολίτευτον, τοῦτον εἵλοντο, πρόφασιν μὲν ὡς ἀγαθὸν, ταῖς δ' ἀληθείαις ὡς ἀπολίτευτον, ἵν' ὡς δῆθεν χαρισάμενοι τὰ περὶ τὴν αἵρεσιν ἔχοιεν ἄγειν καὶ φέρειν ᾗ ἂν δοκῇ καὶ μὴ δι' ἐμπειρίαν τοῦ

4. φᾶναι 6 Ἐν τῇ ᾧ Περὶ τοῦ ἐν ῥώμῃ ἄρχοντος
8. ἀμφικτυονίάν τινα 10. ἕνά τινα 12 Ἐν τῇ ᾧ καρδινάλεις 18. Ἐν τῇ ᾧ πέτρος βάρβος 20. Ἐν τῇ ᾧ σαρδανάπαλος

ΕΠΙΣΤΗΜΟΝΙΚΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΙΕΘΟΥΣΗ ΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΡΙΑΣ ΚΩΣΤΑΝΤΙΝΑΣ Ο. ΠΑΤΣΗ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἄρχοντος κωλύοιντο μὴ τὰ σφίσιν αὐτοῖς σπουδαζόμενα πράττειν. Ταῦτα δὲ ἡσθάνοντο μέν τι καὶ οἱ σπουδαῖοι κατασκευαζόμενα καὶ ἄσμενοι, ὡς εἰκὸς, τὸ πρᾶγμα ἐδέχοντο· ἀγαπητὸν γὰρ αὐτοῖς ἦν. || εἰ μή τις τῶν ἐναντίων προχειρισθείη· προσεποιοῦντο δὲ φ. 736
ἀγνοεῖν καί τι καὶ ἀντιπράττειν, ἵνα μὴ μαθόντες ἐκεῖνοι τὰ δο- 5
κοῦντα δὴ καὶ αὐτοῖς πράττειν πρύμναν τὸ λεγόμενον κρούσαιεν· ἰδίαν γὰρ αὐτῶν παντάπασι γενέσθαι τὴν αἵρεσιν ἤθελον καὶ συμφωνεῖν ἐπ' οὐδενὶ τοῖς ἀρίστοις. Οὕτω μὲν δὴ ἠρέθη ὁ νῦν ἄρχων τῷ μὲν δοκεῖν παρὰ γνώμην τῶν τοῦ συλλόγου ἀρίστων, τῇ δὲ 10
ἀληθείᾳ κατὰ γνώμην αὐτῶν καὶ πολιτικήν τινα φρόνησιν, καὶ, εἴ περ ὁ αἱρεθεὶς πολιτικώτερος ἦν, παραχρῆμα ἂν συνέβαινε τοῖς οἰομένοις κτήσασθαι σφίσιν αὐτοῖς τὴν ἀρχὴν, ἀλλὰ μὴ τῷ αἱρεθέντι αἰσθέσθαι σφᾶς αὐτοὺς καταπεπολιτευμένους γε ὑπὸ τῶν ἀρίστων. Νῦν δ' ὅπερ ἐκεῖνοι μέλλον καὶ χρήσιμον αὐτοῖς ὑπειλή- 15
φασιν, ἁπλοῦς ἔτι ὁ ἄρχων ἐστὶ, καὶ, δέον μισεῖν μὲν τὸν τῶν ἑλομένων σκοπὸν, πλεονεκτικὸν καὶ παράνομον ὄντα, θεῷ δὲ χάριν εἰδέναι ὧν φαύλοις ἀνθρώπων χρησάμενος λογισμοῖς εὖ παρεσκεύασεν, ὅδε ταῦτα μὲν οὔπω καθίστησι φανερὰ, τιμᾷ δὲ ἔτι ἐκείνους καὶ δώροις ἀμείβεται πλείστοις καὶ πάντα ἐπ' ἐκείνοις ἐᾷ τὰ πράγματα. 20
Καὶ ὅλως ἐκεῖνοι μὲν καθ' ἃ || ἤλπισαν ἅπαντα νειμάμενοι ἔχου- φ. 746
σιν, ὁ δὲ προσκυνεῖται μόνον ὥσπερ ξόανον, κατάκλειστος ἐν τοῖς βασιλείοις· ἀπρακτοῦσι δὲ καὶ ὅσοι ἄριστοι τοῦ συλλόγου, ἡττώμενοι τῆς τῶν ἑτέρων ἐπικρατείας. Ὥστε νῦν ἀριστοκρατικὸν μὲν καὶ μοναρχικὸν οὐδὲν, ὀλιγαρχικὸν δὲ μεστὸν πλεονεξίας τε καὶ 25
τρυφῆς.

Τούτων δ' οὕτως ἐχόντων, λόγος ἐμοὶ ὅδ' ἐστί. Καιρὸς ἤδη σε τοῖς κοινοῖς δαψιλέστερον βοηθῆσαι ἐκ τῶν προτρεπτικῶν λόγων καὶ κολάσαι μὲν τὰς τῶν ἐπιτιθεμένων τοῖς πράγμασι τουτωνὶ ὁρμὰς, ἐμποιῆσαι δὲ φρόνημα τῷ ἀρχιερεῖ γενναῖον καὶ θεώρημα 30
θέσθαι πολιτικὸν καὶ τοῦ σχήματος ἄξιον, ἀντιλαμβάνεσθαί τε πρεπωδέστερον τῶν πραγμάτων παρακαλέσαι καὶ τοῖς ἀρίστοις

6. Ἐν τῇ ᾧᾳ παροιμία 9. τὸ γνῶμην 31. Ἐν τῇ ᾧᾳ Cη'

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΑΙΕΘΝΕΣ ΚΕΝΤΡΟ ΜΕΛΕΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΑΚΑΔΗΜΙΑΣ ΚΑΙ ΛΥΚΕΙΟΥ Φ. ΠΑΤΣΗΣ
Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

χρῆσθαι συμβούλοις, τά τε ἄλλα καὶ τὸ μὴ τοῖς κατὰ συμβεβηκὸς ὑπουργήσασι τὰ θυμήρη πρεσβεῖα τὴν ἀρχὴν νέμειν. Οὐδὲ γὰρ οἱ πόλιν παρὰ προδότου λαβόντες τιμῶσι τὸν δεδωκότα, ἀλλὰ τὸ μὲν πρᾶγμα ὡς χρήσιμον αὐτοῖς ἀποδέχονται, τὸν δὲ προδόντα
5 μισοῦσι τῆς προαιρέσεως φιλοῦσί τε καὶ τῆς ἀρετῆς ἄγανται τῶν
φ. 74б πολιτῶν τοὺς μήτε χρημάτων ‖ μήτε ἀδόξου τιμῆς σφᾶς αὐτοὺς ὠνίους ποιησαμένους, προϊόντι δὲ τῷ λόγῳ καὶ ἐπ' εὐεργεσίαν ἀνθρώπων προτρέψαι, ποιούμενον τοὺς τῶν χρημάτων πόρους ἐφ' ἑαυτῷ, ἀλλὰ μὴ τοῖς φειδωλοῖς τε καὶ γλίσχροις ἐπιτρέποντα
10 παρασκευάζειν αὐτοῖς εὐπορίας εἰς οὐδὲν δέον, μηδὲ τοῖς πάντα εἰς ἡδονὰς ἀναλίσκουσι καὶ ὀρέξεις ἀλόγους παρέχεσθαι ἔργων μοχθηρῶν ἀφορμάς. Ὅλως τε οἷόν τις Φειδίας, λόγου καλλίστου δημιουργός, πλάττε οἷον δεῖ τὸν κυρίως ἄρχοντα εἶναι, ἐπειδὴ καὶ ὕλη ὑπόκειται ἐπιτηδείως ἔτ' ἔχουσα πρὸς τὴν ἀπὸ τῶν σῶν λό-
15 γων μορφήν. Οὔπω γὰρ τελείως κεκράτηται ὑπὸ τῶν φαύλων τουτωνὶ τεχνιτῶν καὶ πλαττόντων μηδοτιοῦν ὑγιὲς, ἀλλ' ἔτι φύσεως ἀρετῇ τὸ πλαττόμενον ἀντικρούει, καὶ ζητεῖ μὲν τὰ βελτίω, κωλύεται δὲ ὑπὸ τῶν κατειληφότων. Ἀλλὰ σὺ καλλιτέχνησον φθάσας καὶ χεῖρα τῇ Χριστιανῶν ὄρεξον πολιτείᾳ, ἀπεργαζόμενος
20 τὸν ἄρχοντα οἷον ὅ τε λόγος καὶ τὰ πράγματα ἀπαιτεῖ.

Προσθεῖναι δὲ χρεὼν καὶ τὰ συντείνοντα πρὸς τὸν ἐπηρτημένον κίνδυνον τοῖς Ἰταλιώταις· μάτην γὰρ ἂν προτρέποιμεν εἰς τὰ
φ. 75α ἐλευ‖θέρια τῶν ἔργων καὶ μεγαλοπρεπῆ τοὺς ἡμετέρους τε ἄρχοντας κινδυνεύοντας ἀποβαλεῖν ἣν ἀρχὴν ἔχουσι, Τυρκίων ἤδη
25 ναυκρατούντων καὶ κατὰ γῆν τε καὶ θάλασσαν ἀδεῶς ἐπιτιθεμένων, αὐτῶν δὲ τὰ μὲν ῥαθυμούντων, τὰ δὲ πάλιν ἐπιβουλευόντων ἀλλήλοις καὶ ἐμφυλίους σκοπουμένων πολέμους. Συμβουλευτέον οὖν κἂν τοῖς μάλιστα καὶ ὅπως τὰ καθ' ἑαυτοὺς ἀσφαλέστερον διαθέμενοι ἕξουσιν εὐεργετεῖν τοὺς οἰκείους ἀπ' ἀργύρου τε καὶ

5. φιλοῦσι τὲ 10. μὴδὲ 12. Ἐν τῇ ᾧᾳ φειδίας 19. Ἐν τῇ ᾧᾳ χριστιανῶν πολιτεία 20. ὅ,τε 22. Ἐν τῇ ᾧᾳ ἰταλιῶται 24. Ἐν τῇ ᾧᾳ τύρκιοι 28. κἀν 29. τὲ

ΕΓΑΣΤΗΡΙΟ ΠΛΗΘΗΜΟΤΟΝΙΑΝΝΙΝΑΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΔΙΕΘΝΟΥΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΕΓΔ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

χρυσοῦ καὶ ἐσθῆτος καὶ ὧν ἄλλων κατονομάζει ἐν τοῖς πρὸς Ἡρακλέα λόγοις. Δεῖ γάρ, εἰ μή τι ἄλλο, τούς γε νῦν ὑπάρχοντας πόρους φυλάττειν· ἀδύνατον δὲ φυλάξαι μὴ ὁμονοοῦντας ἀλλήλοις καὶ ἐκστρατεύοντας καὶ ἀντιπαρατταττομένους τοῖς ὑπερορίοις ἐχθροῖς ἐπιοῦσι.

Περὶ δὲ τῶν ἰδίων ἴσθι, ὅτι Γρίφος ὁ σὸς ὁμιλητὴς πολύ τι παρὰ τῷ ἀρχιερεῖ δύναται, γραμματεὺς ὢν τῶν μυστικωτέρων καὶ οἰκεῖος τὰ μάλιστα. Δύναται δ' οὐ μικρὸν καὶ ὁ Ἀλαιρίας, τῶν φιλούντων σε καὶ οὗτος ὑπάρχων καὶ προθύμων συμπράττειν τὰ δέοντα. Παρὼν δὲ καὶ ὁ ἡμέτερος Ἰωάννης ὁ Ἀργυρόπυλος, πάλαι μὲν γνώριμος ὢν τῷ ἀρχιερεῖ, νῦν δὲ εὐεργετούμενος || καὶ φ. 756
τιμώμενος μεγαλοπρεπῶς. Χρῆσθαι δή σε καὶ τοῖς φίλοις τούτοις νυνὶ καιρὸς ἐπιστέλλοντα περὶ τῶν σαυτοῦ πραγμάτων· ᾧ δὲ μάλιστα πεποιθὼς ἐπιστέλλεις καὶ συχνὰ ἀνατίθης τὸ πρᾶγμα, οὗτός γε, ὡς ἐν ἡμῖν γε τἀληθὲς εἰπεῖν, οὐδὲν δύναται. Τὸ δ' αἴτιον γράφειν οὐκ εὐπρεπές.

Περὶ δὲ τῶν ἐμαυτοῦ καινότερον ἐπιστεῖλαί σοι οὐκ ἔχω οὐδὲν πλὴν ὅτι ἀσθενέστερον νῦν μοι τὸ σῶμα καὶ ἐπιθανατώτερον. Σὺ δ' ὅτι ὑγιαίνεις χαίρω· ἀλλά σε καὶ πλουτεῖν εὔχομαι, ἵνα μὴ περισπώμενος ὑπὸ πενίας ἀμελῆς τῶν λόγων, ὧν δημιουργὸς εἶ ἀγαθός. Ἔρρωσο.

Ἀπὸ Ῥώμης, Πυανεψιῶνος τετάρτῃ φθίνοντος.

---

2. Ἐν τῇ ᾧᾳ ἡρακλῆς τε 6. γρῖφος καὶ ἐν τῇ ᾧᾳ γρῖφος 10. Ἐν τῇ ᾧᾳ ἰωάννης ἀργυρόπυλος

ΔΙΕΘΝΕΣ ΚΕΝΤΡΟ ΜΕΛΕΤΩΝ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΩΑΝΝΙΝΩΝ ΙΔΡΥΜΑ ΙΩΑΝΝΟΥ ΚΑΙ ΑΙΚΑΤΕΡΙΝΗΣ ΛΑΚΩΝΗ ΕΛΛΗΝΙΚΗ ΦΙΛΟΣΟΦΙΑ ΕΚΔΟΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΑΠΕΙΝΟΣ ΣΙΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

3*.

ΦΡΑΓΚΙΣΚΟΥ ΦΙΛΕΛΦΟΥ

ΠΡΟΣ ΠΕΤΡΟΝ ΠΕΡΛΕΟΝΗΝ

(13 Ἀπριλίου 1441).

Franciscus Philelphus Petro Perleoni S[alutem].

Commendavi te per litteras Ioanni Argyropulo praesbytero erudito ac diserto: et amice et diligenter. Quantum autem commendatio de te mea profuerit: fac: ut certior fiam. Solet enim quandoque uir iste non minus leuitatis morositatisque prae se ferre quam disciplinae. Sed tu uteris: si sapias: prudentia tua: teque et hominis ingenio accomodabis et tempori: Litteratura tibi ex eo comparanda est: non mores. De Mario filio quae scripsi: ex aliis quoque: didiceram. Frustra nitimur in vita Minerua. Tu hortare adolescentem assidue: ut facis non minus ad morum integritatem: et elegantiam: quam ad litteras. Cum istic essem diu multumque studii: quaesiuique diligenter conparare aliquid mihi ex Apollonii Erodianique iis operibus quae ab illis de arte grammatica copiose fuerant et accurate scripta. Nihil usque potui odorari: Nam a magistris ludi quae publicae docentur: plena sunt nugarum omnia: Itaque neque de constructione grammaticae orationis; neque de syllabarum quantitate: neque de accentu quicquid aut perfecti: aut certi ex istorum praeceptis habere potest. Nam lingua aeolica quam et Homerus et Callimacus in suis operibus potissimum sunt secuti: ignoratur isic prorsus: Quae autem nos de huiusmodi rationibus didicimus studio nostro dilingentiaque didicimus quamvis minime negarim nos ex Chrysolora socero adiumenta non-

* Εὕρηται ἐκδεδομένη ἐν ταῖς Francisci Philephi Epistolae. Ἐν Βενετίᾳ, 1487, Βιβλίου Ε' ἐπιστολὴ τρίτη, ἄνευ σελιδώσεως.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΜΕΤΟΧΗ ΑΛΕΞΑΝΔΡΙΤΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

nulla accepisse: Sed nostro (ut ita dixerim) marte ad calcem quoad eius fieri potuit; peruenimus. Quare non mediocriter me iuuaret: in uiros illos: quos modo memineramus: incideres; quo sitim hanc omnem non leuarem solum: sed sedarem omnino. Tu de tuis rebus omnibus litteras ad me dato assiduo.

Vale, ex Mediolano Idibus Aprilibus. MDCCCCXXXXI.

4*.

ΔΟΝΑΤΟΥ ΑΤΖΑΪΩΛΗ

ΠΡΟΣ ΙΑΚΩΒΟΝ ΑΜΜΑΝΑΤΗΝ ΠΙΚΚΟΛΟΜΙΝΗΝ ΚΑΡΔΙΝΑΛΙΟΝ ΠΑΒΙΑΣ

('Εκ Φλωρεντίας, 5 Αὐγούστου 1454).

D[onatus] Acc[iaiuolus] Jacopo L[ucensi] sal[utem]. Cum Johannes Argyropolus bisantius, vir iam pridem in Italia clarus, nunc vero in fortuna misera constitutus nuper Florentiam venisset, isque antea propter summum ingenium eius summamque doctrinam fama mihi cognitus esset, virum audivi nec prius discessi, quam eius familiaritatem consequutus sum. Vir enim mihi visus est non solum eruditus, ut fama audieram, sed etiam sapiens, gravis et vetere illa Grecia dignus. Is igitur, aversa nobilissima patria, filiis in manibus barbarorum relictis, omnibus bonis spoliatus ad pontificem confugere statuit, quem unicum presidium fortunis

*Περιλαμβάνεται ἐν τῷ κώδικι Magliabecchianus VIII, 1390 τῆς ἐν Φλωρεντίᾳ 'Εθνικῆς βιβλιοθήκης (Biblioteca Nazionale), ἐν φ. 85[6]. Περιέχει δὲ ὁ κῶδιξ πολλὰς αὐτογράφους ἐπιστολὰς τῶν 'Ατζαϊωλῶν. 'Η δὲ ἀνὰ χεῖρας ἐπιστολὴ ἀπευθύνεται πρὸς τὸν 'Ιάκωβον 'Αμμανάτην, ὅστις ὑπῆρξεν ὁ πρῶτος διδάσκαλος τοῦ Δονάτου ἐν τῇ ἀρχαιομαθείᾳ, ἐν τοῖς χρόνοις δ' ἐκείνοις εὑρίσκετο ἐν 'Ρώμῃ παρὰ τῷ καρδιναλίῳ Καπρανίκᾳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

suis in tante rerum iactura futurum esse confidit. Quare cum te apud r^{um} cardinalem tuum, et cardinalis apud pontificem. plurimum ei prodesse possit, te oro, si me amas, ut hunc virum quem ego non solum diligo propter virtutes suas, sed etiam propter miseras calamitates sibi multum compa- tior, consilio studio opera quacumque potis maxime iuves, ut is intelligat commendationem meam fortunis suis aliquid profuisse

Vale. Florentiae, die v augusti 1454.

5*.

ΠΑΠΑ ΚΑΛΛΙΣΤΟΥ Γ'

ΠΡΟΣ ΤΟΝ ΔΟΥΚΑ ΜΕΔΙΟΛΑΝΟΥ ΦΡΑΓΚΙΣΚΟΝ ΣΦΟΡΤΣΑΝ

(15 Μαρτίου 1456)**.

Calistus Episcopus servus servorum Dei, dilecto filio nobili viro Francisco Sfortie Vicecomiti duci Mediolani salutem et apostolicam benedictionem. Confert se ad nobilitatem tuam dilectus filius nobilis vir Johannes Argiropolus magister artium at medicine, quem superioribus diebus ad nos oratorem miserat dilectus filius Excellens princeps Thomas Paleologus Romeorum Despotus et germanus olim Imperatoris Grecorum: causam adventus sui ab ipso intelliget Excellentia tua. Nos quia eum et respectu principis sui et suarum singularium virtutum gratia plurimum diligimus, commendamus eum nobilitati tue, teque in Domino hortamur ut ipsum cum humanitate et benivolentia suscipias; est enim

* Περιλαμβάνεται πρωτότυπος ἐν τῷ Δημοσίῳ ἀρχείῳ Μεδιολάνου (Archivio di Stato) ἐν τῷ τμήματι Sezione Storica - Bolle e brevi Papali, Roma. Φέρει δὲ ὄπισθεν τὴν ἐπιγραφὴν Dilecto filio nobili viro Francisco Sforzie duci Mediolani.

** Ἡ χρονολογία τοῦ παπικοῦ ἐγγράφου 15 Μαρτίου 1455 anno incarnationis ἀντιστοιχεῖ πρὸς τὴν 15 Μαρτίου 1456.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

hic vir dignus ut abs te ametur ut qui et semper catholicus fuit et in partibus Grecie unionis facte propugnator et defensor. Est insuper utriusque lingue doctissimus et multis aliis virtutibus ornatus. Nos gratissimum habebimus si hanc commendationem nostram intellexerimus aliquid apud nobilitatem tuam potuisse.

Datum Rome apud Sanctum Petrum, anno incarnationis dominice millesimo quadringentesimo quinquagesimo quinto, idibus martii, pontificatus nostri anno primo.

D. De Lucca.

6*

ΦΡΑΓΚΙΣΚΟΥ ΦΙΛΕΛΦΟΥ

ΠΡΟΣ ΔΟΝΑΤΟΝ ΑΤΖΑΪΩΛΗΝ

(31 Μαΐου 1456).

Franciscus Philelphus Donato Actiolo Sa[lutem]

Ioannem Argyropulum quem mihi diligentissime commendaras: et uidi libentissime et uirum doctrina: et eloquentia singulari et rebus omnibus quibus potui: tum publice: tum privatim pro dignitate sum quam accuratissime prosecutus. Is a principe nostro perhumaniter perbenigneque tractatus: transiuit ad transalpinos: rediturus ad uos ad constitutum tempus. Te uero et reliquam florentinam iuuentutem non possum non laudare quod talem tantumque et oratorem et philosophum graeca nobis instituendis disciplina praefeceritis. Nam

* Εὕρηται ἐκδεδομένη ἐν ταῖς Francisci Philephi Epistolae. Ἐν Βενετίᾳ. 1487. Βιβλίου ΙΓ' ἐπιστολὴ εἰκοστὴ τετάρτη ἄνευ σελιδώσεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΟΣ
Ε.Υ.Δ της Π.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

sentio neminem inter graecos hoc uno uiro omni disciplina praestantiorem. Quod eo pluris faciendum existimo; quod latinam etiam eloquentiam perpulchre callet. Incumbite igitur: ut coepistis: ut quandoquidem huiusmodi doctorem adepti estis; quod ingenium natura habetis accerrimum: id studio quoque diligentiaque uestra in dies magis magisque augescet; atque exornetur. Vale. Et Bartholomaeum Scalam uelim moneas uerbis meis; mihi iam opus esse uitreis oculis; quare si neque parcior ac dicior factus est; curet hos ad me dare.

Ex Mediolano pridie Kal. iunias MCCCCLVI.

7*.

ΦΡΑΓΚΙΣΚΟΥ ΦΙΛΕΛΦΟΥ

ΠΡΟΣ ΘΩΜΑΝ ΙΑΤΡΟΝ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΚΑΡΟΛΟΥ Η'

(1 Ἰουνίου 1456).

Franciscus Philelphus Thomae franco philosopho medicoque sal[utem].

Facerem non tibi modo: ut mea fert opinio: sed etiam christianissimo regi Karolo iniuriam: nisi tibi eos quottidie commendarem: quos dignos censeam studio beniuolentiaque tua. Quid enim est: quo quisque magis proxime accedat ad deum: quam conmiseratione ac beneficentia. Alienae certe calamitates et aerumnae satis debent nos admonere quia sint res humanae fragiles et caducae: et non minus metuendae:

* Εὕρηται ἐκδεδομένη ἐν ταῖς Francisci Philelphi Epistolae. Ἐν Βενετίᾳ. 1487. Βιβλίου ΙΓ' ἐπιστολὴ εἰκοστὴ τρίτη ἄνευ σελιδώσεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

quam expendendae omnibus. Quare quod nobis queat aliquando accidere: nisi in iis conmiserescamus; quibus indigne acciderit in nosmet ipsos simus iniurii. Itaque noli miseris: si tibi quottidie conmendo constantinopolitanos ciues: qui nobilissima patria atque fortunis et bonis omnibus orbati miserabiliter seruiunt apud ipsos turcos. Tuum autem est his quantum facultas tua dignitasque patitur be[ne] facere Nihil enim te cogo: sed aut hortor: aut moneo. Nunc autem maxime omnium sim accusandus: ubi tibi minus conmendaro diligenter clarissimum philosophum: et eundem uirum eloquentissimum: atque omni disciplinarum genere praestantiaeque pollentem Ioannem Argyropulum: qui tibi meas hasce reddidit litteras. Est enim etiam ipse non mediocris pars luctuosissimi illius naufragii; quomodo imperium illud orientale obrutum poenitus absumptumque est. Quare cum adhuc in plaerisque suis lachrymabilem seruitutem agat apud barbarum illam imanemque nationem: tuae uel humanitatis uel officii esse arbitror: ut quibuscunque in rebus poteris te in hunc talem ac tantum uirum et pium praestes et perbenignum. Nam hoc uno nemo est in uniuerso grecorum genere neque doctior: nec sapientior. Quamobrem quicquid in hunc officii beneficiique contuleris: in meipsum collatum existimabo. Et hac de re satis. Proximis diebus Joannes Marius filius dedit ex Taurino ad me litteras perhumanas a praestantissimo franciae cancellario Guilielmo Juuenale Ursino: abs te autem nullas. Quod factum est: ut non me coeperit mediocris admiratio; quod nihil ad ea responderis; quae antea litteris pluribus ad te scripseram de aduentu meo. At ne causam quidem intelligo: quid ad uos ierit filius Joannes Marius. Nam neque est a me missus; neque is causam ullam hac de re ad me scripsit. Tamen utcumque res habet; breui te uisam. Id quod factum iam esset: si mihi per meum hunc principem licuisset.

Vale. Ex Mediolani. XV. Kal. iunias. MCCCCLVI.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

8*.

ΔΟΝΑΤΟΥ ΑΤΖΑΪΩΛΗ

ΠΡΟΣ ΤΟΝ ΔΟΥΚΑ ΜΕΔΙΟΛΑΝΟΥ ΦΡΑΓΚΙΣΚΟΝ ΣΦΟΡΤΣΑΝ

(1461).

...Quod vero a me petis, ut te certiorem reddam de Argyropulo nostro ac choro totius academiae florentinae, suas velim omne studium nostrum cum ad grecas literas, tum ad philosophiam et bonarum artium disciplinam esse conversum, ac utriusque exercitationis ducem habere tuo ac reliquorum iudicio optimum Argyrophilum hunc, qui antiquorum more sapientium docet nititurque, quoad per eum fieri potest, ut cives nostri qui aut velint aut possint aliquam philosophie cognitionem cum dicendi ratione coniungant...

9**.

ΔΟΝΑΤΟΥ ΑΤΖΑΪΩΛΗ

ΠΡΟΣ ΝΙΚΟΛΑΟΝ ΠΕΡΡΟΤΗΝ

(30 Αὐγούστου 1461).

Niccholao, Littere tue mihi nuper reddite sunt, IV Kal. augusti Bononiae date, quibus operam tuam in negocio Argirophyli sine ulla exceptione polliceris. Hanc tuam humanitatem et studium in me singulare, etsi iam pridem in rebus

* Περιλαμβάνεται ἐν τῷ κώδικι Magliabecchianus VIII, 1390 τῆς ἐν Φλωρεντίᾳ Ἐθνικῆς βιβλιοθήκης, (Biblioteca Nazionale), φ. 37ᵇ, περὶ οὗ ἴδε ἀνωτέρω σ. 313.

** Περιλαμβάνεται ἐν τῷ κώδικι Magliabecchianus VIII, 1390 τῆς ἐν Φλωρεντίᾳ Ἐθνικῆς βιβλιοθήκης (Biblioteca Nazionale), φ. 39ᵃ, περὶ οὗ ἴδε ἀνωτέρω σ. 313. Ὁ δὲ Νικόλαος Περόττης (Perotti), πρὸς ὃν ἀπευθύνεται ἡ ἐπιστολή, εὑρίσκετο τότε ἐν Βονωνίᾳ μετὰ τοῦ καρδιναλίου Βησσαρίωνος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

meis perspexeram, tamen nunc quoque in hoc negocio amicissimi hominis libentiore animo recognosco, quam si res mea ageretur. Nam Argirophilum hunc non solum ut preceptorem sed etiam ut parentem diligo atque amplector; vir enim est cum singulari eruditione atque doctrina, tum optimis moribus preditus, et, quod paucis grecorum accidit, vetere illa Grecia dignus; quare hoc suum negocium tibi commendo ut maiore studio commendere non possim. Gratissimum mihi feceris [si operam] dederis ut libri quos ille furcifer eripuit quoad per te fieri potest ei restituantur.

Vale. XXX augusti 1461.

10*.

ΑΠΟΣΠΑΣΜΑ ΕΠΙΣΤΟΛΗΣ

ΙΑΚΩΒΟΥ ΑΤΖΑΪΩΛΗ

ΠΡΟΣ ΒΕΣΠΑΣΙΑΝΟΝ DA BISTICCI

(2 Ἰουνίου 1463).

... Ancora ti priegho mi raccomandi a messer Giovanni Argyropulo, et a tutto l'academia...

---

* Ἡ ἐξ ἧς τὸ ἀπόσπασμα τοῦτο ἐπιστολὴ σώζεται ἐν τῷ Λαυρεντιακῷ κώδικι 30 τοῦ Plut. 90 sup., ἐν φ. 25α.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΑΠΑΔΗΜΗΤΡΙΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

11*.

ΑΠΟΣΠΑΣΜΑ ΕΠΙΣΤΟΛΗΣ

ΙΑΚΩΒΟΥ ΑΤΖΑΪΩΛΗ

ΠΡΟΣ ΒΕΣΠΑΣΙΑΝΟΝ DA BISTICCI

(25 Ἰουλίου 1463).

... Raccomandami a Pieri e a Donato et alla brighata di casa et a mess. Giov. Argyropulo et a tutta l'academia...

12**.

ΙΑΚΩΒΟΥ ΑΜΜΑΝΑΤΗ ΠΙΚΚΟΛΟΜΙΝΗ ΕΠΙΣΚΟΠΟΥ ΠΑΒΙΑΣ

ΠΡΟΣ ΤΟΝ ΚΑΡΔΙΝΑΛΙΟΝ ΒΗΣΣΑΡΙΩΝΑ

(Κατὰ Μάϊον 1467).

Secutus dignationis tuae consilium scripsi Ioanni Argyropulo de obitu filii: magis id agens, ut officia in se tua ille agnosceret quam ut in tanta doctrina consolationem a me ullam acciperet: ditulit dies multos responsum: Credo propter animum nondum ex moestitia recreatum, respondit tandem, satis ostendens quantum possit humanitas. Doleo vice hominis docti ferentis mollius hunc eius casum, quam tantae virtuti conveniat, Nicene mi, nescio quo peccato frequenter a

* Ἡ ἐξ ἧς τὸ ἀπόσπασμα τοῦτο ἐπιστολὴ σώζεται ἐν τῷ Λαυρεντιακῷ κώδικι 30 τοῦ Plut. 90 sup., ἐν φ. 29ᵇ.

** Περιλαμβάνεται ἐν τῇ δευτέρᾳ ἐκδόσει τῶν ἐπιστολῶν τοῦ ἐπισκόπου Παβίας Ἰακώβου Ammanati Piccolomini τῇ ἐκτυπωθείσῃ ἐν Φραγκοφουρτίῳ τῷ 1714 ὑπ' ἀρ. 201.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

uobis discedimus ut in umbra fortes pulverem, et solem ferre non possumus. Nosti lachrymas Demosthenis ab Egina in Atticam respicientis, delitamenta Solonis, nuntiante Thaleto filii occasum: Ciceronis etiam gemitus, defunctam Tulliolam et patriam amissam deflentis nil illi esse languidius quicquam potuit. Sic se res habet. Auditores verbi tantum sumus, non autem factores. Vapulebimus ergo plagis multis, quoniam voluntatem Domini agnoscentes, illam non adimplemus. Mitto tibi exempla litterarum, ut ex meis promissum officium, ex illius vero nullam sine robore doctrinam intelliges. Vale.

Roma.

13*.

ΠΑΠΑ ΣΙΞΤΟΥ Δ'

ΠΡΟΣ ΤΟΝ ΔΟΥΚΑ ΜΕΔΙΟΛΑΝΟΥ ΓΑΛΕΑΤΣΟΝ ΣΦΟΡΤΣΑΝ

(19 Μαρτίου 1472).

Sixtus Papa IIIj

Dilecte fili salutem et apostolicam benedictionem. Dileximus unice jamdiu et singulari complexi sumus caritate dilectum filium Johannem Argyropylum ob singularem hominis virtutem et suavissimam studiorum nostrorum societatem in quibus versabamur. Is nunc est apud nos. Filium Isaac tua nobilitas et premio et cohortatione ad istuc veniendum provocavit, litteris etiam ad patrem datis; lectissimum profecto iuvenem, cum litteris praeditum, tum musicae disciplinae excellentem conduxisti. Proficiscitur nobis benedicen-

* Σώζεται πρωτότυπος ἐν τῷ Δημοσίῳ ἀρχείῳ τοῦ Μεδιολάνου (Archivio di Stato) ἐν τῷ τμήματι Autografi-Uomini Celebri-Argiropulo Giovanni. Φέρει δὲ ὄπισθεν τὴν διεύθυνσιν Dilecto filio Nobili, Viro Galeatio Mariae Sfortiae Duci Mediolani.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΤΕΡΖΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

tibus et permittente patre. Nam persuasum habemus eum tibi suo merito fore iucundissimum, et honesto loco inter tuos pro tuo liberali instituto erga bonarum artium studiosos. Nos et patris causa qui nobis est carissimus et propter iuvenis ingenium ac virtutem eximiam eum nobilitati suae diligentissime commendamus in ipso sane accipiendo et ornando quicquid prestiteris erit pergratum.

Datum Romae, apud Sanctum Petrum sub anulo piscatoris die XXIX Martij MCCCCLXXII Pontificatus nostri anno primo.

Dominicus Calderinus.

14*.

ΚΑΡΔΙΝΑΛΙΟΥ ΒΗΣΣΑΡΙΩΝΟΣ

ΠΡΟΣ ΤΟΝ ΔΟΥΚΑ ΜΕΔΙΟΛΑΝΟΥ ΓΑΛΕΑΤΣΟΝ ΣΦΟΡΤΣΑΝ

(3 Ἀπριλίου 1472).

Illustrissime Princeps et Excellentissime Domine. Venit istuc ad Dominationem Vestram illustrissimam Isach domini Ioannis Argiropuli filius, accitus litteris dominationis Vestre Excellentissime, quem, quia scimus aliquo nomine et existimatione esse aput Dominationem Vestram Excellentissimam qui ad hunc scripserit, ideo nos quoque commendatione nostra dignum putavimus. Commendamus itaque hominem Dominationi Vestre Excellentissime ut nomini et existimationi, quam ea de Isach nostro concepit, aliquid nostra com-

* Σώζεται αὐτόγραφος ἐν τῷ Δημοσίῳ ἀρχείῳ τοῦ Μεδιολάνου (Archivio di Stato) ἐν τῷ τμήματι Sezione Storica - Autografi - Vescovi - Argiropulo Giovanni, φέρουσα ὄπισθεν τὴν διεύθυνσιν Illustrissimo principi et excellentissimo domino, domino Galeatio Marię Sforcię Mediolani etc. καὶ κήρινον ἀπέκμαγμα τῆς σφραγῖδος τοῦ Βησσαρίωνος τεθλασμένον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

mendatione addatur, quo sentiat nostram commendationem sibi non fuisse vulgarem. Bene valeat Excellentissima Dominatio vestra.

Ex Urbe, die III Aprilis MCCCCLXXII.

(Ὄπισθεν)

B { Episcopus Sabinus
Cardinalis Patr[iarca] Costant[inopolitanus] } Nicenus

15*.

Φ. ΓΟΝΖΑΓΑ ΚΑΡΔΙΝΑΛΙΟΥ ΜΑΝΤΟΥΗΣ

ΠΡΟΣ ΤΟΝ ΔΟΥΚΑ ΜΕΔΙΟΛΑΝΟΥ ΓΑΛΕΑΤΣΟΝ ΣΦΟΡΤΣΑΝ

(11 Ἀπριλίου 1472).

Illustrissime Princeps et Excellentissime Domine pater honorande. Essendoce novamente facto intendere la Ex. V. hauer conducto a li servitij suoi lo Spectabile cavaliere Messer Isaacho greco figliolo del clarissimo philosopho Messere Giovanni Argiropulo, ne havemo ricevuto dopio contentamento e piacere perchè consideramo la Illustrissima Signoria Vostra hauerà presso di se uno servitore de nobile ingegno, de gran doctrina, de molte virtute e gientileze dotato, e da l'altro canto essendo nui veramente affectionati al dicto Mess. Giovanni per la dignitate e singularitate de la doctrina e gravitate suoa, la qual non solamente a nui, ma a tuta

* Σώζεται αὐτόγραφος ἐν τῷ Δημοσίῳ ἀρχείῳ Μεδιολάνου (Archivio di Stato) ἐν τῷ τμήματι Autografi, Teatrica. Ἔχει δὲ ὄπισθεν τὴν ἐπιγραφὴν

Illustrissimo Principi et Excellentissimo domino patri honorandissimo Domino Duci Mediolani etc. Papie Anglerieque Comiti Janue et Cre-
[mone domino

καὶ φέρει τὴν σφραγῖδα τοῦ ἀποστέλλοντος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

questa corte è in grandissima observantia e veneratione, et simelmente al dicto Mess. Isaacho non mancho per le virtute suoe che per li meriti e rispetto del patre, molto n'è piaciuto per bene et honor suo che Dio li habia concesso luoco presso a tal signore col qual la virtute suoa havera digna recognitione. Raccomandiamolo adonque strectissimamente a Vostra Celsitudine come cosa e creatura nostra, e pregamola cordialmente che ultra quello li parerà essere conveniente a la benignitate e gloria suoa et a la fidele servitute e devotione dello messere Isaacho, anchora per amore nostro se digni farli gratiosa demonstratione che l'haveremo tanto caro quanto se lo facesse ad uno de la casa e sangue nostro. E de tuto li vogliamo restar obligati e annumerarlo a le altre obligatione che havemo cum quella per le gratie usate verso la persona nostra, che cussi reputaremo questa e tanto magiore per la consolatione ne seguirà al prefato Messer Giovanni suo patre, del bene et allegreza del quale siamo teneri e desiderosi come del nostro proprio, perchè è homo del qual per la Excellentia de la doctrina sua faciamo singulare capitale. Bene et feliciter valeat Illustrissima Dominatio Vestra.

Rome Ij Aprilis MCCCCLXXIj.

F. de Gonzaga Cardinalis mantuanus
Bononie etc. Legatus.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

16*.

ΡΟΒΕΡΤΟΥ DI SANSEVERINO

ΠΡΟΣ ΤΟΝ ΔΟΥΚΑ ΜΕΔΙΟΛΑΝΟΥ ΓΑΛΕΑΤΣΟΝ ΣΦΟΡΤΣΑΝ

(23 Ἀπριλίου 1472).

Illustrissimo Signore mio. Meser Isach è gionto qui et diceme non essere venuto più presto che come fu gionto da Napoli a Roma per l'ayre tristo se amaló. Il patre et la matre sua non havendo altro figlolo de lui non l'hano voluto lassare partire se non l'hano veduto bene reducto et restituito a sanitá. Per essere stracho s'è riposato qui tre dí et parli una hora mille anni essere da V. Ex. la quale credo potere certificare et dire cum vero ch'ella ha il più singulare homo in questo mestere che habia Italia. Ha donato uno organo qui a San Martino dove stano frati dali Carmeni, ha facto cose stupende in modo che tuta questa cita lo tenuto ad audire, et ogniuno lo commenda per il meglore sonatore che may sentissano. A. V. Excellentia m'aricomando.

Bononie XXIIj Aprilis 1472.

Excellentię Vestrę *Servitor Robertus etc.*

---

* Σώζεται αὐτόγραφος ἐν τῷ Δημοσίῳ ἀρχείῳ Μεδιολάνου (Archivio di Stato), ἔχουσα ὄπισθεν τὴν ἐπιγραφὴν *[Illustrissimo] Principi et Excellentissimo Domino [Domino] meo singularissimo domino [Du]ci Mediolani etc.* καὶ φέρουσα τὴν σφραγῖδα τοῦ ἐπιστέλλοντος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΑΡΓΑΣΤΗΡΙΟ ΠΡΕΝΖΑΙΝΟΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΠΟΘΕΝΤΗΡΙΟ Ν. ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Θ. ΠΙΤΣΙΟΥ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

17*.

ΓΑΛΕΑΤΣΟΥ ΣΦΟΡΤΣΑ ΔΟΥΚΟΣ ΜΕΔΙΟΛΑΝΟΥ

ΠΡΟΣ ΑΝΤΩΝΙΟΝ ANGUISSOLE DE PLACENTIA

(11 Ἰουλίου 1472).

Dux Mediolani etc.

Antonio. Siamo contenti et volemo che a domino Isac Argyropolo nostro cortesano et sonatore de gravacymbolo quale alli di passati tolsemo alli nostri servitii con quella provisione tu say, gli daghi de presente ducati cento d' oro a libre quattro per ducato sopra la provisione sua del presente anno MCCCCLXXII aciochè possa più habilmente provedere alli suoy bisogni, spazandolo presto e ben.

Dat. Belreguardi die XI Julii MCCCCLXX secundo.

A. Jacobus.

---

* Σώζεται πρωτότυπος ἐν τῷ Δημοσίῳ ἀρχείῳ Μεδιολάνου (Archivio di Stato), ἐν τῷ τμήματι Storica - Autografi - Musici - Isacco Argiropulo. Φέρει δὲ ὄπισθεν τὴν διεύθυνσιν Nobili viro Antonio Anguissole de Placentia Camerario et Thesaurario generali nostro dilecto.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΠΑΤΑΣΤΗΜΙΟ ΠΡΕΠΙΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΤΓΩΝΙΗΣ Α. Ν. ΛΑΘΕΤΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

18*.

ΓΑΛΕΑΤΣΟΥ ΣΦΟΡΤΣΑ ΔΟΥΚΟΣ ΜΕΔΙΟΛΑΝΟΥ

ΠΡΟΣ ΤΟΝ GALASSIO DE GALASSIIS

(17 Σεπτεμβρίου 1473).

1473

Papie, die XVII Septembris.

Galassio de Galassiis.

Galasso: Volemo che a la recevuta de questa vadi ad trovare domino Issac nostro cortesano, et che li dichi da parte nostra venga subito da noy, perchè el reverendissimo monsignore cardinale el vole audire et aspettalo cum desyderio. Et farati dare seu torrali organi, gravizembalo et tutti altri instrumenti da sonare fossono lì, quali mettaray in uno navetto, per condurli da noy, mandando Zintile nostro sottocamerario al governo d' essi; aciò maestro Isac possa venire per terra como noy li scrivemo.

Post scriptum. Havuti haveray li instrumenti da sonare commandaray ad Zentili pro nostra parte gli conduca qui in camara nostra senzia dargli ad persona viva, per quanto haverà a cara la grazia nostra. La lettera de magistro Isac te mandiamo qui alligata, quale presentata, vederay de havere subito tutti suoy instrumenti ad ogni modo et mandali como avemo dicto.

---

* Σώζεται πρωτότυπος ἐν τῷ Δημοσίῳ ἀρχείῳ Μεδιολάνου (Archivio di Stato), ἐν τῷ τμήματι Sezione Storica - Autografi - Teatrica - Argiropulo Isacco.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΝΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΗΜΗΤΡΙΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΡΕΤΣΙΟΣ ΚΑΘΗΓΗΤΗΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

19*.

ΓΑΛΕΑΤΣΟΥ ΣΦΟΡΤΣΑ ΔΟΥΚΟΣ ΜΕΔΙΟΛΑΝΟΥ

ΠΡΟΣ GENTILE DE SEREGNO

(11 Φεβρουαρίου 1474).

1474.

Papie XI februarii

Zentili de Seregno subcamerario. Recevute queste mandarane la viola quale tu pigliasse ad casa de maestro Isach facendo che l' habiamo domane da sera.

Ja. M.

20**.

ΦΡΑΓΚΙΣΚΟΥ ΦΙΛΕΛΦΟΥ

ΠΡΟΣ ΛΑΥΡΕΝΤΙΟΝ ΤΟΝ ΜΕΔΙΚΟΝ

(1 Ἀπριλίου 1475).

Magnifice clarissimeque vir tanquam frater honorande. Se a dio piacera: io sarò in Firenze a di XXIj del presente mese. Ho preso questo tempo per uedere intiegramente la

* Σώζεται πρωτότυπος ἐν τῷ Δημοσίῳ ἀρχείῳ Μεδιολάνου (Archivio di Stato), ἐν τῷ τμήματι Sezione Storica - Autografi - Musici - Isacco Argiropulo.

** Σώζεται αὐτόγραφος ἐν τῷ Δημοσίῳ ἀρχείῳ τῆς Φλωρεντίας (R. Archivio di Stato), ἐν τῷ τμήματι Mediceo avanti il Principato, ἐν φακέλῳ (Filza) XXXII ἀρ. 267 καὶ φέρει ὄπισθεν τὴν ἐπιγραφὴν

Magnifico clarissimoque
viro. Laurentio Medici
tanquam fratri honorandissimo
Florentie.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

festa del glorioso baptista sancto Johanni. Interim m'e occorso d'auisarue che'l clarissimo et eloquentissimo philoso et homo in omni uirtutis et sapientiae genere excellentissimo messer Johanni Argyropulo è per partire de qui per andare for d'Italia et so che ha uarij et magnifichi inuiamenti con uarij re. Non me pare sia homo da perdere et maxime costui: il quale è una fenice. Confortoue quanto piu posso: che li mettate el pensero et cercate ritenerlo in Firence. Sapete quanto uale et quanto fo accepto al uostro magnifico auo et ancho al uostro magnifico padre, et de noi non altrimente parla che d'uno spirito diuino. Metteteli la mente. Sapete la utilitate per lui facta a cotesti uostri honoreuoli cittadini et l'honore a tutto il uostro casato. Non ue ne scriuo piu d'esteso: pero che a boccha ue ne dirro tutto el mio parere. Et in questo mecço se uolete: che io come da me, Li ne dica qualche cosa: non ue sia molesto auisarmene. Vale decus meum.

Ex Urbe primo Junij 1475.

Philelfus

21*.

ΙΑΚΩΒΟΥ ΑΜΜΑΝΑΤΗ ΠΙΚΚΟΛΟΜΙΝΗ ΚΑΡΔΙΝΑΛΙΟΥ ΠΑΒΙΑΣ

ΠΡΟΣ ΛΑΥΡΕΝΤΙΟΝ ΜΕΔΙΚΟΝ

(14 Ἰουνίου 1477).

Magnifice Vir: frater noster carissime. Salutem. Quel che non facessimo per Messer Jo. Argiropolo, non faremmo per

* Σώζεται αὐτόγραφος ἐν τῷ Δημοσίῳ ἀρχείῳ τῆς Φλωρεντίας (R Archivio di Stato), ἐν τῷ τμήματι Mediceo avanti il Principato, ἐν φακέλῳ (Filza) XLVI, φ. 457. Φέρει δὲ ὄπισθεν τὴν ἐπιγραφὴν Magnifico viro: fratri nostro carissimo, Laurentio de Medicis, Florentie καὶ ἀλλαχοῦ ὄπισθεν δι' ἄλλης χειρός Da Roma ii XVIII di Giugno.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

